# PHILONIS
## IUDAEI
# OPERA OMNIA

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞ. ΑΡΙΘ.

TOMUS V.

*De mercede meretricis. De specialibus legibus lib. II. De septenario. De festo cophini. De parentibus colendis. De specialibus legibus lib. III. et IV. (De iudice et de concupiscentia.) De iustitia (et de constitutione s. creatione principum). De tribus virtutibus (de fortitudine, de humanitate s. caritate, de poenitentia). De praemiis et poenis. De exsecrationibus. De nobilitate. Quod omnis probus liber (s. quod liber sit quisquis virtuti studet). De vita contemplativa.*

LIPSIAE
SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.
1852.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

BK1
P59 E'

# 1852.

# STEREOTYP-AUSGABEN
der
# GRIECHISCHEN UND LATEINISCHEN CLASSIKER
im Verlage von
# KARL TAUCHNITZ
in Leipzig.

*Jeder Band ist einzeln zu haben.*

## I. Griechische Autoren.

| | Thlr. | Ngr. |
|---|---|---|
| *Aeschyli Tragoediae* | — | 7½ |
| *Anacreontis Carmina* | — | 3¾ |
| *Anthologia Graeca*, 3 Voll. | — | 27 |
| *Apollonii Rhodii Argonautica* | — | 5 |
| *Aristophanis Comoediae*, 3 V. | — | 22½ |
| *Babrii Fabulae* | — | 5 |
| *Euripidis Tragoediae*, 4 Voll. | — | 25 |
| *Hesiodi Carmina* | — | 2½ |
| *Homeri Ilias*, 2 Voll. | — | 12½ |
| *Homeri Odyssea*, 2 Voll. | — | 12½ |
| *Orphica, Procli, Musaei et Callimachi Carmina* | — | 8 |
| *Pindari Epinicia* | — | 7½ |
| *Poetae Graeci Gnomici* | — | 5 |
| *Quinti Smyrnaei, Tryphiodori, Tzetzae et Coluthi Carmina de reb. Troianis* | — | 10 |
| *Sophoclis Tragoediae*, 2 Voll. | — | 12½ |
| *Theocritus, Bion et Moschus* | — | 5 |
| *Aeliani Varia Historia, Heraclides Ponticus et Nicolaus Damascenus* | — | 7½ |
| *Aeschinis oratoris Opera* | — | 7½ |
| *Aesopicae Fabulae* | — | 5 |
| *Antonini Commentarii* | — | 5 |
| *Apollodorus* | — | 7½ |
| *Appiani Romanae Hist.*, 4 V. | 1 | — |

| | Thlr. | Ngr. |
|---|---|---|
| *Aristotelis Opera omnia*, 16 V. | 4 | 25 |
| *Arriani Expeditio Alex.* | — | 10 |
| *Athenaeus Deipnosophistes*, 4 V. | 1 | 26 |
| *Demosthenis Opera*, 5 Voll. | 1 | 7½ |
| *Demosthenis or. de Corona* | — | 4 |
| *Demosthenis or. Philipp.* | — | 4 |
| *Dio Cassius*, 4 Voll. | 1 | 10 |
| *Diodorus Sic.*, 6 Voll. | 2 | — |
| *Diogenes Laertius*, 2 Voll. | — | 24 |
| *Dionysius Halicarn.*, 6 Voll. | 1 | 24 |
| *Herodiani Hist. Rom.* | — | 7 |
| *Herodotus*, 3 Voll. | — | 22½ |
| *Isaei Orationes* | — | 6¼ |
| *Isocrates*, 2 Voll. | — | 18 |
| *Luciani Opera*, 4 Voll. | 1 | 10 |
| *Lysiae Orationes* | — | 8 |
| *Pausaniae Gr. Descriptio*, 3 V. | — | 27 |
| *Platonis Opera*, 8 Voll. | 2 | 20 |
| *Plutarchi vitae parall.*, 9 V. | 2 | 7½ |
| *Plutarchi Moralia*, 6 Voll. | 2 | 7½ |
| *Polybii Historiae*, 4 Voll. | 1 | 20 |
| *Ptolemaei Geographia*, 3 Voll. | 1 | 25 |
| *Stobaei Florilegium*, 3 Voll. | 1 | 12 |
| *Strabo*, 3 Voll. | 1 | 6 |
| *Theophrasti Charact., Epicteti Manuale et Cebetis Tabula* | — | 2½ |
| *Thucydides*, 2 Voll. | — | 18 |
| *Xenophontis Opera*, 6 Voll. | 1 | — |

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αριθ. εισ. 142.199

# PHILONIS
# IUDAEI
# OPERA OMNIA

AD

LIBRORUM OPTIMORUM FIDEM

EDITA.

EDITIO STEREOTYPA.

ΒΙΒΛΙΟΘΗΚΗ ... ΑΘΗΝΑ

TOMUS V.

*De mercede meretricis. De specialibus legibus lib. II. De septenario. De festo cophini. De parentibus colendis. De specialibus legibus lib. III. et IV. (De iudice et de concupiscentia.) De iustitia (et de constitutione s. creatione principum). De tribus virtutibus (de fortitudine, de humanitate s. caritate, de poenitentia). De praemiis et poenis. De exsecrationibus. De nobilitate. Quod omnis probus liber (s. quod liber sit quisquis virtuti studet). De vita contemplativa.*

LIPSIAE

SUMTIBUS ET TYPIS CAROLI TAUCHNITII.

1852.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

# ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ
# ΠΕΡΙ ΤΟΥ ΜΙΣΘΩΜΑ ΠΟΡΝΗΣ ΕΙΣ ΤΟ ΙΕΡΟΝ ΜΗ ΠΡΟΣΔΕΧΕΣΘΑΙ.

# DE MERCEDE MERETRICIS NON ACCIPIENDA IN SACRARIUM.

[II, 264.]

*„Merces meretricis in templum ne inferatur" — quanto minus impuri animi munera Deo accepta erunt!*

1. [*†)] *Π*άνυ καλῶς ἐν ταῖς ἱεραῖς τοῦ νόμου στήλαις καὶ ἐκεῖνο ἀναγέγραπται, „μίσθωμα πόρνης εἰς τὸ ἱερὸν μὴ προσδέχεσθαι" (Deut. 23, 19), πεπρακυίας τὴν ἰδίαν ὥραν, ἑλομένης ἕνεκα λημμάτων αἰσχρῶν ἐπονείδιστον βίον. Εἰ δὲ τὰ παρὰ γυναικὸς ἡταιρηκυίας δῶρα ἀνίερα, πῶς οὐχὶ μᾶλλον τὰ παρὰ ψυχῆς πεπορ-

(†) Haec stellula eique respondens numerus in margine superiori positus tomum et paginam editionis Mangeyanae indicant.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νευμένης, ἣ παρέῤῥιψεν [*] ἑαυτὴν ἐπ' αἰσχύνῃ καὶ ὕβρεσι ταῖς ἐσχάταις, οἰνοφλυγίαις, ὀψοφαγίαις, φιλαργυρίαις, φιλοδοξίαις, φιληδονίαις, ἄλλαις μυρίαις παθῶν τε αὖ καὶ νοσημάτων καὶ κακιῶν ἰδέαις; Ὧν τὰ μιάσματα ἐκεῖνα τίς ἂν ἐκνίψαι χρόνος, ἔγωγε οὐκ οἶδα. Τῶν μὲν γὰρ ἑταιρῶν τὴν ἐργασίαν κατέλυσε πολλάκις γῆρας, ἐπειδήπερ ἐξώροις γενομέναις οὐδεὶς ἔτι πρόςεισιν, ἀπομαρανθείσης ὥςπερ τινῶν ἀνθῶν τῆς ἀκμῆς· ψυχῆς δὲ πορνείαν ἀκολασίᾳ συντρόφῳ καὶ συνήθει πεπαιδοτριβημένης τίς ἂν αἰὼν μεταβάλλοι πρὸς εὐκοσμίαν; Αἰὼν μὲν οὖν οὔ, θεὸς δὲ μόνος, ᾧ δυνατὰ τὰ παρ' ἡμῖν ἀδύνατα. Δεῖ δὴ τὸν μέλλοντα θύειν σκέπτεσθαι, μὴ εἰ τὸ ἱερεῖον ἄμωμον, ἀλλ' εἰ ἡ διάνοια ὁλόκληρος αὐτῷ καὶ παντελὴς καθέστηκε. Διερευνάτω μέντοι καὶ τὰς αἰτίας, ὧν ἕνεκα ἀνάγειν ἀξιοῖ θυσίας. Ἤτοι γὰρ εὐχαριστῶν ἐπὶ προϋπηργμέναις εὐεργεσίαις, ἢ βεβαιότητα παρόντων ἢ μελλόντων ἀγαθῶν κτῆσιν αἰτούμενος, ἢ κακῶν παρόντων ἢ προςδοκωμένων ἀποτροπήν, ἐφ' οἷς ἅπασιν ὑγείαν καὶ σωτηρίαν ἐκπορίζειν ὀφείλει τῷ λογισμῷ. Εἴτε γὰρ ἐπὶ προϋπηργμένοις εὐχαριστεῖ, μὴ ἀχαριστησάτω φαῦλος γενόμενος· σπουδαίῳ γὰρ ἐδόθησαν αἱ χάριτες. Εἴτε βεβαιούμενος τὰ παρόντα ἀγαθὰ καὶ χρηστὰ περὶ τῶν μελλόντων προςδοκᾶν, ἄξιον αὐτὸν παρεχέτω τῶν εὐπραγιῶν, ἀστεῖος ὤν. Εἴτε κακῶν φυγὴν αἰτούμενος μὴ δράτω κολάσεων ἐπάξια καὶ τιμωριῶν.

*Duae in nostro cuiusque contubernio uxores. (Voluptas et virtus.) Alterius illecebrae.*

2. Δύο γὰρ ἡμῶν ἑκάστῳ συνοικοῦσι γυναῖκες ἐχθραὶ καὶ δυςμενεῖς ἀλλήλαις, τῶν ζηλοτυπίας τὸν ψυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χικὸν οἶκον ἀναπιμπλᾶσαι φιλονεικιῶν. Τούτων τὴν μὲν ἑτέραν ἀγαπῶμεν, χειροήθη καὶ τιθασσὸν καὶ φιλτάτην καὶ οἰκειοτάτην αὐτοῖς νομίζοντες· καλεῖται δὲ ἡδονή. Τὴν δὲ ἑτέραν ἐχθραίνομεν, ἀτίθασσον, ἀνήμερον, ἐξηγριωμένην, πολεμιωτάτην ἡγούμενοι· ὄνομα δὲ καὶ ταύτης ἐστὶν ἀρετή. Ἡ μὲν οὖν προσέρχεται πόρνης καὶ χαμαιτύπης τρόπον, τεθρυμμένη, κεκλασμένῳ τῷ βαδίσματι, ὑπὸ τρυφῆς τῆς ἄγαν καὶ χλιδῆς σαλεύουσα τὼ ὀφθαλμὼ οἷς τὰς τῶν νέων ἀγκιστρεύεται ψυχάς, θάρσος μετὰ ἀναισχυντίας ἐμβλέπουσα, τὸν αὐχένα ἐπαίρουσα, πλέον τῆς φύσεως ἑαυτὴν ἐνορθιάζουσα, σεσαρυῖα καὶ κιχλίζουσα, περιέργῳ ποικιλίᾳ τὰς τῆς κεφαλῆς τρίχας ἀναπεπλεγμένη, ὑπογεγραμμένη τὴν ὄψιν, ἐγκεκαλυμμένη τὰς ὀφρῦς, θερμολουσίαις ἐπαλλήλοις [*] χρωμένη, ἔρευθος εἰργασμένη, πολυτελεῖς ἐσθῆτας ἐπηνθισμένας ἄκρως ἀμπεχομένη, περιβραχιόνια καὶ περιαυχένια, καὶ ὅσα ἄλλα χρυσοῦ καὶ λίθων πολυτελῶν δημιουργηθέντα κόσμος ἐστὶ γυναικεῖος, περικαθειμένη, μύρων εὐωδεστάτων ἀποπνέουσα, τὴν ἀγορὰν οἰκίαν νομίζουσα, τριοδῖτις σοβάς, χήρει γνησίου κάλλους τὸ νόθον μεταδιώκουσα. Συνομαρτοῦσι δὲ αὐτῇ τῶν συνηθεστάτων πανουργία, προπέτεια, κολακεία, φενακισμός, ἀπάτη, ψευδολογία, ψευδοδοξία, ἀσέβεια, ἀδικία, ἀκολασία, ὧν ἐν μέσῳ καθάπερ ἡγεμὼν χοροστατοῦσα φησὶ πρὸς τὸν νοῦν τάδε· „Εἰσίν, ὦ οὗτος, θησαυροὶ πάντων ἀγαθῶν ὅσα ἀνθρώπεια παρ᾽ ἐμοί — τὰ γὰρ θεῖα ἐν οὐρανῷ — ὧν ἐκτὸς οὐδὲν εὑρήσεις. Τούτους οὖν, ἢν ἐθέλῃς μοι συνοικεῖν, τοὺς θησαυροὺς ἀναπετάσασα χρῆσιν καὶ ἀπόλαυσιν τῶν ἐνόντων ἀφθονωτάτην εἰς ἀεὶ παρέξω. Βούλομαι δέ σοι προειπεῖν τὸ πλῆθος τῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταμιευομένων ἀγαθῶν, ἵνα, καὶ ἂν συναινῇς, ἑκὼν ἀσμενίζῃς, καὶ ἂν ἀποστρέφῃ, μὴ ἀγνοῶν ἀρνῇ. Ἄνεσίς ἐστι παρ᾽ ἐμοὶ καὶ ἄδεια καὶ ἐκεχειρία, καὶ πόνων ἀμελετησία, καὶ χρωμάτων ποικιλία, καὶ κλάσεις ἐμμελέσταται φωνῆς, σιτία τε πολυτελῆ καὶ ποτά, ὀσμῶν ἡδίστων παμπληθεῖς διαφοραί, συνεχεῖς ἔρωτες, ἀπαιδαγώγητοι παιδιαί, μίξεις ἀνεξέταστοι, ἀνουθέτητοι λόγοι, ἔργα ἀνυπεύθυνα, ἄφροντις βίος, μαλακώτατος ὕπνος, κόρος ἀπλήρωτος. Ἐὰν οὖν ἐθελήσῃς σὺν ἐμοὶ ποιεῖσθαι τὰς διατριβάς, ἐκ πάντων ὧν εὐτρέπισά σοι τὰ ἁρμόζοντα δωρήσομαι, συνεπισκοποῦσα τί ἂν φαγὼν ἢ τί πιὼν γανωθείης, ἢ τί τοῖς ὀφθαλμοῖς ἰδὼν ἢ τοῖς ὠσὶν ἀκούσας ἢ μυκτῆρσιν ὀσφραινόμενος ἡσθείης. Ἐλλείψει δὲ οὐδὲν ὧν ἂν ἐπιθυμήσῃς· πλείω γὰρ τῶν ἀναλισκομένων εὑρήσεις τὰ γεννώμενα. Φυτὰ γάρ ἐστιν ἐν τοῖς λεχθεῖσι θησαυροῖς ἀειθαλῆ, βλαστάνοντα καὶ τίκτοντα καρποὺς ἐπαλλήλους, ὡς τὴν τῶν ὡραίων καὶ νέων ἀκμὴν ἐπιτρέχειν καὶ καταλαμβάνειν τοὺς ἤδη πεπανθέντας. Πόλεμος δὲ οὐδὲ εἷς ἐμφύλιος ἢ ξενικὸς τὰ φυτὰ ταῦτα πώποτε ἔτεμεν, ἀλλ᾽ ἀφ᾽ οὗ τὸ πρῶτον αὐτὰ γῆ παρέλαβεν, ὥσπερ ἀγαθὴ τροφὸς τιθηνεῖται, ῥίζας μὲν οἱονεὶ θεμελίους εἰς τὸ κάτω βαλλομένη κραταιοτάτας, τὸ δὲ ὑπὲρ γῆς ἔρνος οὐρανόμηκες ἀνατείνασα, κλάδους δὲ ἐκφύσασα τῶν ἐν ζώοις χειρῶν καὶ ποδῶν ἀναλογοῦντα μιμήματα· πέταλα δέ, οἷον κόμας, σκέπην ἐν ταὐτῷ καὶ κόσμον ἐπανθῆσαι παρεσκεύασά σοι, καρποὺς δὲ ἐπὶ τούτοις, ὧν ἕνεκα καὶ ἐκεῖνα."

*Alterius sinceritas et veritas.* (3. 4.)

3. [*] Τούτων ἀκούσασα ἡ ἑτέρα — καὶ γὰρ ἐν ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κρύφῳ μέν, ἐν ἐπηκόῳ δὲ εἱστήκει — δείσασα μήποτε λαθὼν ὁ νοῦς αἰχμάλωτος ἀνδραποδισθεὶς ὑπαχθῇ τοσαύταις δωρεαῖς καὶ ὑποσχέσεσιν, ἔτι καὶ πρὸς τὴν ὄψιν ἐνδιδοὺς εὖ καὶ ποικίλως ἐπὶ ἀπάτῃ *τετεχνιτευμένην* — διὰ γὰρ τῶν περιάπτων καὶ μαγγανειῶν ἔνυττεν, ἐκήλει, γαργαλισμὸν ἐνειργάζετο — παρελθοῦσα ἐξαίφνης ἐπιφαίνεται, ἐλευθέρας καὶ ἀστῆς προςφερομένη πάντα, σταθερὸν βάδισμα, ἠρεμαιοτάτην ὄψιν, χρῶμα καὶ τὸ αἰδοῦς καὶ τὸ σώματος ἀκιβδήλευτον, ἀψευδὲς ἦθος, ἀνόθευτον βίον, ἀποίκιλον γνώμην, λόγον οὐ φένακα, διανοίας ὑγιοῦς ἀληθέστατον μίμημα, σχέσιν ἄπλαστον, οὐ σεσοβημένην κίνησιν, μετρίαν ἐσθῆτα, τὸν χρυσοῦ τιμιώτερον φρονήσεως καὶ ἀρετῆς κόσμον. Συνείποντο δὲ αὐτῇ εὐσέβεια, ὁσιότης, ἀλήθεια, θέμις, ἁγιστεία καὶ εὐορκία, δικαιοσύνη, ἰσότης, εὐσυνθεσία, κοινωνία, ἐχεμυθία, σωφροσύνη, κοσμιότης, ἐγκράτεια, πραότης, ὀλιγόδεια, εὐκολία, αἰδώς, ἀπραγμοσύνη, ἀνδρία, γενναιότης, εὐβουλία, προμήθεια, φρόνησις, προσοχή, διόρθωσις, εὐθυμία, χρηστότης, ἡμερότης, ἠπιότης, φιλανθρωπία, μεγαλοφροσύνη, μακαριότης, ἀγαθότης — ἐπιλείψει με ἡ ἡμέρα λέγοντα τὰ τῶν κατ' εἶδος ἀρετῶν ὀνόματα. Αὗται παρ' ἑκάτερα στᾶσαι μέσην αὐτὴν ἐδορυφόρουν.

4. Ἡ δὲ σχῆμα τὸ σύνηθες ἑαυτῇ λαβοῦσα λόγων ἤρξατο τοιῶνδε· „Τὴν τερατουργὸν καὶ μάχλον καὶ μυθολόγον εἶδον ἡδονὴν τραγικώτερον ἐνεσκευασμένην καὶ λιπαρῶς θαμινά σοι προσομιλοῦσαν. Ὥςτε — εἰμὶ γὰρ μισοπόνηρος φύσει — δείσασα μὴ λάθῃς ἀπατηθεὶς καὶ συναινέσας κακοῖς μεγίστοις ὡς ὑπερβάλλουσιν ἀγαθοῖς, ἠξίωσα τὰ προσόντα τῇ γυναικὶ μετὰ πάσης ἀληθείας προειπεῖν, ἵνα μηδὲν ἀγνοίᾳ τῶν συμφερόντων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπωσάμενος ἀβούλητον ἐμπορεύσῃ κακοπραγίαν. Τὴν μὲν οὖν σκευὴν, ᾗ κέχρηται, πᾶσαν ἀλλοτρίαν ἴσθι· τῶν γὰρ εἰς γνήσιον κάλλος οὐδὲν οἰκεῖον ἐξ αὐτῆς ἐπιφέρεται, περιῆπται δὲ δίκτυα καὶ πάγας ἐπὶ τῇ σῇ θήρᾳ, νόθην καὶ κίβδηλον εὐμορφίαν· Ἃ προειδόμενος, ἢν εὖ φρονῇς, ἀτελῆ τὴν ἄγραν αὐτῇ παρασκευάσεις. Ὀφθαλμοὺς μὲν γὰρ φανεῖσα ἡδύνει, ὦτα δὲ φθεγξαμένη λιγαίνει· ψυχὴν δέ, τὸ πλείστου ἄξιον κτῆμα, καὶ διὰ τούτων καὶ τῶν ἄλλων ἁπάντων μερῶν πέφυκε λυμαίνεσθαι. Τῶν δὲ περὶ αὐτήν, ἃ μὲν ἔμελλεν ἀκούσαντί σοι [*] προσηνῆ γενήσεσθαι, διεξῆλθε· τὰ δὲ ἄλλα, ὅσα μὴ ῥᾳστώνην εἶχεν ἀμύθητα ὄντα, ἐθελοκακοῦσα ἐπεκρύψατο, οἷς οὐκ ἄν τινα συναινέσειν εὐχερῶς προσεδόκησεν. Ἐγὼ δὲ καὶ ταῦτα ἀπαμφιάσασα ἀναδείξω, καὶ οὐ μιμήσομαι τρόπους ἡδονῆς, ὡς ὅσα μέν ἐστιν ἐπαγωγὰ ἐν ἐμοὶ μόνα ἐπιδείξασθαι, τὰ δὲ ἔχοντα δυςκολίαν συσκιάσαι καὶ περιστεῖλαι· ἀλλὰ τὸ ἐναντίον, τὰ μὲν τέρψιν ἐξ ἑαυτῶν καὶ χαρὰν ἐνδιδόντα ἡσυχάσω, εἰδυῖα ὅτι φωνὴν ῥήξει τὴν δι' ἔργων, τὰ δὲ ἐπαχθῆ καὶ δυσυπομόνητα κυρίως ἑρμηνεύσω, τοῖς ὀνόμασι γυμνοῖς ἐν μέσῳ τιθεῖσα αὐτά, ὡς ἔκδηλον τὴν ἑκάστου φύσιν καὶ τοῖς ἀμυδρῶς ὁρῶσι προφαίνεσθαι. Τῶν γὰρ ἡδονῆς μεγίστων ἀγαθῶν τὰ παρ' ἐμοὶ μέγιστα δοκοῦντα εἶναι κακὰ καλλίω καὶ τιμιώτερα τοῖς χρωμένοις ἐξελεγχθήσεται. Πρὶν δὲ περὶ τῶν ἰδίων ἄρξασθαι, ὅσα ἂν ἐνδέχηται τῶν ὑπ' ἐκείνης ἡσυχασθέντων ὑπομνήσω. Εἰποῦσα γὰρ περὶ ὧν ἐθησαυρίσατο, χρωμάτων, φωνῶν, χυλῶν, ἀτμῶν, ποιοτήτων, δυνάμεων τῶν κατὰ ἁφὴν καὶ πᾶσαν αἴσθησιν, καὶ τῷ τῆς ἀκροάσεως ἐφηδύνασα προσαγωγῷ, τὰς ἄλλας νόσους καὶ κῆρας ἑαυτῆς οὐκ ἐμήνυσεν, αἷς ἐξ ἀνάγ-
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κης ἐκεῖνα αἱρούμενος χρήσῃ, ἵνα αὔρᾳ τινὸς ὠφελείας ἐπαρθεὶς ἐντὸς ἀρκύων ληφθῇς. Ἴσθι οὖν, ὦ οὗτος, ὅτι γενόμενος φιλήδονος πάντα ἔσῃ ταῦτα· πανοῦργος, θρασύς, ἀνάρμοστος, ἄμικτος, δύςχρηστος, ἔκθεσμος, ἀργαλέος, ἀκρόχολος, ἀνεπίσχετος, φορτικός, ἀνουθέτητος, εὐχερής, κακότεχνος, ἀδιάγωγος, ἄδικος, ἄνισος, ἀκοινώνητος, ἀσύμβατος, ἄσπονδος, πλεονέκτης, κακονομώτατος, ἄφιλος, ἄοικος, ἄπολις, στασιώδης, ἄτακτος, ἀσεβής, ἀνίερος, ἀνίδρυτος, ἄστατος, ἀνοργίαστος, βέβηλος, ἐναγής, βωμολόχος, ἀλάστωρ, παλαμναῖος, ἀνελεύθερος, ἀπότομος, θηριώδης, ἀνδραποδώδης, δειλός, ἀκόλαστος, ἄκοσμος, αἰσχρουργός, αἰσχροπαθής, ἀχρώματος, ἄμετρος, ἄπληστος, ἀλαζών, δοκησίσοφος, αὐθάδης, βάναυσος, βάσκανος, φιλεγκλήμων, δύςερις, διάβολος, χαῦνος, ἀπατεών, ἀγύρτης, εἰκαῖος, ἀμαθής, ἀναίσθητος, ἀσύμφωνος, ἄπιστος, ἀπειθής, ἀφηνιαστής, γόης, εἴρων, κέρκωψ, δυςυπονόητος, δυςώνυμος, δυςεύρετος, δύςφευκτος, ἐξώλης, κακόνους, ἀσύμμετρος, ἀκαιρολόγος, μακρήγορος, ἀδολέσχης, ἀερόμυθος, κόλαξ, νωθής, βαρυπενθής, δυςάλγητος, ψοφοδεής, ὑπερθετικός, ἀπερίσκεπτος, ἀπροόρατος, ἀπρονόητος, ὀλίγωρος, ἀπαράσκευος, ἀπειρόκαλος, [*] πλημμελής, σφαλλόμενος, διαπίπτων, ἀδιοίκητος, ἀπροστασίαστος, λίχνος, ἀγόμενος, διαῤῥέων, ἀνευένδοτος, δολιώτατος, διχόνους, δίγλωσσος, ἐπίβουλος, ἐνεδρευτικός, ῥᾳδιουργός, ἀδιόρθωτος, ἐνδεὴς ἀεί, ἀβέβαιος, ἀλήτης, ἑπόμενος, φορᾷ χρώμενος, εὐεπιχείρητος, ἐπιμανής, ἄψικορος, φιλόζωος, δοξοκόπος, βαρύμηνις, βαρύσπλαγχνος, βαρύθυμος, μελλητής, ὕποπτος, δυςίατος, καχυπόνους, δύςελπις, ἀρίδακρυς, ἐπιχαιρέκακος, λελυττηκώς, παρακεκομ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένος, ἀδιατύπωτος, κακομήχανος, αἰσχροκερδής, φίλαυτος, ἐθελόδουλος, ἐθελέχθρος, δημοκόπος, κακοικονόμος, σκληραύχην, θηλυδρίας, ἐξίτηλος, ἐκκεχυμένος, σκωπτικός, τρωκτικός, ἠλίθιος, βαρυδαιμονίας ἐμπεφορημένος ἀκράτου. *Τοιοῦτα τῆς περικαλλοῦς καὶ περιμαχήτου μεγάλα μυστήρια ἡδονῆς ἐστιν, ἅπερ ἑκοῦσα ἀπεκρύψατο δέει τοῦ μὴ γνόντα σε ἀποστραφῆναι τὴν εἰς τὸ αὐτὸ σύνοδον αὐτῆς.* Τῶν δὲ παρ᾽ ἐμοὶ θησαυριζομένων ἀγαθῶν τὸ πλῆθος ἢ μέγεθος τίς ἂν ἀξίως εἰπεῖν δυνηθείη;“

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ
# ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ
## ΕΙΣ ΤΡΙΑ ΓΕΝΗ ΤΩΝ ΔΕΚΑ ΛΟΓΩΝ,
### ΤΟ ΤΡΙΤΟΝ, ΤΟ ΤΕΤΑΡΤΟΝ, ΤΟ ΠΕΜΠΤΟΝ· ΤΟ ΠΕΡΙ ΕΥΟΡΚΙΑΣ ΚΑΙ ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΤΗΣ ΙΕΡΑΣ ΕΒΔΟΜΗΣ ΚΑΙ ΓΟΝΕΩΝ ΤΙΜΗΣ.

## DE
# SPECIALIBUS LEGIBUS
## QUAE
## REFERUNTUR AD TRIA DECALOGI CAPITA,
### VIDELICET TERTIUM, QUARTUM QUINTUMQUE: DE IUREIURANDO RELIGIONEQUE, DE SACRO SABBATO, DE HONORE HABENDO PARENTIBUS.
### LIB. II. *)

[II, 270.]

*Harum legum specialium prima (tertia inter decem) nos admonet, „ne Dei nomine utamur in vanum". Primum, si iusiurandum necessitas postulat, ne per Deum iuremus, sed per parentes sive per coelum et terram, et alia.*

1. Ἐν μὲν τῇ πρὸ ταύτης βίβλῳ δύο κεφάλαια ἠκρίβωται τῶν δέκα, τό τε περὶ τοῦ μὴ νομίζειν θεοὺς

*) Liber de specialibus legibus primus continere censendus est libros, qui praecedunt, de circumcisione, de monarchia duos, de sacerdotum praemiis, de animalibus sacrificio idoneis, de sacrificantibus, de mercede meretricis, maxima ex parte in T. IV. huius edit. comprehensos.

αὐτοκρατεῖς ἑτέρους καὶ τὸ περὶ τοῦ μηδὲν θεοπλαστεῖν χειρόκμητον· εἴρηται δὲ καὶ τὰ ἑκατέρῳ τῶν κατὰ μέρος διατεταγμένων ἁρμόττοντα νόμιμα. Νυνὶ δὲ περὶ τῶν τριῶν τῶν κατὰ *τὸν στίχον* ἑξῆς διαλεξόμεθα, πάλιν ἐφαρμόττοντες τὰ προσήκοντα τῶν ἐν εἴδει. Πρῶτον δέ ἐστι τῶν τριῶν τὸ μὴ θεοῦ ὄνομα λαμβάνειν ἐπὶ ματαίῳ. Ὁ γὰρ τοῦ σπουδαίου, φησί, λόγος ὅρκος ἔστω βέβαιος, ἀκλινής, ἀψευδέστατος, ἐρηρεισμένος ἀληθείᾳ. Καὶ ἂν εἰ ὀμνύναι μέντοι βιάζοιντο αἱ χρεῖαι, πατρὸς ἢ μητρὸς ζώντων μὲν ὑγίειαν καὶ εὐγηρίαν, [*] τετελευτηκότων δὲ τὴν μνήμην ὅρκον ποιητέον· ἀπεικονίσματα γάρ οὗτοί γε καὶ μιμήματα θείας δυνάμεώς εἰσι, τοὺς μὴ ὄντας εἰς τὸ εἶναι παραγαγόντες. Ἀναγέγραπταί τις ἐν τοῖς νόμοις τῶν ἀρχηγετῶν καὶ ἐπὶ σοφίᾳ μάλιστα θαυμασθέντων ὀμνὺς „κατὰ τοῦ φόβου τοῦ πατρός" (Gen. 31, 53), ὑπὲρ ὠφελείας οἶμαι τῶν ἔπειτα καὶ διδαχῆς ἀναγκαίας, ἵνα τοὺς γονεῖς ὃν χρὴ τρόπον τιμῶσι, στέργοντες ὡς εὐεργέτας καὶ εὐλαβούμενοι ὡς ὑπὸ φύσεως κατασταθέντας ἄρχοντας, καὶ μὴ ῥᾳδίως ἐπιχειρῶσιν ὀνομάζειν θεόν. Ἄξιον ἐπαινεῖν καὶ τούς, ὁπότε βιασθεῖεν ὀμνύναι, τῷ μέλλειν καὶ βραδύνειν καὶ ἀποκνεῖν ἐμποιοῦντας δέος οὐ μόνον τοῖς ὁρῶσιν, ἀλλὰ καὶ τοῖς προκαλουμένοις εἰς τὸν ὅρκον· εἰώθασι γὰρ ἀναφθεγξάμενοι τοσοῦτον μόνον „νὴ τόν", ἢ „μὰ τόν", μηδὲν παραλαβόντες, ἐμφάσει τῆς ἀποκοπῆς, τρανοῦν ὅρκον οὐ γενόμενον. Ἀλλὰ καὶ παραλαβέτω τις, εἰ βούλοιτο, μὴ μὴν τὸ ἀνωτάτω καὶ πρεσβύτατον εὐθὺς αἴτιον, ἀλλὰ γῆν, ἥλιον, ἀστέρας, οὐρανόν, τὸν σύμπαντα κόσμον· ἀξιολογώτατα γὰρ ταῦτά γε, καὶ πρεσβύτερα τῆς ἡμετέρας γενέσεως καὶ προσέτι ἀγήρω διαιωνιοῦντα τῇ τοῦ πεποιηκότος γνώμῃ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Temerarii in iurando.*

2. Τοσαύτῃ δέ τινες εὐχερείᾳ καὶ ῥᾳθυμίᾳ χρῶνται, ὥςτ᾽ ἐν γενέσει πάντα ταῦτα ὑπερβάντες ἐπὶ τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων ἀνατρέχειν τῷ λόγῳ τολμῶσι, μὴ τόπους εἰ βέβηλοι ἢ ἱεροί, μὴ καιροὺς εἰ ἐπιτήδειοι, μὴ αὑτοὺς εἰ καθαροὶ σῶμα καὶ ψυχήν, μὴ τὰ πράγματα εἰ μεγάλα, μὴ τὰς χρείας εἰ ἀναγκαῖαί εἰσι, προςεξετάσοντες, ἀλλά, τὸ λεγόμενον δὴ τοῦτο, ἀνίπτοις χερσὶ πάντα φύροντες, ὡς δέον, ἐπειδὴ γλῶτταν αὐτοῖς ἡ φύσις ἐδωρήσατο, λελυμένῃ χρῆσθαι καὶ ἀχαλίνῳ πρὸς ἃ μὴ θέμις. Οὓς ἐχρῆν ὀργάνων τῷ καλλίστῳ, ᾧ φωνὴ καὶ λόγος, τὰ βιωφελέστατα καὶ κοινωνίας αἴτια, συντετράνωται, πρὸς τιμὴν καὶ σεμνότητα καὶ εὐδαιμονισμὸν καταχρῆσθαι τοῦ πάντων αἰτίου. Νυνὶ δὲ ὑπὸ τῆς ἄγαν ἀσεβείας περὶ ὧν ἂν τύχῃ τὰς φρικωδεστάτας ὀνομάζουσι κλήσεις, καὶ ἄλλα ἐπ᾽ ἄλλοις ἐπιφέροντες ὀνόματα σωρηδὸν οὐκ ἐρυθριῶσι, νομίζοντες τῇ πυκνότητι καὶ τῷ συνεχεῖ τῶν ἐπαλλήλων ὅρκων, ὧν διανοοῦνται, περιέσεσθαι, λίαν ὄντες εὐήθεις. Οὐ γὰρ πίστεως ἡ πολυορκία τεκμήριον, ἀλλ᾽ ἀπιστίας ἐστὶ παρὰ τοῖς εὖ φρονοῦσιν.

*Qui coactus iurat, hoc nonnisi in veritatis honorem faciat.*

|3. Ἐὰν δέ τις ἐκβιασθεὶς ὀμόσῃ περὶ παντὸς οὑτινοσοῦν, ὃ μὴ νόμος [*] ἀπειρήκει, παντὶ σθένει καὶ μηχανῇ πάσῃ τὸν ὅρκον βεβαιούτω, μηδὲν ἐμποδὼν τιθέμενος εἰς τὴν τοῦ γνωσθέντος τελείωσιν· καὶ μάλιστα ἐπειδὰν μὴ ὀργαὶ ἀτίθασσοι ἢ λελυττηκότες ἔρωτες ἢ ἐπιθυμίαι ἀκάθεκτοι τὴν διάνοιαν ἐκμαίνωσιν ὡς ἀγνοῆσαι τὰ λεγόμενα καὶ πραττόμενα, λογισμῷ δὲ καὶ διανοίᾳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νηφούσῃ ποιῆται τὸν ὅρκον. Τί γὰρ ἄμεινον ἢ ἀψευδεῖν παρ' ὅλον τὸν βίον καὶ ταῦτα μάρτυρι θεῷ χρώμενον; ὅρκος γὰρ οὐδὲν ἄλλο ἐστὶν ἢ μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου. Θεὸν δὲ μὴ ἐπ' ἀληθείᾳ καλεῖν πάντων ἀνοσιώτατον. Ὁ γὰρ τοῦτο ποιῶν μόνον οὐκ ἄντικρυς βοᾷ, κἂν ἡσυχάζῃ· „Σοὶ χρῶμαι τοῦ ἀδικεῖν παρακαλύμματι· αἰδουμένῳ μοι *τὸ* δοκεῖν ἁμαρτάνειν συνέργητον· ἀντ' ἐμοῦ πονηρευομένου τὴν αἰτίαν ὑπόστηθι. Μέλει γάρ μοι πλημμελοῦντι μὴ φαύλῳ νομίζεσθαι. Σὺ δὲ τῆς παρὰ τοῖς πιστοῖς δόξης ἀλογεῖς, οὐδὲν εὐφημίας ἐπιστρεφόμενος." Ἅπερ καὶ λέγειν καὶ ἐννοεῖσθαι ἀσεβέστατον. Ἀγανακτῆσαι γὰρ ἄν, οὐχ ὅτι θεὸς ὁ πάσης κακίας ἀμέτοχος, ἀλλὰ καὶ πατὴρ καὶ ὀθνεῖος ἄνθρωπος μὴ τελείως ἀρετῆς ἄγευστος, εἰ τοιαῦτα ἀκούοι. Πάντας μὲν οὖν ὅρκους, ὡς ἔφην, βεβαιωτέον, ὅσοι περὶ καλῶν καὶ συμφερόντων γίνονται πρὸς ἐπανόρθωσιν ἰδίων ἢ κοινῶν πραγμάτων, φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιότητος ἡγουμένων.

*Ad firmandum mendacium vel aliam pravitatem iurare pro scelere est habendum.* (4. 5.)

4. Τούτοις ἐμφέρονται καὶ τῶν εὐχῶν αἱ νομιμώταται διὰ περιουσίαν ἀγαθῶν ἢ παρόντων ἢ προσδοκωμένων γινόμεναι. Τοὺς δὲ ἕνεκα τῶν ἐναντίων ἐπικυροῦν οὐκ εὐαγές. Καὶ γὰρ οἳ ὀμνύουσιν, ἐὰν τύχοι, κλοπὰς καὶ ἱεροσυλίας, ἢ μοιχείας καὶ φθοράς, ἢ τραύματα καὶ σφαγάς, ἤ τι τῶν ὁμοιοτρόπων κακῶν ἐργάσασθαι, καὶ ἀνυπερθέτως αὐτὰ δρῶσι, ποιούμενοι πρόφασιν τῷ εὐορκεῖν· ὡς οὐκ ἄμεινον καὶ θεῷ κεχαρισμένον μᾶλλον τῆς παραβάσεως τῶν ὅρκων τὸ μηδὲν ἀδικεῖν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐπὶ δικαιοσύνῃ καὶ πάσῃ ἀρετῇ νόμος ἐστὶ πάτριος καὶ θεσμὸς ἀρχαῖος. Νόμοι δὲ καὶ θεσμοὶ τί ἕτερον εἰσὶν ἢ φύσεως ἱεροὶ λόγοι τὸ βέβαιον καὶ τὸ πάγιον ἐξ αὑτῶν ἔχοντες, ὡς ὅρκων ἀδιαφορεῖν; Ἴστω δὲ πᾶς ἐνωμότως ἄδικα δρῶν, ὅτι εὐορκεῖ μὲν οὔ, τὸν δὲ πολλῆς φυλακῆς καὶ ἐπιμελείας ἄξιον ὅρκον ἀνατρέπει, ᾧ τὰ καλὰ καὶ δίκαια ἐπισφραγίζεται· προστίθησι γὰρ ὑπαίτια ὑπαιτίοις ἐν οὐ δέοντι γινομένοις ὅρκοις, οὓς πολὺ [*] βέλτιον ἦν ἡσυχάζεσθαι πράξεις παρανόμους. Ἀπεχόμενος οὖν τοῦ ἀδικοπραγεῖν ποτνιάσθω τὸν θεόν, ἵνα μεταδῷ τῆς ἵλεω δυνάμεως αὑτῷ συγγενοῦς, ἐφ᾽ οἷς ἀβουλίᾳ χρησάμενος ὤμοσε. Διπλάσια γὰρ αἱρεῖσθαι κακά, δυνάμενον τὴν ἡμίσειαν αὐτῶν ἀποφορτίσασθαι, μανία καὶ φρενοβλάβεια δυσίατος. Εἰσὶ δέ, οἳ τὴν φύσιν ἄμικτοι καὶ ἀκοινώνητοι δι᾽ ὑπερβολὴν μισανθρωπίας γεγονότες, ἢ καὶ ὑπ᾽ ὀργῆς οἷα χαλεπῆς δεσποίνης ἐκβιασθέντες, ὅρκῳ τὴν ἀγριότητα πιστοῦνται τῶν ἠθῶν, οἵτινες οὔ φασιν ὁμοτράπεζον ἢ ὁμορόφιον ἕξειν τὸν δεῖνα ἢ τὸν δεῖνα, ἢ πάλιν τῷ δεῖνι μὴ παρέξειν ὠφέλειάν τινα, ἢ παρ᾽ ἐκείνου τι λήψεσθαι μέχρι τελευτῆς. Ἔστι δὲ ὅτε καὶ μετὰ τὴν τελευτὴν τὸ ἀσύμβατον διαφυλάττουσιν, οὐδὲ νεκροῖς τοῖς σώμασιν ἐπιτρέποντες ἐν διαθήκαις τὰ νομιζόμενα παρασχεῖν. Οἷς παραινέσαιμι ἂν καθ᾽ ἃ καὶ τοῖς προτέροις, εὐχαῖς καὶ θυσίαις ἐξευμενίζεσθαι τὸ θεῖον, ἵνα εὕρωνταί τινα ψυχικῶν ἀῤῥωστημάτων θεραπείαν, ἃ μηδεὶς ἀνθρώπων ἱκανὸς ἰάσασθαι.

5. Ἕτεροι δέ εἰσι κομπασταὶ τῶν ὑπ᾽ ἀλαζονείας φυσσωμένων, οἳ λιμοδοξοῦντες οὐδενὶ τῶν εἰς ὠφελιμωτάτην ὀλιγόδειαν χρῆσθαι δικαιοῦσιν, ἀλλὰ καὶ ἂν προτρέπῃ τις ἕνεκα τοῦ τὸν ἀφηνιασμὸν τῶν ἐπιθυμιῶν ἀνα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χαιτίσαι, τὴν νουθεσίαν ὕβριν εἶναι νομίζουσι καὶ πρὸς τὸν ἁβρόδίαιτον ὠθούμενοι βίον ἀλογοῦσι τῶν σωφρονιστῶν, γέλωτα καὶ χλεύην τιθέμενοι τὰς φρονήσεως ὁμοῦ καλὰς καὶ λυσιτελεστάτας ὑφηγήσεις. Εἰ δὲ δὴ καὶ τύχοι τις οὖσα περιουσία καὶ ἀφθονία τῶν περὶ βίον, ὅρκοις ἐπισφραγίζονται τὴν χρῆσιν καὶ ἀπόλαυσιν τῶν εἰς πολυτέλειαν. Οἷον δή τι λέγω. Πρώην τις τῶν οὐκ ὀλίγα κεκτημένων ὑγρὸν καὶ διαῤῥέοντα βίον ἀσπασάμενος, ἐπειδὴ πρεσβύτης παρὼν συγγενὴς ἢ πατρικός γ' οἶμαι φίλος ἐνουθέτει, πρὸς τὸ σεμνότερον καὶ αὐστηρότερον τὴν δίαιταν παρακαλῶν μεταβαλεῖν, τὴν παραίνεσιν οὐ μετρίως δυσχεράνας ὤμοσεν ἀντιφιλονεικῶν, ἕως ἂν τὰς χορηγίας ἔχῃ καὶ τὰς παρασκευάς, μηδενὶ χρήσεσθαι τῶν εἰς εὐτέλειαν, μὴ κατὰ πόλιν, μὴ κατ' ἀγρούς, μὴ πλέων, μὴ πεζεύων, ἀλλ' ἀεὶ καὶ πανταχοῦ τὸν πλοῦτον ἐπιδείξεσθαι. Πλούτου δὲ ταῦθ', ὡς ἔοικεν, ἐπίδειξις οὐκ ἔστι μᾶλλον ἢ ἀλαζονείας καὶ ἀκρασίας. Καίτοι τῶν ἐν ταῖς μεγάλαις ἡγεμονίαις οὐκ ὀλίγοι μέχρι νῦν εἰσὶν οἳ παμπληθεῖς ἔχοντες παρασκευὰς καὶ χορηγίας ἀφθόνους, ὥσπερ ἐξ ἀενάου τινὸς πηγῆς πλούτου ῥέοντος αὐτοῖς ἀδιάστως, ὅμως ἐφ' ἃ καὶ οἱ πένητες ἡμεῖς ἔστιν ὅτε τρέπονται, κεραμιαίας κύλικας καὶ ὀβολιαίους ἄρτους καὶ ἐλαίας, ἢ τυρὸν ἢ λάχανα [*] προσόψημα, καὶ θέρους μὲν περίζωμα καὶ λινῆν ὀθόνην, χειμῶνος δὲ χλαῖναν ἀῤῥαγῆ καὶ στρυφνήν, καὶ τὰ πρὸς κοίτην ἔστιν ὅτε χαμαίστρωτα, πολλὰ χαίρειν φράσαντες κλίναις ἐλεφαντίναις, ἢ χελώνης ἢ χρυσοῦ πεποιημέναις, καὶ στρωμναῖς ἀνθοβαφέσι καὶ ἐσθῆσι καὶ ἁλουργίσι, καὶ πεμμάτων μελιπήκτων περιεργίαις, καὶ τραπεζῶν πολυτελείαις. Αἴτιον δὲ οὐ μόνον τὸ φύσεως αὐτοὺς εὐμοίρου λαχεῖν, ἀλλὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τὸ παιδείας ὀρθῆς ἐκ πρώτης ἡλικίας ἐφάψασθαι, ἥτις ἀνεδίδαξε πρὸ τῶν ἡγεμονικῶν τὰ ἀνθρώπινα τιμᾶν, ἥτις καὶ ἐνδιαιτωμένη τῇ ψυχῇ μόνον οὐ καθ' ἑκάστην ἡμέραν ὑπομιμνήσκει τῆς ἀνθρωπότητος, ἀπὸ τῶν ὑψηλῶν καὶ ὑπερόγκων ἀντισπῶσα καὶ στέλλουσα, καὶ τὸ ἄνισον ἰσότητι θεραπεύουσα. Τοιγαροῦν τὰς πόλεις εὐσθενείας, εὐπορίας, εὐνομίας, εἰρήνης ἀναπεπλήκασιν, ἀγαθὸν μὲν οὐδὲν ὑπεξελόμενοι, πάντα δὲ ἀφειδῶς καὶ ἀταμιεύτως χαριζόμενοι. Τὰ μὲν δὴ τῶν εὐγενῶν καὶ ὡς ἀληθῶς ἡγεμόνων ἔργα ταῦτα καὶ τὰ τούτοις παραπλήσια. Τὰ δὲ τῶν νεοπλούτων ἐκεῖνα, πλάνῳ τινὶ τύχης εἰς πολυχρηματίαν περιηκόντων, οἳ τὸν ἀληθῆ καὶ βλέποντα πλοῦτον, ἐξ ἀρετῶν τελείων συνεστῶτα καὶ τῶν κατ' ἀρετὰς πράξεων, οὐδ' ὄναρ ἴσασι, τῷ δὲ τυφλῷ προσέπταισαν, ἐφ' οὗ σκηριπτόμενοι, κατ' ἀναγκαῖον τὴν ἄγουσαν ὁδὸν οὐχ ὁρῶντες, εἰς ἀνοδίαν ἐκτρέπονται, θαυμάζοντες τὰ μηδεμιᾶς ἄξια τιμῆς καὶ τὰ φύσει τίμια γελῶντες, οἷς ὁ ἱερὸς λόγος ὅρκον ἐν οὐ δέοντι καιρῷ ποιουμένοις οὐ μετρίως ἐπιτιμᾷ καὶ ὀνειδίζει· δυςκάθαρτοι γὰρ καὶ δυςίατοι, ὡς μηδὲ παρὰ θεῷ τῷ τὴν φύσιν ἵλεῳ συγγνώμης ἀξιοῦσθαι.

*Iuramenta feminarum. Periurorum poenae.*

6. Παρθένων δὲ καὶ γυναικῶν (Num. 30, 4 ss.) τὸ περὶ τὰς εὐχὰς αὐτοκρατὲς ἀφείλετο, τῶν μὲν τοὺς πατέρας κυρίους, τῶν δὲ γυναικῶν τοὺς ἄνδρας ἀποφήνας, *ὡς* βεβαίωσιν ὅρκων καὶ λύσιν τῆς μὲν πατρὸς, τῆς δὲ ἀνδρὸς εἶναι. Καὶ μὴν εἰκότως· αἱ μὲν γὰρ διὰ νεότητα δύναμιν ὅρκων οὐκ ἴσασιν, ὡς χρῄζειν τῶν ἐπικρινούντων· αἱ δὲ πολλάκις ὑπὲρ εὐχερείας ὀμνύουσιν, ἃ μὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῖς ἀνδράσι συνοίσει. Διόπερ αὐτοῖς ἀνέθηκε τὴν ἐξουσίαν τοῦ τὰ νομισθέντα διαφυλάττειν, ἢ τὸ ἐναντίον. Χῆραι δὲ μὴ ῥᾳδίως ὀμνύτωσαν. Οὐ γὰρ ἔχουσι τοὺς παραιτητάς, οὔτ᾽ ἄνδρας ὧν διεζεύχθησαν, οὔτε πατέρας ἀφ᾽ ὧν μετανέστησαν ὅτε τὴν πρὸς γάμον ἀποικίαν ἐστέλλοντο, ἐπειδὴ μένειν τοὺς τούτων ὅρκους ἀναγκαῖον, ἐρημίᾳ τῶν κηδομένων βεβαιουμένους. Ἐὰν δέ τις [*] ἐπιορκοῦντά τινα εἰδὼς μὴ καταμηνύσῃ ἢ ἀπελέγξῃ, φιλίᾳ ἢ αἰδοῖ ἢ φόβῳ διδοὺς πλέον ἢ εὐσεβείᾳ, τοῖς αὐτοῖς ἐπιτιμίοις ἔνοχος ἔστω (Lev. 5, 1)· διαφέρει γὰρ τοῦ ἀδικεῖν οὐδὲν τὸ συνεπιγράφεσθαι ἀδικοῦντι. Δίκαι δὲ κατ᾽ ἐπιόρκων αἱ μὲν ἀνάκεινται θεῷ, αἱ δὲ ἀνθρώποις. Θεῷ μὲν αἱ ἀνωτάτω καὶ μέγισται· ἵλεως γὰρ οὐ γίνεται τοῖς οὕτως ἀσεβήσασιν, ἀλλὰ μένειν ἀεὶ δυςκαθάρτους ἐᾷ· δικαίως οἶμαι καὶ προςηκόντως. Ὁ γὰρ ἀμελὴς τί δεινὸν εἰ ἀνταμεληθήσεται, οἷς δίδωσι τὰ ἴσα καρπούμενος; Αἱ δὲ ἀπ᾽ ἀνθρώπων *διάφοροι*, θάνατος ἢ πληγαί· τῶν μὲν ἀμεινόνων καὶ περιττῶν εἰς εὐσέβειαν θανάτου δίκας βεβαιούντων, τῶν δὲ μαλακώτερον χρωμένων ὀργαῖς δημοσίᾳ μάστιγι τυπτόντων ἀναφανδὸν ἐν κοινῷ. Εἰσὶ δὲ καὶ πληγαὶ τοῖς μὴ δουλοπρεπέσιν οὐκ ἔλαττον δίκης θανάτου.

*Legis de feminis sensus allegoricus.*

7. Ταῦτα μὲν οὖν αἱ ῥηταὶ προστάξεις περιέχουσιν. Ἔστι δὲ ἀλληγορῆσαι τὰ περὶ *τὸν τόπον*, ἔχοντα θεωρίαν τὴν διὰ συμβόλων. Εἰδέναι τοίνυν προςήκει· ὁ τῆς φύσεως ὀρθὸς λόγος πατρὸς ὁμοῦ καὶ ἀνδρὸς ἔχει δύναμιν, ἐπινοίαις διαφόροις· ἀνδρὸς μέν, ἐπειδὴ τῶν ἀρετῶν σπόρον ὥςπερ εἰς ἀγαθὴν ἄρουραν, τὴν ψυχήν, κατα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βάλλεται· πατρὸς δέ, ὅτι βουλὰς ἀγαθὰς καὶ πράξεις καλὰς καὶ σπουδαίας γεννῶν πέφυκε καὶ γεννήσας ἐκτρέφει ποτίμοις δόγμασιν, ἃ παιδεία καὶ σοφία χορηγοῦσι. Διάνοια δὲ ἀπεικάζεται τοτὲ μὲν παρθένῳ, τοτὲ δὲ γυναικί, ἢ χηρευούσῃ ἢ ἀνδρὶ ἔτι ἡρμοσμένῃ· παρθένῳ μέν, διάνοια ἁγνὴν καὶ ἀδιάφθορον διαφυλάττουσα ἑαυτὴν ἀπό τε ἡδονῶν καὶ ἐπιθυμιῶν, ἔτι δὲ λυπῶν καὶ φόβων, ἐπιβούλων παθῶν, ἧς τὴν προστασίαν ὁ γεννητὴς ἀνῆπται πατήρ· τῆς δὲ ὡς γυναικὸς ἀστείας ἀστείῳ λόγῳ τῷ κατ' ἀρετὴν συμβιούσης τὴν ἐπιμέλειαν ὁ αὐτὸς οὗτος λόγος ἐπαγγέλλεται, σπείρων ἀνδρὸς τρόπον ἐννοίας ἀρίστας. Ἡ δὲ ἂν ἀπορφανισθῇ ψυχὴ καὶ γενεᾶς τῆς κατὰ φρόνησιν καὶ ἐπιγαμίας τῆς κατὰ τὸν ὀρθὸν λόγον, χηρεύουσα τῶν καλλίστων καὶ ἔρημος οὖσα σοφίας, ὑπαίτιον ἑλομένη ζωήν, ἔνοχος ἔστω οἷς ἔγνω καθ' ἑαυτῆς, ἰατρὸν ἁμαρτημάτων οὐκ ἔχουσα, οὔθ' ὡς ἄνδρα συμβιωτήν, οὔθ' ὡς πατέρα γεννητήν, τὸν κατὰ σοφίαν λόγον.

*Lex de votis solvendis: quoad homines.*

8. Τῶν δὲ μὴ μόνον τὰς οὐσίας ἢ μέρη τούτων, ἀλλὰ καὶ αὐτοὺς ἀνάθημα ποιησαμένων ἐν εὐχαῖς ὥρισε τιμάς, οὐ πρὸς κάλλος ἢ μέγεθος ἤ τι τῶν ὁμοιοτρόπων ἀπιδών, [*] ἀλλὰ πρὸς ἀριθμὸν ἴσον, διακρίνας ἄνδρας αὐτὸ μόνον γυναικῶν καὶ νηπίους τελείων. Κελεύει γὰρ (Lev. 27, 3 ss.) ἀπὸ μὲν εἰκοσαετίας ἄχρις ἑξηκονταετίας ἀνδρὸς εἶναι τιμὴν δραχμὰς διακοσίας νομίσματος ὁλαργύρου, γυναικὸς δὲ εἴκοσι πρὸς ταῖς ἑκατόν· ἀπὸ δὲ πενταετίας ἄχρις εἰκοσαετίας τοῦ μὲν ἄρρενος δραχμὰς ὀγδοήκοντα, τῆς δὲ θηλείας τεσσαράκοντα· ἀπὸ δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βρέφους εἰς πενταετίαν τοῦ μὲν ἄῤῥενος εἴκοσι, τοῦ δὲ θήλεος δώδεκα· τῶν δὲ ὑπὲρ ἑξήκοντα ἔτη βεβιωκότων, πρεσβυτῶν μὲν ἑξήκοντα, πρεσβυτίδων δὲ τεσσαράκοντα. Τὰ δὲ ἴσα καὶ ἐπὶ ἀῤῥένων καθ' ἡλικίαν ἑκάστην καὶ ἐπὶ θηλειῶν ὁμοίως διέταξε, τριῶν ἕνεκα τῶν ἀναγκαιοτάτων. Ἑνὸς μέν, ὅτι ἴσον ἐστὶ καὶ ὅμοιον τὸ ἀξίωμα τῆς εὐχῆς, ἐάν τε ὑπὸ μεγάλου τινός, ἐάν τε καὶ ὑπὸ εὐτελοῦς γίνηται. Δευτέρου δέ, ὅτι τοὺς εὐξαμένους ἁρμόττον οὐκ ἦν ταῖς τῶν ἀνδραπόδων ὑποβάλλεσθαι τύχαις· ἐκεῖνα γὰρ πρὸς τὰς τῶν σωμάτων εὐεξίας καὶ εὐμορφίας ἢ τὸ ἐναντίον προςεπευωνίζονται. Τρίτου δέ, ὃ καὶ ἀναγκαιότατον, ὅτι παρὰ μὲν ἡμῖν ἀνισότης, ἰσότης δὲ παρὰ θεῷ τίμιον.

*Quoad animalia et domus.*

9. Ταῦτα μὲν ἐπ' ἀνθρώπων. Ἐπὶ δὲ κτηνῶν ταῦτα νομοθετεῖται (Lev. 27, 9 ss.). Ἐάν τις ἀφορίσῃ κτῆνος, εἰ μὲν εἴη καθαρὸν ἔκ τινος γένους τῶν τριῶν ἅπερ εἰς θυσίαν ἀπενεμήθη, βοῦς ἢ πρόβατον ἢ αἴξ, ἐκεῖνο καταθυέτω, μὴ ὑπαλλαττόμενος, μήτε χεῖρον κρείττονος, μήτ' ἄμεινον χείρονος· οὐ γὰρ πολυσαρκίᾳ καὶ πιότητι ζώων χαίρει ὁ θεός, ἀλλ' ἀνυπαιτίῳ τοῦ εὐξαμένου διαθέσει. Ἐὰν δὲ ὑπαλλάττηται, δύο ἀνθ' ἑνὸς καθιερούτω, τό τε ἀρχαῖον, καὶ τὸ ἀντ' ἐκείνου. Ἐὰν δέ τις εὔξηταί τι τῶν μὴ καθαρῶν κτηνῶν, ἀγέτω πρὸς τὸν δοκιμώτατον τῶν ἱερέων. Ὁ δὲ τιμάσθω μὴ ὑπερβάλλων τὴν ἀξίαν, προςεπιθεὶς τῆς τιμῆς καὶ τὸ πέμπτον, ἵνα, εἰ δέοι καθαρὸν ἀντὶ τούτου ζῶον ἱερουργεῖν, μηδὲν ὑστερίζῃ τῆς ἀξίας τιμῆς. Καὶ ἄλλως ὑπὲρ τοῦ δυςωπῆσαι τὸν εὐξάμενον, ὅτι τὴν εὐχὴν ἐποιήσατο οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συλλογισμῷ, τὸ μὴ καθαρὸν ζῷον, ὥς γε οἶμαι, τοῦτο νομίσας εἶναι πλάνῃ διανοίας κεκρατημένος ὑπὸ πάθους. Οἰκία δὲ εἰ γένοιτο ἀνάθεμα (Lev. 27, 14 s.), πάλιν ἐχέτω τιμητὴν ἱερέα. Οἱ δὲ ὠνούμενοι μὴ τὰ ἴσα κατατιθέτωσαν. Ἀλλ' εἰ μὲν ὁ εὐξάμενος ἀνακομίζεσθαι προέλοιτο, ἐπιδαψιλευέσθω τὸ πέμπτον, κολάζων τὴν εὐχέρειαν καὶ ἐπιθυμίαν, *διττὸν κακόν*· ἐν οἷς μὲν ηὔχετο τὴν εὐχέρειαν, [*] ἐν οἷς δὲ ἐφίεται ὧν πρότερον ἐξέστη, τὴν ἐπιθυμίαν. Εἰ δὲ ἕτερος, μηδὲν πλέον τῆς ἀξίας κατατιθέσθω. Ὁ δὲ εὐξάμενος μὴ μακροὺς ἐμποιείτω χρόνους πρὸς τὴν ὧν ηὔξατο τελείωσιν ἢ τίμησιν· ἄτοπον γὰρ τὰς μὲν πρὸς ἀνθρώπους ὁμολογίας ἐπιτέμνειν πειρᾶσθαι, τὰς δὲ πρὸς θεὸν τὸν ἀνεπιδεᾶ καὶ οὐδενὸς χρεῖον ἐκπροθέσμους ἀποφαίνειν, μελλήσει καὶ βραδυτῆτι διελέγχοντας αὐτοὺς ἐπὶ τῷ μεγίστῳ τῶν ἀδικημάτων, ὀλιγωρίᾳ τῇ πρὸς αὐτόν, οὗ τὴν θεραπείαν ἀρχὴν καὶ τέλος εὐδαιμονίας εἶναι νομιστέον. Ὅρκων μὲν δὴ πέρι καὶ εὐχῶν ἅλις.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ
# ΤΗΣ ΕΒΔΟΜΗΣ.

## DE
## SEPTENARIO.

[II, 278.]

*In sacro numero septenario multa festorum genera continentur.*

1. Ἑξῆς δέ ἐστι κεφάλαιον τὸ περὶ τῆς ἱερᾶς ἑβδομάδος, ᾧ μυρία καὶ ἀναγκαῖα ἐμφέρεται εἴδη τῶν ἑορτῶν· αἱ τῶν φύσει μὲν ἐλευθέρων, διὰ δὲ καιροὺς ἀβουλήτους θητευόντων καθ' ἕβδομον ἐνιαυτὸν ἀφέσεις· αἱ πρὸς χρεώστας τῶν συμβαλλόντων φιλανθρωπίαι, τὰ δάνεια ἑβδόμῳ ἔτει τοῖς ὁμοφύλοις χαριζομένων· αἱ ἀνάπαυλαι τῆς βαθυγείου πεδιάδος τε καὶ ὀρεινῆς, αἳ γίνονται παρ' ἑξαετίαν· τὰ περὶ τοῦ πεντηκοστοῦ ἔτους νομοθετηθέντα. Ὧν καὶ ἡ ἄνευ σκοποῦ ψιλὴ διήγησις ἱκανὴ τοὺς μὲν εὐφυεῖς τελειῶσαι πρὸς ἀρετὴν, τοὺς δὲ ἀφηνιαστὰς καὶ σκληροὺς τὸ ἦθος εὐπειθεστέρους ἀπεργάσασθαι. Τὰ μὲν οὖν περὶ τῆς ἐν ἀριθμοῖς ἑβδόμης εἴρηται διὰ μακροτέρων πρότερον, ἥν τε ἔχει φύσιν ἐν δεκάδι, καὶ ἣν συγγένειαν πρός τε αὐτὴν δεκάδα καὶ πρὸς τετράδα, [*] τὴν δεκάδος ἀρχήν τε καὶ πηγήν· καὶ ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συντεθεῖσα μὲν ἀπὸ μονάδος ἑξῆς γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι τέλειον ἀριθμόν, τοῖς *αὐτοῦ* μέρεσιν ἴσον, εἰς ἀναλογίαν ἀχθεῖσα κύβον ὁμοῦ καὶ τετράγωνον ἀποτελεῖ· καὶ ὡς μυρία ἄλλα κάλλη θεωρημάτων ἐξ αὐτῆς ἐπιδείκνυται, περὶ ὧν οὐ καιρὸς μακρηγορεῖν. Ἕκαστον δὲ τῶν προκειμένων καὶ ἐμφερομένων εἰδῶν ἐπισκεπτέον, ἀπὸ τοῦ πρώτου τὴν ἀρχὴν ποιησαμένους. Ἦν δὲ πρῶτον τὸ περὶ τῶν ἑορτῶν.

*Περὶ τῶν ἑορτῶν, ὡς εἰσὶ τὸν ἀριθμὸν δέκα.* *)

2. Εἰσὶ τοίνυν ἀριθμῷ δέκα ἑορταί, ἃς ἀναγράφει ὁ νόμος. Πρώτη μέν, ἣν ἀκούσας θαυμάσαι τις ἂν ἴσως· αὕτη δέ ἐστιν ἡμέρα πᾶσα. Δευτέρα δὲ ἡ ἐξ ἡμερῶν ἑβδόμη· σάββατον αὐτὴν Ἑβραῖοι πατρίῳ γλώττῃ καλοῦσι. Τρίτη δὲ ἡ μετὰ σύνοδον τὴν κατά τινα σελήνην νέαν, *νεομηνία*. Τετάρτη δὲ τῶν διαβατηρίων, ἣ καλεῖται Πάσχα. Πέμπτη δὲ ἡ τῶν ἀσταχύων ἀπαρχή, τὸ ἱερὸν δράγμα. Ἕκτη δὲ ἄζυμα, μεθ' ἣν ἡ τῆς τῶν ἑβδομάδων ὄντως ἑβδόμη. Ὀγδόη δὲ ἱερομηνία. Ἐνάτη δὲ νηστεία. Δεκάτη δὲ ἡ τῶν σκηνῶν, ἥτις ἐστὶν ἡ τῶν ἐτησίων ἑορτῶν συμπέρασμα, εἰς τέλειον ἀριθμὸν δεκάδα τελευτῶσα. Ἀρκτέον δὲ ἀπὸ τῆς πρώτης.

*α'. Unusquisque dies — in virtute et pietate quippe colenda transigendus ad totam vitam beate degendam.* (3 - 5.)

3. Ἅπασαν ἡμέραν ἑορτὴν ἀναγράφει ὁ νόμος, πρὸς τὸν ἀνεπίληπτον βίον ἁρμοζόμενος, ὡς τῶν ἀνθρώπων ἑπομένων τῇ φύσει καὶ τοῖς ταύτης διατάγμασι. Καὶ εἴ γε μὴ παρευημέρησαν αἱ κακίαι, καταδυναστεύ-

*) Haec et aliae, quae sequuntur, paragraphorum inscriptiones graeca lingua expressae ab ipso auctore proficiscuntur.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σασαι τοὺς περὶ τῶν συμφερόντων λογισμοὺς οὓς τῆς ἑκάστων ψυχῆς ἐξῴκισαν, ἀλλ' ἔμειναν αἱ τῶν ἀρετῶν δυνάμεις εἰς ἅπαν ἀήττητοι· μία ἂν ἦν, ὁ ἀπὸ γενέσεως ἄχρι τελευτῆς χρόνος, ἀδιάστατος ἑορτή, καὶ αἵ τε οἰκίαι καὶ αἱ πόλεις ἐν ἀδείᾳ καὶ ἐκεχειρίᾳ μεσταὶ πάντων ἂν ἦσαν ἀγαθῶν, εὐδίαν ἄγουσαι πραγμάτων. Νυνὶ δὲ αἱ πλεονεξίαι καὶ ἀντεπιθέσεις, ἃς ἄνδρες ὁμοῦ καὶ γυναῖκες μηχανῶνται κατά τε ἑαυτῶν καὶ κατ' ἀλλήλων, τὸ συνεχὲς τῆς ἱλαρᾶς διέκοψαν εὐθυμίας. Ἐμφανὴς δὲ τοῦ λεγομένου ἡ πίστις. Ὅσοι γὰρ ἢ παρ' Ἕλλησιν [*] ἢ παρὰ βαρβάροις ἀσκηταὶ σοφίας εἰσίν, ἀνεπιλήπτως καὶ ἀνυπαιτίως ζῶντες, μήτ' ἀδικεῖν μήτ' *ἀνταδικεῖν* αἱρούμενοι καὶ τὰς τῶν φιλοπραγμόνων ὁμιλίας ἐκτρεπόμενοι, κατὰ χωρία. ἐν οἷς ποιοῦνται τὰς διατριβάς, προβέβληνται δικαστήρια καὶ βουλευτήρια καὶ ἀγορὰς καὶ ἐκκλησίας, καὶ συνόλως ὅπου τις τῶν εἰκαιοτέρων ἀνθρώπων θίασος ἢ σύλλογος, οἷα βίον ἀπόλεμον καὶ εἰρηναῖον ἐζηλωκότες, θεωροὶ τῆς φύσεως καὶ τῶν ἐν αὐτῇ πάντων ἄριστοι, γῆν καὶ θάλατταν καὶ ἀέρα καὶ οὐρανὸν καὶ τὰς ἐν αὐτοῖς φύσεις διερευνώμενοι, σελήνῃ καὶ ἡλίῳ καὶ τῇ χορείᾳ τῶν ἄλλων ἀστέρων πλανήτων τε καὶ ἀπλανῶν ταῖς διανοίαις συμπεριπολοῦντες, τὰ μὲν σώματα κάτω πρὸς χέρσον ἱδρύμενοι, τὰς δὲ ψυχὰς ὑποπτέρους κατασκευάζοντες, ὅπως αἰθεροβατοῦντες τὰς ἄνω δυνάμεις περιαθρῶσιν, οἷα *χρηστοὶ τῷ ὄντι κοσμοπολῖται γενόμενοι*, οἳ τὸν μὲν κόσμον ἐνόμισαν πόλιν, πολίτας δὲ τοὺς σοφίας ὁμιλητάς, ἀρετῆς ἐγγραφούσης, ᾗ πεπίστευται τὸν κοινὸν πολίτευμα πρυτανεύειν.

4. Γέμοντες οὖν καλοκἀγαθίας καὶ τῶν περὶ σῶμα καὶ ἐκτὸς ἀλογεῖν ἐθιζόμενοι, καὶ ἐξαδιαφορεῖν τὰ ἀδιά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φορα μελετῶντες, καὶ κατὰ τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν ἀλειφόμενοι, καὶ συνόλως ἐπάνω τῶν παθῶν ἵστασθαι σπουδάζοντες ἀεὶ καὶ τὸν ἐπιτειχισμὸν αὐτῶν πάσῃ δυνάμει καθαιρεῖν παιδευόμενοι, καὶ ταῖς τῆς ψυχῆς μὴ καθαπτόμενοι προσβολαῖς διὰ τὸ προσεκλελογῆσθαι τὰς ἐπιθέσεις αὐτῆς — ἐπικουφίζει γὰρ καὶ τὰ βαρύτατα τῶν ἀβουλήτων ἡ πρόληψις — καινὸν οὐδὲν *ἔτι* τῆς διανοίας τῶν συμβαινόντων ὑπολαβούσης, ἀλλ᾽ ὡς ἐπὶ παλαιοῖς καὶ ἑώλοις ἀμαυρὰν τὴν ἀντίληψιν ποιουμένης, εἰκότως ἐνευφραινόμενοι ταῖς ἀρεταῖς ἅπαντά γε τὸν βίον ἑορτὴν ἄγουσιν. Οὗτοι μὲν οὖν ὀλίγος εἰσὶν ἀριθμός, ἐμπύρευμα κατὰ πόλεις ὑποτυφόμενοι σοφίας, ἕνεκα τοῦ μὴ κατὰ τὸ παντελὲς σβεσθεῖσαν ἀρετὴν ἐκ τοῦ γένους ἡμῶν ἀφανισθῆναι. Εἰ δὲ τοῖς ὀλίγοις συνεφρόνησαν οἱ πανταχοῦ, καὶ ἐγένοντο οἵους *ἐβουλήθη* φύσις, ἀνεπίληπτοι καὶ ἀνυπαίτιοι πάντες, ἐρασταὶ φρονήσεως, χαίροντες τῷ καλῷ δι᾽ αὐτὸ τὸ καλόν, καὶ τοῦτο μόνον ἀγαθὸν ἡγούμενοι, τὰ δὲ ἄλλα ὑπήκοα καὶ δοῦλα ὡς ἂν ἄρχοντες, εὐδαιμονίας ἂν αἱ πόλεις ἐγένοντο μεσταί, τῶν μὲν ὅσα λύπης αἴτια καὶ φόβων ἀμέτοχοι, πλήρεις δὲ τῶν ἀπεργαζομένων χαρὰς καὶ εὐπαθείας· ὡς μηδένα καιρὸν ἐπιλείπειν τοῦ ἱλαροῦ [*] βίου, πάντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον εἶναι ἑορτήν.

5. Διὸ παρ᾽ ἀληθείᾳ δικαζούσῃ τῶν φαύλων οὐδείς, ἀλλ᾽ οὐδὲ τὸν βραχύτατον χρόνον ἑορτάζει, συνειδήσει τῶν ἀδικημάτων ἀγχόμενος, κἂν τῇ ψυχῇ καὶ τῇ φωνῇ καὶ τῷ προσώπῳ μειδιᾶν καθυποκρίνοιτο. Ποῦ γὰρ ἔχει καιρὸν ἀψευδοῦς εὐφροσύνης κακοβουλότατος ὢν καὶ συζῶν ἀφροσύνῃ καὶ περὶ πάντα ἀκαιρευόμενος, γλῶτταν, γαστέρα, τὰ γεννητικά; Δι᾽ ἧς μὲν ἐκβάλλει τὰ ἀπόῤῥητα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἡσυχαστέα, τὴν δὲ ἀκράτου πολλοῦ καὶ ἐδεσμάτων ἀμέτρων ἀναπίμπλησιν ὑπὸ λαιμαργίας, τοῖς δὲ καταχρῆται πρὸς ἐκνομωτάτους οἴστρους καὶ μίξεις ἀθέσμους, ὁ οὐ μόνον ἀλλοτρίοις γάμοις ἐπιμεμηνώς, ἀλλὰ καὶ *παιδοφθορῶν* καὶ βιαζόμενος τὸν ἄῤῥενα τῆς φύσεως χαρακτῆρα παρακόπτειν καὶ μεταβάλλειν εἰς γυναικόμορφον ἰδέαν, ἕνεκα τοῦ μεμιασμένῳ καὶ ἐπαράτῳ πάθει χαρίσασθαι. Δι᾽ ἣν αἰτίαν ὁ πάντα μέγας Μωσῆς, τὰς ὑπερβολὰς τοῦ περὶ τὴν ὄντως ἑορτὴν κάλλους ἰδών, τελειοτέραν ἢ κατ᾽ ἀνθρωπίνην φύσιν ὑπέλαβεν εἶναι καὶ ἀνέθηκεν αὐτῷ θεῷ, φήσας κατὰ λέξιν οὕτως· „Ἑορταὶ κυρίου." (Lev. 23, 2.) Τὸ γὰρ ἐπίλοιπον καὶ περιδεὲς τοῦ ἡμετέρου γένους λογιζόμενος καὶ ὡς ἔστι μυρίων κακῶν μεστόν, ἃ γεννῶσι μὲν αἱ ψυχῆς πλεονεξίαι, γεννῶσι δὲ αἱ σώματος κῆρες, προςβάλλουσι δὲ αἱ τῆς ψυχῆς ἀνωμαλίαι καὶ τῶν συνόντων αἱ ἀντεπιθέσεις μυρία κακὰ δρώντων τε καὶ πασχόντων, εἶθ᾽ οὕτως ἐθαύμαζεν, εἰ δύναταί τις ἐν τοσούτῳ πελάγει πραγμάτων, ἑκουσίων τε καὶ ἀκουσίων, φορούμενος καὶ μηδέποτ᾽ ἠρεμῆσαι οἷός τε ὢν μήδ᾽ ἀκινδύνῳ βίῳ μετ᾽ ἀσφαλείας ἐνορμίσασθαι, τὴν μὴ λεγομένην, ἀλλὰ πρὸς ἀλήθειαν οὖσαν ὄντως ἄγειν ἑορτήν, ἐνευφραινόμενος καὶ ἐντρυφῶν θεωρίᾳ τε τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, καὶ ἀκολουθίᾳ φύσεως, καὶ ἁρμονίᾳ πρὸς ἔργα λόγων καὶ πρὸς λόγους ἔργων. Ὅθεν ἀναγκαίως εἶπε, τὰς ἑορτὰς εἶναι μόνου θεοῦ· μόνος γὰρ εὐδαίμων καὶ μακάριος, πάντων μὲν ἀμέτοχος κακῶν, πλήρης δὲ ἀγαθῶν τελείων, μᾶλλον δέ, εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, αὐτὸς ὢν τὸ ἀγαθόν, ὃς οὐρανῷ καὶ γῇ τὰ κατὰ μέρος ὤμβρισεν ἀγαθά. Παρ᾽ ὃ καὶ τῶν πάλαι τις ἀρετῶσα διάνοια (Gen. 18, 10 ss.), γαληνιασάν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

των αὐτῇ τῶν παθῶν, ἐμειδία, χαρᾶς ἐγκύμων καὶ ὑπόπλεως γενομένη, καὶ λογισαμένη παρ᾽ αὐτῇ, μήποτ᾽ ἄρα τὸ μὲν χαίρειν ἴδιόν ἐστι μόνου θεοῦ, αὐτὴ δὲ διαμαρτάνῃ σφετεριζομένη τὰς ὑπὲρ ἄνθρωπον εὐπαθείας, εὐλαβεῖται δὲ καὶ τὸν ψυχικὸν [*] γέλωτα ἀρνεῖται μέχρι τοῦ παρηγορηθῆναι. Τὸ γὰρ δέος αὐτῆς ἐπικουφίζει ὁ ἵλεως θεός, χρησμῷ κελεύσας ὁμολογεῖν, ὅτι ἐγέλασεν, ἵνα ἡμᾶς ἀναδιδάξῃ, ὅτι οὐ κατὰ τὸ παντελὲς ἐστέρηται τὸ γεννητικὸν χαρᾶς. Ἀλλ᾽ ἔστιν ἡ μὲν ἀμιγὴς καὶ ἀκραιφνεστάτη, μηδὲν τῶν τῆς ἐναντίας ἐπιδεχομένη φύσεως, ἐξαίρετος θεοῦ. Ἡ δὲ ἀπ᾽ ἐκείνης ῥυεῖσα μικτή, [οὐ] βραχέσιν ἀνακεκραμένη λυπηροῖς, ἀνδρὸς ἤδη σοφοῦ δωρεὰν μεγίστην λαβόντος τὴν τοιαύτην μῖξιν, ἐν ᾗ πλείω τὰ ἡδέα τῶν ἀηδῶν ἀνακέκραται. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον.

β. *Sabbatum* (6 - 16): *varie appellatum, revera mundi natalis* (6).

6. Μετὰ δὲ τὴν συνεχῆ καὶ ἀδιάστατον διαιωνίζουσαν ἑορτὴν ἄγεται δευτέρα, ἡ δι᾽ ἓξ ἡμερῶν ἱερὰ ἑβδόμη. Ἣν οἱ μὲν ὠνόμασαν παρθένον, εἰς τὴν ὑπερβάλλουσαν ἁγνείαν ἀπιδόντες αὐτῆς, οἱ δὲ αὐτοὶ καὶ ἀμήτορα, σπαρεῖσαν ἐκ μόνου τοῦ πατρὸς τῶν ὅλων, ἰδέαν τῆς ἄῤῥενος γενεᾶς, ἀμέτοχον τῆς πρὸς γυναικῶν· ἀνδρειότατος γὰρ καὶ ἀλκιμώτατος ὁ ἀριθμός, εὖ πεφυκὼς πρὸς ἀρχὴν καὶ ἡγεμονίαν. Ἔνιοι δὲ αὐτὴν καιρὸν προςηγόρευσαν, ἀπὸ τῶν αἰσθητῶν τεκμηράμενοι τὴν νοητὴν αὐτῆς οὐσίαν. Ὅσα γὰρ τῶν ἐν αἰσθητοῖς ἄριστα, δι᾽ ὧν αἱ ἐτήσιοι ὧραι καὶ τῶν καιρῶν αἱ περίοδοι τεταγμένως ἐπιτελοῦνται, μετέσχηκεν ἑβδομάδος. Λέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γω δὲ πλάνητας ἑπτά, καὶ ἄρκτον, καὶ πλειάδας, καὶ σελήνης αὐξομένης τε καὶ μειουμένης ἀνακυκλήσεις, καὶ τῶν ἄλλων τὰς ἐναρμονίους καὶ παντὸς λόγου κρείττους περιφοράς. Μωσῆς δὲ ἀπὸ σεμνοτέρου πράγματος ἐκάλεσεν αὐτὴν συντέλειαν καὶ παντέλειαν· ἑξάδι μὲν τὴν γένεσιν τῶν τοῦ κόσμου μερῶν ἀναθείς, ἑβδομάδι δὲ τὴν τελείωσιν. Ἑξὰς μὲν γὰρ ἀρτιοπέριττος ἀριθμός, ἐκ τοῦ δὶς τρία παγείς, ἔχων ἄῤῥενα μὲν τὸν περιττόν, θῆλυν δὲ τὸν ἄρτιον, ἐξ ὧν εἰσὶν αἱ γενέσεις κατὰ φύσεως θεσμοὺς ἀκινήτους. Ἑβδομὰς δὲ ἀμιγέστατος καὶ φῶς, εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, ἑξάδος· ἃ γὰρ ἐγέννησεν ἑξάς, ταῦθ' ἑβδομὰς τελεςφορηθέντα ἐπεδείξατο. Παρ' ὃ καὶ γενέθλιος τοῦ κόσμου δεόντως ἂν προςαγορεύοιτο, καθ' ἣν τὸ τοῦ πατρὸς ἔργον τέλειον, ἐκ τελείων μερῶν ἀναφανέν, προςτέτακται πάντων ἀνέχειν ἔργων ἐν αὐτῇ· οὐκ ἐπειδὴ ῥαθυμίας ὁ νόμος εἰςηγητής — ἀεὶ γὰρ ἐθίζει κακοπαθεῖν, καὶ πρὸς πόνον ἀλείφει, καὶ τοὺς ἀργεῖν καὶ σχολάζειν θέλοντας προβέβληται, διείρηται γοῦν [*] ἓξ ἡμέρας ἐνεργεῖν (Exod. 20, 9) —, ἀλλ' ἵνα τοὺς συνεχεῖς καὶ ἀτρύτους πόνους χαλάσῃ καὶ τὰ σώματα μεμετρημέναις ἀνέσεσιν ἀνακτησάμενος καινώσῃ πάλιν πρὸς τὰς αὐτὰς ἐνεργείας. Οἱ γὰρ ἀναπνεύσαντες, οὐκ ἰδιῶται μόνον ἀλλὰ καὶ ἀθληταί, ῥώμην συλλέγονται, καὶ ἀπὸ κραταιοτέρας δυνάμεως ἀνυπερθέτως ἕκαστα τῶν πρακτέων τλητικῶς ὑπομένουσι. Προστάξας μέντοι μὴ διαπονεῖν τοῖς σώμασι κατὰ τὰς ἑβδομάδας, ἐφῆκε τὰς ἀμείνους πράξεις ἐπιτελεῖν. Αὗται δέ εἰσιν αἱ διὰ λόγων καὶ δογμάτων τῶν κατ' ἀρετήν· προτρέπει γὰρ φιλοσοφεῖν τότε, βελτιοῦντας τὴν ψυχὴν καὶ τὸν ἡγεμόνα νοῦν. Ἀναπέπταται γοῦν ταῖς ἑβδο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μαις μυρία κατὰ πᾶσαν πόλιν διδασκαλεῖα φρονήσεως καὶ σωφροσύνης καὶ ἀνδρείας καὶ δικαιοσύνης καὶ τῶν ἄλλων ἀρετῶν· ἐν οἷς οἱ μὲν ἐν κόσμῳ καθέζονται, σὺν ἡσυχίᾳ τὰ ὦτα ἀνωρθιακότες, μετὰ προσοχῆς πάσης, ἕνεκα τοῦ διψῆν λόγων ποτίμων, ἀναστὰς δέ τις τῶν ἐμπειροτάτων ὑφηγεῖται τὰ ἄριστα καὶ συνοίσοντα, οἷς ἅπας ὁ βίος ἐπιδώσει πρὸς τὸ βέλτιον. Ἔστι δέ, ὡς ἔπος εἰπεῖν, τῶν κατὰ μέρος ἀμυθήτων λόγων καὶ δογμάτων δύο τὰ ἀνωτάτω κεφάλαια, τό τε πρὸς θεὸν δι' εὐσεβείας καὶ ὁσιότητος, καὶ τὸ πρὸς ἀνθρώπους διὰ φιλανθρωπίας καὶ δικαιοσύνης· ὧν ἑκάτερον εἰς πολυσχιδεῖς ἰδέας, καὶ πάσας ἐπαινετάς, τέμνεται. Ἐξ ὧν δῆλόν ἐστιν, ὅτι Μωσῆς οὐδένα καιρὸν ἀπράκτους ἐᾷ τοὺς χρωμένους αὐτοῦ ταῖς ἱεραῖς ὑφηγήσεσιν. Ἀλλ' ἐπειδὴ συνέστημεν ἐκ ψυχῆς καὶ σώματος, ἀπένειμε καὶ τῷ σώματι τὰ οἰκεῖα ἔργα καὶ τῇ ψυχῇ ἐπιβάλλοντα, καὶ ἐφεδρεύειν τὰ ἕτερα τοῖς ἑτέροις ἐσπούδασεν, ἵνα πονοῦντος μὲν τοῦ σώματος ἡ ψυχὴ διαναπαύηται, ἀναπαύλῃ δὲ χρωμένου διαπονῇ, καὶ οἱ ἄριστοι τῶν βίων, ὅ τε θεωρητικὸς καὶ πρακτικός, ἀμείβωσιν ἀντιπαραχωροῦντες ἀλλήλοις· ὁ μὲν πρακτικὸς λαχὼν ἑξάδα κατὰ τὴν τοῦ σώματος ὑπηρεσίαν, ὁ δὲ θεωρητικὸς ἑβδομάδα καὶ πρὸς ἐπιστήμην καὶ τελειότητα διανοίας.

*Interdictum de igne per sabbatum non accendendo et quid allegorice significet.*

7. Ἀπείρηται δὲ κατὰ ταύτην πῦρ ἐναύειν (Exod. 35, 2), ὡς [*] ἀρχὴν καὶ σπέρμα τῶν περὶ βίον πραγματειῶν, ἐπειδήπερ ἄνευ πυρὸς οὐδέν ἐστι τῶν εἰς τὰς πρὸς τὸ ζῆν ἀναγκαίας χρείας ἐργάσασθαι· ὡς δι' ἑνὸς τοῦ

ἀνωτάτου καὶ πρεσβυτάτου τῶν εἰς τὰς τέχνας καὶ μάλιστα τὰς βαναύσους αἰτίου κεκωλῦσθαι καὶ τῶν κατὰ μέρος ὑπηρεσιῶν. Ἀλλ᾽ ἔοικε διὰ τοὺς ἀπειθεστέρους καὶ ἥκιστα προςέχοντας τὸν νοῦν τοῖς *προςταττομένοις* καὶ τὰ ἄλλα προςνομοθετεῖν, οὐ μόνον ἐλευθέρους ἀνέχειν ἔργων ἀξιῶν ταῖς ἑβδόμαις, ἀλλὰ καὶ θεράπουσι καὶ θεραπαίναις ἐφιεὶς ἄδειαν, καὶ μόνον [οὐ] ἐλευθερίαν δι᾽ ἓξ ἡμερῶν προκηρύττων τούτοις, ἵνα ἀμφοτέρους ἀναδιδάξῃ μάθημα κάλλιστον· τοὺς μὲν δεσπότας αὐτουργεῖν ἐθίζεσθαι, μὴ ἀναμένοντας τὰς ἀπὸ τῶν οἰκετῶν λατρείας καὶ ὑπηρεσίας, ἵνα, εἴ τινες ἀβούλητοι καιροὶ κατάσχοιεν κατὰ τὰς τῶν ἀνθρωπίνων πραγμάτων μεταβολάς, μὴ τῷ ἀήθει τῆς αὐτουργίας προκάμνοντες τοῖς ἐπιτάγμασιν ἀπαγορεύωσιν, ἀλλ᾽ εὐκινητοτέροις χρώμενοι τοῖς τοῦ σώματος μέρεσιν εὐφόρως καὶ μετὰ ῥᾳστώνης ἐνεργῶσι· τοὺς δὲ οἰκέτας, μὴ ἀπογινώσκειν τὰς ἀμείνους ἐλπίδας, ἀλλ᾽ ἔχοντας τὴν δι᾽ ἓξ ἡμερῶν ἄνεσιν ἐμπύρευμά τι καὶ ζωπύρημα ἐλευθερίας, τὴν εἰς τὸ παντελὲς ἄφεσιν, εἰ διαμένοιεν χρηστοὶ καὶ φιλοδέσποτοι, προςδοκᾶν. Ἐκ δὲ τοῦ τοὺς μὲν ἐλευθέρους ὑπομεῖναι τὰς δούλων ὑπηρεσίας, τοῖς δὲ οἰκέταις ἐγγενέσθαι μετασχεῖν ἀδείας, συμβήσεται τὸν τῶν ἀνθρώπων βίον ἐπιδοῦναι πρὸς ἀρετὴν τελειοτάτην, ὑπομιμνησκομένων ἰσότητος καὶ ἀντεκτινόντων ἀλλήλοις χρέος ἀναγκαῖον, τῶν τε λαμπρῶν εἶναι δοκούντων καὶ τῶν ἀφανεστέρων. Ἀλλ᾽ οὐ θεράπουσι μόνον ἐκεχειρίαν ἔδωκεν ὁ νόμος ταῖς ἑβδόμαις, ἀλλὰ καὶ κτήνεσι· καίτοι φύσει θεράποντες μὲν ἐλεύθεροι γεγόνασιν — ἄνθρωπος γὰρ ἐκ φύσεως δοῦλος οὐδείς —, τὰ δὲ ἄλλα ζῶα πρὸς τὴν τῶν ἀνθρώπων χρείαν καὶ ὑπηρεσίαν εὐτρεπισθέντα δούλων ἔχει τάξιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀλλ᾽ ὅμως ἀχθοφορεῖν ὀφείλοντα καὶ τοὺς ὑπὲρ τῶν κεκτημένων ὑπομένειν πόνους τε καὶ καμάτους, ἀναπαύλας εὑρίσκεσθαι ταῖς ἑβδόμαις. Καὶ τί δεῖ τῶν ἄλλων μεμνῆσθαι; οὐδὲ γὰρ βοῦς, πρὸς τὰ ἀναγκαιότατα καὶ χρησιμώτατα τῶν ἐν τῷ βίῳ γεγονώς, *ἄροτον* γῆς προετοιμαζομένης εἰς σποράν, καὶ πάλιν δραγμάτων εἰςκομισθέντων [*] ἀλόητον εἰς καρποῦ κάθαρσιν, τότε καταζεύγνηται, τὴν τοῦ κόσμου γενέθλιον ἡμέραν ἑορτάζων. Οὕτως ἄρα διὰ πάντων τὸ ἱεροπρεπὲς αὐτῆς πεφοίτηται.

*Beneficia debitoribus septimo quoque anno a lege concessa.*

8. Τοσούτου δὲ ἀξιοῖ σεβασμοῦ τὴν ἑβδόμην, ὥστε καὶ τὰ ἄλλα ὁπόσα ταύτης μετέχει, τετίμηται παρ᾽ αὐτῷ. Κατὰ γοῦν ἕβδομον ἐνιαυτὸν ἀεὶ χρεωκοπίαν εἰςηγεῖται, πένησιν ἐπικουρῶν, καὶ τοὺς πλουσίους ἐπὶ φιλανθρωπίαν προκαλούμενος (Deut. 15, 1 sq.), ἵνα τῶν ἰδίων μεταδιδόντες ἀπόροις χρηστὰ καὶ περὶ αὐτῶν προςδοκῶσιν, εἰ γένοιτό τι πταῖσμα· πολλὰ δὲ τὰ ἀνθρώπινα καὶ οὐκ ἐπὶ τῶν αὐτῶν ὁ βίος ὁρμεῖ, πνεύματος ἀστάτου τρόπον μεταβάλλων πρὸς τὰ ἐναντία. Καλὸν μὲν οὖν τὴν ἀπὸ δανειστῶν χάριν ἐπὶ πάντας φθάνειν χρεώστας. Ἐπεὶ δὲ οὐ πάντες πρὸς μεγαλοφροσύνην πεφύκασιν, ἀλλ᾽ εἰσὶν ἥττους ἔνιοι χρημάτων ἢ οὐ σφόδρα εὔποροι, καὶ τούτους ἐδικαίωσεν εἰςφέρειν ἃ μὴ λυπήσει διδόμενα. Παρὰ γὰρ τῶν ὁμοεθνῶν εἰςπράττειν οὐκ ἐάσας, ἐφῆκε παρὰ τῶν ἄλλων κομίζεσθαι· τοὺς μὲν καλέσας εὐθυβόλως ἀδελφούς, ἵνα μηδεὶς φθονῇ τῶν ἰδίων ὡς ἂν ἐκ φύσεως συγκληρονόμοις ἀδελφοῖς· τοὺς δὲ μὴ ὁμοεθνεῖς, ὅπερ εἰκός, ἀλλοτρίους ὠνόμασεν. Ἡ δὲ ἀλλοτριότης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκοινώνητον, εἰ μὴ καὶ ταύτην τις ὑπερβολαῖς ἀρετῶν μεθαρμόσαιτο πρὸς συγγενικὴν οἰκειότητα· συνόλως γὰρ ἐνάρετος ἡ πολιτεία καὶ νόμοις, οἳ μόνον τὸ καλὸν ἀγαθὸν εἰσηγοῦνται. Ὑπαίτιον δὲ τὸ δανείζειν ἐπὶ τόκῳ· δανεῖται γάρ τις οὐ περιουσίᾳ ζῶν, ἀλλὰ δῆλον ὅτι χρεῖος ὤν, ὡς ἐπαναγκαζόμενος τόκους τοῖς ἀρχαίοις προςαποτίνειν, ἀπορώτατος ἐξ ἀνάγκης γίνεται, καὶ νομίσας ὠφελεῖσθαι ἔτι βλάπτεται, καθάπερ τὰ ὀλιγόφρονα τῶν ζώων τῷ δελέατι τῷ παρόντι. Σοὶ δέ, εἴποιμ᾽ ἄν, ὦ δανειστά, τί κοινωνίᾳ τρόπον ἀκοινώνητον συσκιάζεις; Τί δὲ λόγῳ μὲν δοκεῖν εἶναι χρηστὸς καὶ φιλάνθρωπος προςποιῇ, ἐν δὲ τοῖς ἔργοις ἀπανθρωπίαν δεικνύεις καὶ δεινὴν σκαιότητα, πλεῖον ὧν ἔδωκας ἀναπράττων, καὶ ἔστιν ὅτε διπλασιάσας πενιχρότερον ἀπεργαζόμενος τὸν πένητα; Τοιγάρτοι συναλγεῖ μὲν οὐδείς, ὅταν ὀρεχθεὶς πλειόνων προςαποβάλλῃς καὶ τὰ ὄντα· πάντες [*] δὲ ἐφήδονται, τοκογλύφον καὶ ὀβολοστάτην καὶ τὰ τοιαῦτα ὀνομάζοντες, ὡς ἔφεδρον ἀνθρωπίνων κακῶν καὶ τὴν ἑτέρων ἀτυχίαν κρίνοντα ἰδίαν εὐτυχίαν. Ἀλλὰ *πηρόν*, ὡς ἔφη τις, ἡ κακία· καὶ ὁ δανείζων τυφλός, τὸν χρόνον τῆς ἀποδόσεως οὐ βλέπων, ἐν ᾧ μόλις ἢ οὐδ᾽ ὅλως ὧν ἐκ πλεονεξίας τεύξεσθαι προςεδόκησεν ἐφίξεται. Οὗτος μὲν οὖν διδότω δίκας τῆς φιλαργυρίας, ἃ προήκατο μὴ κομιζόμενος, ἵνα μὴ ἀτυχίας ἀνθρώπων ἐργάζηται, προςοδευόμενος ἐξ ὧν οὐ προςῆκεν. Οἱ δὲ χρεῶσται τῆς ἀπὸ τῶν νόμων φιλανθρωπίας ἀξιούσθωσαν, τόκους καὶ ἐπιτοκίας μὴ τελοῦντες, αὐτὸ δὲ μόνον τὸ ἀρχαῖον ἐπιτινύντες. Πάλιν γὰρ ἐν καιροῖς τὸν αὐτὸν ἔρανον ἀνταποτίσουσι τοῖς συμβάλλουσιν, ἀμειβόμενοι ταῖς ἴσαις ὠφελείαις τοὺς χάριτος ἄρξαντας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Servus septimo anno manumittendus.*

9. Τοιαῦτα διαταξάμενος ἑξῆς ἀναγράφει νόμον ἡμερότητος καὶ φιλανθρωπίας μεστόν. „Ἐάν," φησί, „πραθῇ σοί τις τῶν ἀδελφῶν, ἓξ ἔτη δουλευέτω, τῷ δὲ ἑβδόμῳ προῖκα ἐλεύθερος ἀφείσθω." (Deut. 15, 12.) Πάλιν ἀδελφὸν τὸν ὁμόφυλον εἶπεν, ὑποσπείρων τῇ τοῦ κεκτημένου ψυχῇ διὰ τῆς προσρήσεως τὴν πρὸς τὸ ὑπήκοον συγγένειαν, ἵνα μὴ ὡς ξένου, πρὸς ὃν οὐδὲν φίλτρον ἐστὶν εὐνοίας, κατολιγωρῇ, φιλοίκειον δέ τι πεπονθὼς πάθος ἐκ διδασκαλίας ἣν ὁ ἱερὸς λόγος ὑπηχεῖ, μὴ ἀγανακτῇ, μέλλοντος ἐλευθεροῦσθαι· τοὺς γὰρ τοιούτους δούλους μὲν ὀνομάζεσθαι συμβέβηκε, θῆτας δὲ τῷ ὄντι εἶναι, τῶν ἀναγκαίων χάριν ὑπηρετοῦντας. Καὶ ἂν εἰ μυριάκις αὐτεξούσιον δυναστείαν καὶ δεσποτείαν ἀπίδωσί τινες κατ᾽ αὐτῶν, οὐ τιθασσευτέον, ἐπιλέγοντας τὰ χρηστὰ ἐκεῖνα τοῦ νόμου παραγγέλματα; Μισθωτός ἐστιν, ὦ ἄνθρωπε, ὁ λεγόμενος δοῦλος, καὶ αὐτὸς ἄνθρωπος ὤν, ἔχων πρὸς σὲ τὴν ἀνωτάτω συγγένειαν· ἔπειτα καὶ ἀπὸ τοῦ αὐτοῦ ἔθνους, τάχα δὲ καὶ φυλέτης καὶ δημότης, ἐνδείας χάριν εἰς τουτὶ τὸ σχῆμα ἀπηγμένος. Ἀνελὼν οὖν ἐκ τῆς ψυχῆς ἐπίβουλον κακόν, ἀλαζονείαν, ὡς μισθωτῷ προσφέρου, τὰ μὲν διδούς, τὰ δὲ καὶ λαμβάνων. Παρέξει μὲν οὖν ἐκεῖνος ἀοκνότατα τὰς ὑπηρεσίας ἀεὶ καὶ πανταχοῦ, μηδὲν ὑπερτιθέμενος, ἀλλὰ φθάνων τὰς σὰς ἐπικελεύσεις τάχει καὶ προθυμίᾳ. Σὺ δὲ ἀντιδίδου τὰς τροφὰς καὶ ἐσθῆτα καὶ τὴν ἄλλην ἐπιμέλειαν, μὴ καταζεύξας ὡς ζῶον ἄλογον, μηδὲ πλείοσι καὶ βαρυτέροις τῆς δυνάμεως ἄχθεσι πιέζων, μηδ᾽ ὑβρίζων, μηδ᾽ ἀπειλαῖς καὶ ἐπανατάσεσιν εἰς [*] χαλεπὰς δυσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θυμίας ἐφελκόμενος, ἀλλ' ἀναχωρήσεις διδοὺς καὶ ἀνέσεις μεμετρημένας. Τὸ γὰρ „μηδὲν ἄγαν" ἐπὶ πάντων, καὶ μάλιστα πρὸς οἰκέτας δεσποτῶν. Ὑπηρετηθεὶς μέντοι χρόνον αὐταρκέστατον, ἑξαετίαν, ὅταν ὁ ἱερώτατος ἀριθμὸς ἐνίστασθαι μέλλῃ, τὸ ἕβδομον ἔτος, ἐλεύθερον μεθίεσο τὸν ἐλεύθερον φύσει, μηδὲν ἐνδοιάσας· ἀλλ', ὦ γενναῖε, καὶ γεγηθὼς δίδου τὴν χάριν, ὅτι καιρὸν ἔλαβες τὸ ἄριστον ζῶον, ἄνθρωπον, ἐν τοῖς μεγίστοις εὐεργετῆσαι. Δούλῳ γὰρ οὐκ ἔστι μεῖζον ἐλευθερίας ἀγαθόν. Χαίρων οὖν καὶ προσεπιδαψιλεῦσαί τι τῶν ἰδίων, ἀφ' ἑκάστου μέρους τῆς κτήσεως ἐφοδιάσας τὸν εὐεργετηθέντα. Σὸν γὰρ ἐγκώμιον, εἰ μὴ πένης ὢν ἀπαλλάττοιτο τῆς οἰκίας, ἀλλὰ τῶν εἰς τὰ ἀναγκαῖα ἀφορμῶν εὐπορηκώς· ἵνα μὴ πάλιν ὑπ' ἐνδείας εἰς τὴν ἀρχαίαν ἀτυχίαν ὑπαχθῇ, δουλεύειν ἀναγκασθεὶς διὰ σπάνιν τῶν περὶ δίαιταν, καὶ ἡ σὴ χάρις ἀναιρεθῇ. Πενήτων μὲν δὴ πέρι τοσαῦτα.

*Terra septimo quoque anno otium habeto, aratro non subacta.* (10. 11.)

10. Κελεύει δὲ ἑξῆς ἀργὴν καὶ ἀνάροτον τὴν χώραν ἐᾶν ἔτει ἑβδόμῳ, διὰ πολλά. (Lev. 25, 4.) Πρῶτον μέν, ἵνα τὴν ἑβδομάδα τιμήσῃ κατὰ πάντας χρόνους ἡμερῶν καὶ μηνῶν καὶ ἐνιαυτῶν· ἑβδόμη τε γὰρ πᾶσα ἡμέρα ἱερά, τὸ καλούμενον παρ' Ἑβραίοις σάββατον, μηνῶν τε ὁ ἕβδομος κατὰ πᾶν ἔτος ἑορτῶν ἔλαχε τὴν μεγίστην, ὥστ' εἰκότως καὶ ὁ ἕβδομος ἐνιαυτὸς τοῦ περὶ τὸν ἀριθμὸν σεβασμοῦ τυχὼν ἐκτετίμηται. Δεύτερον δὲ ἐκεῖνο· „Μὴ πάντα," φησίν, „ἴσθι τοῦ κέρδους, ἀλλὰ καὶ ἑκὼν ζημίαν ὑπόμεινον," ἵνα καὶ τὴν ἀκούσιον βλάβην, εἴ ποτε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γένοιτο, ῥαδίως ἐνέγκῃς, ἀλλὰ μὴ ὡς ἐπὶ καινῷ καὶ ξένῳ δυσχεραίνων ἀθυμῇς. Εἰσὶ γὰρ τῶν πλουσίων οὕτως ἀτυχεῖς τὰς γνώμας τινές, ὡς ἀπορίας ἐπισχούσης στένουσι καὶ κατηφοῦσιν οὐδὲν ἧττον, ἢ εἰ πᾶσαν ἀφῃρέθησαν τὴν οὐσίαν. Ἀλλὰ τῶν Μωσέως ὁμιλητῶν ὅσοι φοιτηταὶ γνήσιοι, καλοῖς ἐνασκούμενοι νομίμοις ἐκ πρώτης ἡλικίας ἐθίζονται τὰς ἐνδείας εὐμαρῶς ὑπομένειν, διὰ τοῦ καὶ τὴν ἀρετῶσαν χώραν ἐᾶν ἀργήν· ἅμα καὶ μεγαλοφροσύνην ἀναδιδασκόμενοι, καὶ τὰς ὁμολογουμένας προσόδους μόνον οὐκ ἐκ τῶν χειρῶν ἑκουσίῳ γνώμῃ μεθιέναι. Τρίτον καὶ ἐκεῖνο αἰνίττεσθαί μοι δοκεῖ, τὸ μηδενὶ προσήκειν τὸ [*] παράπαν ἀνθρώπους ἄχθει βαρύνειν καὶ πιέζειν. Εἰ γὰρ τοῖς μέρεσι τῆς γῆς, ἃ μήθ' ἡδονῆς μήτ' ἀλγηδόνος πέφυκε κοινωνεῖν, μεταδοτέον ἀναπαύλης, πῶς οὐχὶ μᾶλλον ἀνθρώποις, οἷς οὐ μόνον αἴσθησις πρόσεστιν ἡ κοινὴ καὶ τῶν ἀλόγων ζώων, ἀλλὰ καὶ λογισμὸς ἐξαίρετος, ᾧ τὰ ἐκ πόνων καὶ καμάτων ὀδυνηρὰ τρανοτέραις φαντασίαις ἐντυποῦται; Παύσασθε οὖν, οἱ λεγόμενοι δεσπόται, τῶν ἐπὶ δούλοις σφοδρῶν καὶ δυσυπομονήτων ἐπιταγμάτων, ἃ καὶ τὰ σώματα κατακλᾷ βιαζόμενα, καὶ τὰς ψυχὰς πρὸ τῶν σωμάτων ἀπαγορεύειν ἀναγκάζει. Φθόνος γὰρ οὐδεὶς προστάττειν τὰ μέτρια, δι' ὧν καὶ ὑμεῖς τῆς προσηκούσης ὑπηρεσίας ἀπολαύσετε, καὶ οἱ θεράποντες εὐφόρως τὰ κελευσθέντα δράσουσι καὶ τὰς διακονίας οὐ πρὸς ὀλίγον, ἅτε προκαμόντες καί, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τοῖς πόνοις προγηράσαντες, ὑπομένουσιν, ἀλλὰ πρὸς μήκιστον ἀθλητῶν τρόπον ἀνηβῶντες, οὐ τῶν εἰς πολυσαρκίαν πιαινομένων, ἀλλ' οἷς ἔθος ἐγγυμνάζεσθαι διὰ ξηρῶν ἱδρώτων πρὸς τὴν τῶν περὶ βίον ἀναγκαίων καὶ χρησίμων κτῆσιν. Παυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σάσθωσαν καὶ οἱ τῶν πόλεων ἡγεμόνες φόροις καὶ δασμοῖς συνεχέσι καὶ μεγάλοις αὐτὰς ἐκτραχηλίζοντες, οἳ τὰ μὲν ἴδια ταμεῖα πληροῦσιν, ἅμα τοῖς χρήμασι καὶ τὰς ἀνελευθέρους κακίας καὶ τὸν σύμπαντα βίον αὐτῶν ῥυπαινούσας θησαυροφυλακοῦντες. Ἀνηλεεστάτους γὰρ καὶ γέμοντας ἀπανθρωπίας τοὺς τῶν φόρων ἐκλογεῖς ἐπίτηδες αἱροῦνται, τὰς πρὸς πλεονεξίαν ἀφορμὰς αὐτοῖς ἐνδιδόντες. Οἱ δὲ τῇ φυσικῇ σκαιότητι προσειληφότες καὶ τὴν ἐξ ἐπιταγμάτων δεσποτικῶν ἐκεχειρίαν, καὶ πάνθ' ὑπὲρ ἀρεσκείας τῆς ἐκείνων ἐγνωκότες πράττειν, οὐδὲν παραλείπουσι τῶν χαλεπωτάτων, ἐπιείκειαν καὶ ἡμερότητα μηδ' ὄναρ ἰδόντες. Τοιγάρτοι πάντα φύρουσι καὶ συγχέουσιν ἀργυρολογοῦντες, ὡς μὴ μόνον ἐκ τῶν οὐσιῶν ἀναπράττειν, ἀλλὰ καὶ ἐκ τῶν σωμάτων, ὕβρεσιν, αἰκίαις, πρὸς ἀποτομίαν κεκαινουργημέναις βασάνοις. Ἤδη δέ τινας ἀκούω μηδὲ νεκρῶν ἀποσχέσθαι δι' ἀγριότητα καὶ παρηλλαγμένην λύτταν, οἳ ἐπὶ τοσοῦτον ἐθηριώθησαν, ὡς καὶ τύπτειν ὕστριξι τολμᾶν τοὺς τεθνεῶτας· καὶ ἐπειδή τις τῆς ἄγαν ὠμότητος κατεμέμφετο, εἰ μηδ' ὁ θάνατος, ἡ κακῶν ἁπάντων ἀπαλλαγὴ καὶ ὡς ἀληθῶς τελευτή, περιποιήσαιτο οἷς ἐκποδὼν τὸ ἀνύβριστον, ἀλλ' ἀντὶ ταφῆς καὶ τῶν νομιζομένων αἰκίας ὑπομένουσιν, ἀπολογίᾳ χείρονι κατηγορίας ἐχρῶντο, φάσκοντες προπηλακίζειν τοὺς τεθνεῶτας, οὐχ ὑπὲρ τοῦ κωφὴν καὶ ἀναίσθητον κόνιν ὑβρίζειν — ἀνωφελὲς γάρ —, ἀλλ' ὑπὲρ τοῦ [*] τοὺς ἢ κατὰ γένος ἢ καθ' ἑταιρίαν προσήκοντας εἰς οἶκτον ἀγαγεῖν καὶ προκαλέσασθαι λύτρα καταθέσθαι τῶν σωμάτων, ὑστάτην ἀπονείμαντας χάριν.

11. Εἶτ', ὦ φαυλότατοι πάντων ἀνθρώπων, εἴποιμ' ἂν αὐτοῖς, ἃ διδάσκετε, οὐ προεμάθετε; ἢ προκαλεῖ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σθαι μὲν εἰς ἔλεον ἑτέρους, εἰ καὶ δι᾽ ὠμοτάτων ἔργων, οἴδατε, τὰ δὲ χρηστὰ καὶ φιλάνθρωπα τῆς αὐτῶν ψυχῆς ἐκτέτμησθε; καὶ ταῦτα μὴ ἀποροῦντες ἀγαθῶν ὑφηγητῶν καὶ μάλιστα τῶν ἡμετέρων νόμων; οἳ καὶ τὴν γῆν μεθίεσαν ἀπὸ φόρτων τῶν ἐτησίων, ἄνεσιν καὶ ἀνάπαυλαν αὐτῇ παρασχόντες; Αὕτη δέ, καίτοι δοκοῦσα ἄψυχος εἶναι, πρὸς ἀμοιβὴν ηὐτρέπισται καὶ χάριτος ἀντίδοσιν, ἣν ἔλαβε δωρεὰν ἀντεκτίνειν ἐπειγομένη· τυχοῦσα γὰρ ἀδείας ἔτει τῷ ἑβδόμῳ καὶ μὴ πονηθεῖσα, σύμπαντα δὲ τὸν τοῦ ἐνιαυτοῦ κύκλον ἀπελευθεριάσασα, τῷ μετὰ ταῦτα διπλασίους, ἔστι δὲ ὅτε καὶ πολυπλασίους *ὑπ᾽* εὐφορίας ἤνεγκε καρπούς. Τὸ παραπλήσιον μέντοι καὶ τοὺς ἀλείπτας ἔστιν ἰδεῖν δρῶντας ἐπὶ τῶν ἀθλητῶν. Ὅταν γὰρ αὐτοὺς συγκροτήσωσιν ἐπαλλήλοις καὶ συνεχέσι γυμνασίαις, πρὶν εἰς ἅπαν καμεῖν, ἀνακτῶνται, παρέχοντες ἀνέσεις οὐ μόνον τῶν ἐν ἀθλήσει πόνων, ἀλλὰ καὶ τῶν πρὸς ἐδωδὴν καὶ πόσιν, τὸ σκληροδίαιτον χαλῶντες εἴς τε ψυχῆς εὐθυμίαν καὶ εὐπάθειαν σώματος. Καὶ οὐ δήπου διδάσκαλοι ῥᾳθυμίας καὶ τρυφῆς εἰσίν, οἷς ἐπάγγελμα τὸ πρὸς πόνους ἀλείφειν, ἀλλὰ μεθόδῳ καὶ τέχνῃ προσποιοῦσιν ἰσχὺν κραταιοτέραν ἰσχύϊ καὶ δυνάμεις σθεναρωτέρας δυνάμεσι, τὴν ῥώμην ἀνέσει καὶ ἐπιτάσει, καθάπερ ἁρμονίᾳ, συναύξοντες. Ἔμαθον δὲ παρὰ τῆς πανσόφου ταῦτα φύσεως, ἥτις, τὸ ἐπίπονον καὶ καματηρὸν τοῦ γένους ἡμῶν ἐπισταμένη, διένειμε τὸν χρόνον εἰς ἡμέραν τε καὶ νύκτα, τῇ μὲν ἐγρηγορεῖν, τῇ νυκτὶ δὲ ὕπνον παρασχοῦσα. Φροντὶς γὰρ αὐτὴν οἷα μητέρα κηδεμονικωτάτην εἰσῆλθε τοῦ τὰ ἔγγονα μὴ ἀποτρύχεσθαι· μεθ᾽ ἡμέραν γὰρ τὰ σώματα διανίστησι καὶ πρὸς τὰς τοῦ βίου χρείας καὶ ὑπηρεσίας ἁπάσας ἐγείρει, ἀναγ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κάζουσα τοὺς ἀργίᾳ καὶ ἁβροδιαίτῳ βίῳ σχολάζειν ἐθιζομένους· νύκτωρ δέ, καθάπερ ἐν πολέμῳ τὸ ἀνακλητικὸν ὑποσημάνασα, πρὸς ἀνάπαυλαν καλεῖ καὶ τὴν τῶν σωμάτων ἐπιμέλειαν. Οἱ δὲ ἀποθέμενοι πολὺ βάρος πραγματειῶν, ὅσον ἕωθεν εἰς ἑσπέραν ἦσαν ἀπηχθισμένοι, καὶ ἐπανελθόντες οἴκαδε πρὸς ἡσυχίαν τρέπονται, καὶ καταδαρθέντες ὕπνῳ βαθεῖ τὸν μεθημερινὸν πόνον ἐκνοσηλεύονται· καὶ πάλιν νεαλεῖς καὶ ἀκμῆτες γενόμενοι σπεύδουσιν ἕκαστος πρὸς τὰ οἰκεῖα καὶ συνήθη. Τὸν δολιχὸν τοῦτον ἡ φύσις διά τε ὕπνου καὶ ἐγρηγόρσεως ἀπένειμεν [*] ἀνθρώποις, ἵνα ἐν μέρει μὲν ἐνεργῶσιν, ἐν μέρει δὲ ἀτρεμίζοντες ἑτοιμότερα καὶ εὐκινητότερα τὰ τοῦ σώματος ἴσχωσι μέρη.

*In septimo quoque anno oliveta, vineta, pascua communia.*

12. Πρὸς ἅπερ ἀπιδὼν ὁ τοὺς νόμους ἡμῖν προφητεύσας, ἄνεσιν ἐκήρυξε τῇ χώρᾳ, δι' ἑξαετίας γεωπόνους ἐπισχών. Ἀλλὰ γὰρ οὐχ ἕνεχ' ὧν εἶπον αὐτὸ μόνον ταῦτ' εἰσηγήσατο, ἀλλὰ καὶ τῆς συνήθους φιλανθρωπίας, ἣν ἅπαντι μέρει τῆς νομοθεσίας συνυφαίνειν ἀξιοῖ, τοῖς ἐντυγχάνουσι ταῖς ἱεραῖς γραφαῖς κοινωνικὰ καὶ χρηστὰ ἐνσφραγιζόμενος ἤθη. Κελεύει (Lev. 25, 3 ss.) γὰρ τῷ ἑβδόμῳ ἔτει μηδὲν συγκλείειν χωρίον, ἀλλὰ πάντας ἐλαιῶνας καὶ ἀμπελῶνας ἀναπεπταμένους ἐᾶν, καὶ τὰς ἄλλας κτήσεις ὅσαι σπαρτῶν εἰσὶν ἢ δένδρων, ἵνα τοῖς ἀπαυτοματισθεῖσι καρποῖς οἱ πένητες ἀδεῶς χρῆσθαι δύνωνται μᾶλλον ἢ οὐχ ἧττον τῶν κεκτημένων. Ὅθεν τοῖς μὲν δεσπόταις οὐκ ἐφῆκεν ἐργάζεσθαι, στοχαζόμενος τοῦ μηδεμιᾶς λύπης αἴτιος αὐτοῖς γενέσθαι ὡς τὰ μὲν ἀναλώματα παρασχοῦσι, τὰς δὲ ἀντὶ τούτων προσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

όδους οὐ λαμβάνουσι· τοὺς δὲ ἀπόρους ὡς ἰδίων ἀπολαύειν τότε γοῦν τῶν ἀλλοτρίων εἶναι δοκούντων ἠξίωσε, ταπεινοῦ σχήματος αὐτοὺς ἀπαλλάττων καὶ τῶν ἐπὶ μεταίταις ὀνειδῶν. Ἆρ' οὐκ ἄξιον ἐρασθῆναι τῶν νόμων, οἳ τοσαύτης γέμουσιν ἡμερότητος; δι' ἣν οἱ μὲν πλούσιοι διδάσκονται μεταδιδόναι καὶ κοινωνεῖν ὧν ἔχουσι, παρηγοροῦνται δὲ οἱ πένητες, μὴ πάντοτε ταῖς τῶν *εὐπόρων* οἰκίαις ἐπιφοιτᾶν ἀναγκαζόμενοι πρὸς ἐπανόρθωσιν ὧν ἐνδεεῖς εἰσιν, ἀλλ' ἔστιν ὅτε καὶ προςοδευόμενοι καθάπερ ἐξ ἰδίων κτημάτων τοὺς ἀπαυτοματίζοντας, ὡς ἔφην, καρπούς; Χῆραι καὶ ὀρφανοὶ παῖδες ὅσοι τε ἄλλοι τῶν ἠμελημένων καὶ ἀφανῶν ἕνεκα τοῦ μὴ περιουσιάζειν, τότε περιουσιάζουσι ταῖς τοῦ θεοῦ δωρεαῖς ἐξαπιναίως πεπλουτηκότες, ὅς αὐτοὺς πρὸς κοινωνίαν ἐκάλεσε τῶν κτητόρων, ἐν τῷ τῆς ἱερᾶς ἑβδόμης ἀριθμῷ. Καὶ ὅσοι μέντοι κτηνοτροφοῦσι, μετ' ἀδείας ἐπὶ χλοηφαγίας τὰ οἰκεῖα θρέμματα ἄγουσιν, ἐκλεγόμενοι πεδία εὔχορτα καὶ ἐπιτηδειότατα ἐμβόσκεσθαι, καταχρώμενοι τῆς ἐκεχειρίας ἀδείᾳ. Καὶ φθόνος οὐδεὶς ἐκ τῶν δεσποτῶν ἀναντιᾷ, ἅτε παλαιοτάτῳ ἔθει κεκρατημένων, ὃ σύντροφον ἐκ μακρῶν χρόνων γενόμενον εἰς φύσιν ἐκνενίκηκεν.

*Annus iubilaeus.* (13. 14.)

13. Ἀρχὴν ταύτην βαλλόμενος ὥςπερ θεμέλιόν τινα ἐπιεικείας καὶ φιλανθρωπίας, ἑπτὰ ἑβδομάδας ἐτῶν συνθεὶς τὸν πεντηκοστὸν ὅλον ἀπέφηνεν ἱερὸν (Lev. 25, 8 ss.), ἐξαίρετα καὶ πάντα διαφερόντως καλὰ νομοθετήσας ἐπ' αὐτῷ παρὰ τὰ κοινωνίαν ἔχοντα. Πρῶτον μὲν τόδε. Τὰς ἀλλοτριωθείσας κτήσεις οἴεται δεῖν ἀποδίδοσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις, ἵνα αἱ κληρουχίαι τοῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γένεσι διαφυλάττωνται [*] καὶ μηδεὶς τῶν λῆξιν εἰληφότων εἰς ἅπαν στερῆται τῆς δωρεᾶς. Ἐπειδὴ καιροὶ συμπίπτουσι πολλάκις ἀβούλητοι, δι᾽ οὓς ἀναγκάζονταί τινες προπιπράσκειν τὰ ἴδια, καὶ τῆς ἐν δέοντι τούτων χρείας προενόησε, καὶ τοὺς ὠνουμένους ἐκώλυσεν ἀπατᾶσθαι, τοῖς μὲν πιπράσκειν ἐφιεὶς, τοὺς δὲ ἐφ᾽ οἷς ὠνήσονται μάλα σαφῶς ἀναδιδάξας. „Μὴ γὰρ δίδοτε," φησί (Lev. 25, 23), „τὰς ἐπ᾽ *ἀεικτησίᾳ* τιμὰς, ἀλλὰ πρὸς ἐνιαυτῶν ὡρισμένον ἀριθμόν, οἵ ἐντός εἰσι πεντηκονταετίας." Οὐ γὰρ κτημάτων αἱ πράσεις, ἀλλὰ καρπῶν ὀφείλουσιν εἶναι, διὰ δύο τὰ ἀναγκαιότατα· ἓν μέν, ὅτι σύμπασα ἡ χώρα θεοῦ κτῆμα κέκληται, τῶν δὲ θεοῦ κτημάτων οὐχ ὅσιον ἄλλους ἐπιγράφεσθαι δεσπότας· ἕτερον δὲ λῆξις ἀπονενέμηται ἑκάστῳ τῶν κληρούχων, ἧς στερεῖσθαι τὸν λαχόντα οὐκ ἐδικαίωσεν ὁ νόμος. Τὸν μὲν οὖν ἐντὸς τῆς πεντηκονταετίας δυνάμενον ἀναλαβεῖν τὰ οἰκεῖα ἤ τινα τῶν ἐγγυτάτω γένους ἀγχιστέων προσκαλεῖται πάσῃ μηχανῇ κατατιθέναι ἣν ἔλαβε τιμήν, καὶ μὴ τῷ πριαμένῳ, καθ᾽ ὃν ἐδεῖτο καιρὸν ὠφελήσαντι, ζημίας αἴτιον γενέσθαι. Τῷ δὲ ἀπόρως ἔχοντι συνεπάθησε καὶ μετέδωκεν ἐλέους, τὴν ἀρχαίαν δωρησάμενος αὖθις περιουσίαν, δίχα τῶν κατ᾽ εὐχὴν ἀνιερωθέντων ἀγρῶν ἐν τῇ τάξει τῶν ἀναθημάτων. Ἀνάθημα δὲ οὐχ ὅσιον ἀκυροῦσθαι χρόνῳ· διὸ προστέτακται, τὴν ἀξίαν τιμὴν τούτων ἐκλέγειν, μηδὲν καταχαριζομένους τῷ ποιησαμένῳ τὸ ἀνάθημα.

*(Lex de aedium venditione temporaria sive perpetua, earumque redemtione.)*

14. Ταῦτα μὲν ἐπὶ ταῖς τῆς χώρας διανομαῖς καὶ κληρουχίαις διατέτακται. Ἕτερα δὲ ἐπὶ ταῖς οἰκίαις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Lev. 25, 29 ss.). Ἐπειδὴ δὲ καὶ τούτων αἱ μὲν κατὰ πόλεις τειχῶν ἐντός εἰσιν, αἱ δὲ ἐν ἀγρῷ ἔξω τείχους ἐπαύλεις, τὰς μὲν ἐν τοῖς χωρίοις ἐπέτρεψεν ὁ νόμος ἀεὶ λυτροῦσθαι, τὰς δὲ μὴ λυτρωθείσας ἄχρι τοῦ πεντηκοστοῦ ἔτους ἀποδίδοσθαι προῖκα τοῖς πάλαι κυρίοις, καθάπερ καὶ τὰ κτήματα· μοῖρα γὰρ ἐπαύλεις κτημάτων. Ὅσαι δὲ τειχῶν ἐντός εἰσι, μέχρι μὲν ἐνιαυτοῦ τὴν ἀπο-πομπὴν ἐπὶ τοὺς πεπρακότας ἔχουσι· μετὰ δὲ τὸν ἐνιαυτὸν εἰς ἅπαν τοῖς ὠνησαμένοις βεβαιοῦνται, μηδὲν δὲ τοῦ πεντηκοστοῦ ἔτους ἐκεχειρίας βλαπτούσης τοὺς πριαμένους. Αἴτιον δὲ τοῦ βούλεσθαι καὶ ἐπηλύταις ἱδρύσεως τοῖς ἐνταυθοῖ βεβαίου παρασχεῖν ἀφορμήν. Ἐπειδὴ γὰρ μετουσίαν γῆς οὐκ ἔχουσιν, ἅτε μὴ καταριθμηθέντες ἐν ταῖς κληρουχίαις, οἰκιῶν αὐτοῖς κτῆσιν ὁ νόμος ἀπένειμε, φροντίσας τοῦ μὴ [*] μετανάστας γενέσθαι τοὺς τῶν νόμων ἱκέτας καὶ πρόσφυγας. Αἱ γὰρ πόλεις, ὅτ' ἐκληροδοτεῖτο ἡ χώρα, κατὰ φυλὰς οὐ διενεμήθησαν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἦσαν συνῳκοδομημέναι, κατὰ τὰς ἐν ἀγροῖς ἐπαύλεις τῶν οἰκητόρων ποιουμένων τὰς διατριβάς· ἐξ ὧν ὕστερον ἀναστάντες καὶ συνελθόντες, ἐπίδοσιν κοινωνίας καὶ φιλανθρωπίας, ὥςπερ εἰκός, ἐν χρόνῳ μακρῷ λαμβανούσης, οἰκίας ἐν ταὐτῷ πόλεις ἐδείμαντο, ὧν καὶ *ἐπηλύταις*, καθάπερ εἶπον, μετέδοσαν, ἵνα μὴ πάντων ἀποροῖεν καὶ τῶν ἐν ἀγροῖς καὶ τῶν κατὰ πόλεις.

*Levitarum aedes.*

15. Περὶ δὲ τῆς ἱερωμένης φυλῆς τάδε νομοθετεῖται. Γῆς ἀποτομὴν οὐκ ἀπένειμε τοῖς νεωκόροις ὁ νόμος, ὑπολαβὼν αὐτάρκη πρόσοδον εἶναι τούτοις τὰς ἀπαρχάς. Ὀκτὼ δὲ καὶ τεσσαράκοντα πόλεις ἀπεκλήρωσεν εἰς οἴκη-

σιν καὶ δισχιλίους ἑκάστῃ πήχεις προάστειον ἐν κύκλῳ (Num. 35, 5 ss.). Τὰς οὖν ἐν ταύταις οἰκίας οὐ τὸν αὐτὸν τρόπον ταῖς ἄλλαις, ὅσαι τειχῶν εἴσω τυγχάνουσιν, ἐβεβαίωσε τοῖς πριαμένοις, ἐντὸς ἐνιαυτοῦ τῶν ἀποδιδομένων κομίσασθαι μὴ δυναμένων, ἀλλ' εἰς ἅπαν ἐφῆκεν αὐτὰς λυτροῦσθαι, καθάπερ καὶ τὰς ἀπὸ τοῦ ἔθνους τὰς ἐπαύλεις αἷς ἰσοδυναμοῦσιν· ἐπειδὴ μόνας ἐκ τοσαύτης χώρας διεκληρώσαντο τὰς οἰκίας, ὧν οὐκ ᾤετο δεῖν στερεῖσθαι τοὺς λαμβάνοντας, καθάπερ οὐδὲ τοὺς κληρούχους τῶν ἐπαύλεων. Οἰκιῶν μὲν δὴ πέρι τοσαῦτα.

*Septimo anno servis contribulibus remissio.*

16. Τὰ δὲ πρὸς χρεώστας δανειστῶν καὶ πρὸς θεράποντας δεσποτῶν ὅμοια τοῖς πρόσθεν νενομοθέτηται· ὅπως οἱ μὲν δανεισταὶ μὴ ἐκλέγωσι τόκους παρὰ τῶν ὁμοεθνῶν, ἀλλ' ὅσον προήκαντο μόνον ἄσμενοι κομίζωνται· οἱ δὲ δεσπόται τοῖς ἀργυρωνήτοις μὴ ὡς φύσει δούλοις, ἀλλ' ὡς μισθωτοῖς προσφέρωνται, παρέχοντες ἄδειαν ἐλευθερίας, εὐθὺς μὲν τοῖς ὑπὲρ αὐτῶν λύτρα καταθεῖναι δυναμένοις, αὖθις δὲ τοῖς ἀπόροις ἢ ὅταν ἐπιγίνηται ὁ τῆς ἀπ' ἀρχῆς δουλείας ἕβδομος ἐνιαυτὸς ἢ ὅταν ὁ πεντηκοστός, καὶ ἂν πρὸ μιᾶς ἡμέρας τύχῃ τις εἰς δουλείαν ὑπαχθείς. Ἄφεσις γάρ ἐκεῖνος ἐστι τε καὶ νενόμισται, πάντων ἐπὶ ταῖς ἀρχαίαις διαυλοδρομούντων καὶ ἀνακαμπτόντων εὐπραγίαις. Ἐπιτρέπει δὲ ἐκ τῶν μὴ ὁμοφύλων, οἵτινες ἐξ ἑτέρων ἐθνῶν εἰσίν, οἰκέτας κτᾶσθαι, βουλόμενος πρῶτον μὲν διαφορὰν οἰκείων τε καὶ ἀλλοτρίων εἶναι, ἔπειτα δὲ μὴ κατὰ τὸ παντελὲς ἀναγκαιότατον κτῆμα, θεράποντας, ἀνεῖρξαι τῆς αὐτοῦ πολιτείας·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μυρία γὰρ τῶν ἐν τῷ βίῳ πραγμάτων ποθεῖ τὰς ἐκ δούλων ὑπηρεσίας.

### γ΄. *Festum Novilunii.*

17. [*] Ἑπόμενοι δὲ τῇ τάξει τρίτην ἑορτὴν ἀναγράφομεν, τὴν κατὰ σελήνης νουμηνίαν. Πρῶτον μέν, ὅτι ἀρχὴ μηνός, ἀρχὴ δὲ καὶ ἀριθμοῦ καὶ χρόνου τίμιον. Ἔπειτα δέ, ὅτι κατ' αὐτὴν οὐδὲν ἀφώτιστον ἐν οὐρανῷ. Τρίτον δέ, ὅτι τῷ ἐλάττονι καὶ ἀσθενεστέρῳ κατ' ἐκεῖνον τὸν χρόνον τὸ κρεῖττον καὶ δυνατώτερον ὠφελείας ἀναγκαίας μεταδίδωσι. Νουμηνίᾳ γὰρ ἄρχεται φωτίζειν αἰσθητῷ φέγγει σελήνην ἥλιος, ἡ δὲ τὸ ἴδιον κάλλος ἀναφαίνει τοῖς ὁρῶσι. Τοῦτο δὲ ἐναργής, ὡς ἔοικεν, ἐστὶ διδασκαλία χρηστότητος καὶ φιλανθρωπίας, ἵνα μηδέποτε τῶν ἰδίων ἀγαθῶν ἄνθρωποι φθονῶσιν, ἀλλὰ μιμούμενοι τὰς ἐν οὐρανῷ φύσεις ὑπερόριον τῆς ψυχῆς καὶ βασκανίαν ἐλαύνωσιν.

### δ΄. *Pascha. Sensus proprius et mysticus.*

18. Μετὰ δὲ νουμηνίαν ἐστὶν ἑορτὴ τετάρτη τὰ διαβατήρια, ἣν οἱ Ἑβραῖοι Πάσχα (Exod. 12, 1 ss.) καλοῦσιν, ἐν ᾗ θύουσι πανδημεί, ἀρξάμενοι κατὰ μεσημβρίαν ἕως ἑσπέρας. Ὑπομνητικὴ τῆς μεγίστης ἀποικίας ἐστὶν ἡ ἑορτὴ καὶ χαριστήριος, ἣν ἀπ' Αἰγύπτου μυριάσι πολλαῖς ἐστείλαντο κατὰ τὰ χρησθέντα λόγια. Τότε οὖν, ὡς εἰκὸς ἀπολελοιπότες χώραν γέμουσαν ἀπανθρωπίας καὶ ξενηλασίας ἐπιτηδεύουσαν καὶ — τὸ χαλεπώτατον — τὰς τοῦ θεοῦ τιμὰς ἀλόγοις ζώοις προσνέμουσαν, ὑπὸ τῆς ἄγαν περιχαρείας ἔθυον, ἱερεῖς οὐκ ἀναμένοντες. Τὸ δὲ τότε πραχθὲν δρᾶν ἐφῆκεν ὁ νόμος ἅπαξ κατ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐνιαυτὸν ἕκαστον, εἰς εὐχαριστίας ὑπόμνησιν. Ταῦτα μὲν κατὰ παλαιὰν *ἀφήγησιν* ἱστορεῖται. Οἷς δὲ τὰ ῥητὰ τρέπειν πρὸς ἀλληγορίαν ἔθος, ψυχῆς κάθαρσιν αἰνίττεται τὰ διαβατήρια. Φασὶ γὰρ τὸν σοφίας ἐραστὴν οὐδὲν ἕτερον ἐπιτηδεύειν, ἢ τὴν ἀπὸ τοῦ σώματος καὶ τῶν παθῶν διάβασιν. Ἑκάστη δὲ οἰκία κατ' ἐκεῖνον τὸν χρόνον σχῆμα ἱεροῦ καὶ σεμνότητα περιβέβληται, τοῦ σφαγιασθέντος ἱερείου πρὸς τὴν ἁρμόττουσαν εὐωχίαν εὐτρεπιζομένου καὶ τῶν ἐπὶ τὰ συσσίτια συνειλεγμένων ἁγνευτικοῖς περιῤῥαντηρίοις κεκαθαρμένων· οἳ παραγεγόνασιν, οὐχ, ὡς εἰς τὰ ἄλλα συμπόσια, χαριούμενοι γαστρὶ δι' οἴνου καὶ ἐδεσμάτων, ἀλλὰ πάτριον ἔθος ἐκπληρώσοντες μετ' εὐχῆς τε καὶ ὕμνων. Ἄγεται δὲ ἡ πάνδημος θυσία τεσσαρεσκαιδεκάτῃ τοῦ μηνός, ἥτις ἐκ δυοῖν ἑβδομάδων συνέστηκεν, ἵνα μηδὲν ἀμοιρῇ τῶν ἀξίων τιμῆς ἑβδομάδος, ἀλλ' αὐτὴ κατάρχῃ πᾶσιν ἐπιφανείας καὶ σεμνότητος.

### ι'. *Festum azymorum. Duplex eius ratio.*

19. [*] Συνάπτει δὲ τοῖς διαβατηρίοις ἑορτὴ διάφορον ἔχουσα καὶ οὐ συνήθη τῆς τροφῆς χρῆσιν, ἄζυμα. ἀφ' οὗ καὶ ὠνόμασται. Διττὸς δὲ περὶ αὐτῆς λόγος· ὁ μὲν ἴδιος τοῦ ἔθνους ἕνεκα τῆς λεχθείσης ἀποικίας, ὁ δὲ κοινὸς κατὰ φύσεως ἀκολουθίαν καὶ τὴν τοῦ κόσμου παντὸς ἁρμονίαν. Ὡς δὲ ἀψευδὴς ἡ ὑπόθεσις, ἐπισκεπτέον. Ἕβδομος ὢν ὁ μὴν οὗτος ἀριθμῷ τε καὶ τάξει κατὰ τὸν ἡλιακὸν κύκλον, δυνάμει πρῶτός ἐστι. Διότι καὶ πρῶτος ἐν ταῖς ἱεραῖς βίβλοις ἀναγράφεται. Αἴτιον δέ, ὥς γε οἶμαι, τόδε· τὴν ἐαρινὴν ἰσημερίαν ἀπεικόνισμά τε καὶ μίμημα συμβέβηκεν εἶναι τῆς ἀρχῆς ἐκείνης, καθ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἣν ὅδε ὁ κόσμος ἐδημιουργεῖτο. Καθ' ἕκαστον οὖν ἐνιαυτὸν ὑπομιμνήσκων ὁ θεὸς τῆς τοῦ κόσμου γενέσεως, ἀνέφηνε τὸ ἔαρ, ἐν ᾧ πάντα ἀνθεῖ καὶ βλαστάνει. Διόπερ οὐκ ἄπο σκοποῦ πρῶτος ἀναγέγραπται μὴν ἐν τοῖς νόμοις, ἐπειδὴ τρόπον τινὰ τῆς πρώτης ἀρχῆς ἐκμαγεῖόν ἐστιν, ἀπ' ἐκείνης ὥσπερ ἀρχετύπου σφραγῖδος τυπωθείς. Τῆς δὲ ἑορτῆς διχόμηνος ἄρχει ἡ πεντεκαιδεκάτη, καθ' ἣν σελήνη πλησιφαὴς γίνεται, προνοίᾳ τοῦ μηδὲν εἶναι σκότος κατ' ἐκείνην τὴν ἡμέραν. Ἡ δὲ ἑορτὴ πάλιν ἐφ' ἡμέρας ἑπτὰ ἄγεται, διὰ τὴν τοῦ ἀριθμοῦ τιμήν, ἵνα μηδὲν τῶν εἰς εὐθυμίαν καὶ εὐχαριστίαν τὴν πρὸς τὸν θεὸν ἀπολείπηται τῆς ἱερᾶς ἑβδομάδος. Τῶν δὲ ἑπτὰ ἡμερῶν δύο, τὴν πρώτην καὶ τὴν ὑστάτην, ἁγίας προσεῖπεν, ἀρχῇ καὶ τέλει ὡς εἰκὸς προνομίαν διδούς, καὶ ἅμα βουλόμενος, καθάπερ ἐν ὀργάνῳ μουσικῷ, συμφωνίαν τῶν ἄκρων ἁρμόσασθαι. Ὁ δὲ ἄρτος ἄζυμος, ἤτοι διὰ τὸ τοὺς προγόνους, ἡνίκα θείᾳ πομπῇ ἐστέλλοντο, τὰ ἄζυμα ἐπενέγκασθαι, ἢ ἐπειδὴ κατὰ τὸν καιρὸν ἐκεῖνον — λέγω δὲ τὴν ἐαρινὴν ὥραν, ἐν ᾗ συμβαίνει τὴν ἑορτὴν ἄγεσθαι — ὁ τοῦ σίτου καρπὸς ἀτελής ἐστι, τῶν πεδίων σταχυοφορούντων καὶ μήπω καιρὸν ἐχόντων εἰς ἄμητον. Ἐδικαίωσεν ἐξ ὁμοιώσεως τὴν ἄζυμον τροφὴν — ἀτελὴς γάρ ἐστι καὶ αὕτη — πρὸς ἐλπίδα χρηστῆς ὑπομνήσεως, ὡς ἤδη τῆς φύσεως τὰς ἐτησίους εὐτρεπιζομένης ἀνθρώπων γένει δωρεὰς ἐν τῇ τῶν ἐπιτηδείων ἀφθονίᾳ καὶ περιουσίᾳ. Λέγεται δὲ καὶ ἐκεῖνο τοῖς ἐξηγηταῖς ἱερῶν γραμμάτων, ὅτι ἡ μὲν ἄζυμα τροφὴ δώρημα φύσεώς ἐστιν, ἡ δὲ ἐζυμωμένη τέχνης ἔργον. Ἐπεὶ οὖν ἐστὶν ἡ ἐαρινὴ ἑορτὴ τῆς τοῦ κόσμου γενέσεως ὑπόμνημα, τοὺς δὲ παλαιοτάτους γηγενεῖς ἀναγκαῖον ἦν χρήσασθαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς [*] τοῦ κόσμου δωρεαῖς ἀδιαστρόφοις μήπω τῆς ἡδονῆς παρευημερούσης, οἰκειοτάτην τροφὴν ἐνομοθέτησε τῷ καιρῷ, βουλόμενος ἀνὰ πᾶν ἔτος τὰ σεμνῆς καὶ αὐστηρᾶς διαίτης ἐμπορεύματα ζωπυρεῖν.

## ς΄. *Festum manipuli.*

20. Ἑορτὴ δὲ ἔστιν ἡ μετὰ τὴν πρώτην εὐθὺς ἡμέρα, ἥτις ἀπὸ τοῦ συμβεβηκότος ὀνομάζεται δ ρ ά γ μ α. Τοῦτο γὰρ ἀπαρχὴ *προσάγεται* τῷ βωμῷ, καὶ τῆς χώρας ἣν ἔλαχε τὸ ἔθνος οἰκεῖον, καὶ τῆς συμπάσης γῆς, ὡς εἶναι τὴν ἀρχὴν καὶ τοῦ ἔθνους ἰδίαν καὶ ὑπὲρ ἅπαντος ἀνθρώπων γένους κοινήν, καὶ τὸν ὄντα θεὸν θεραπεύειν ὑπέρ τε ἑαυτοῦ καὶ τῶν ἄλλων, ὅτι πάμφορον γῆν ἔλαχον. Ἐν αὐτῇ γὰρ οὐδέν ἐστι λυπρόγεων· ἀλλὰ καὶ ὅσα λιθώδη καὶ ἀπόκροτα εἶναι δοκεῖ, φλεψὶ μαλακαῖς διέζωσται καὶ σφόδρα βαθείαις, αἳ διὰ πιστότητα ζωοφυεῖν εἰσὶν ἀγαθαί. Πολλὰ μέντοι διὰ τῆς ἀπαρχῆς παρίσταται· πρῶτον μὲν θεοῦ μνῆμα, ἔπειτα τῷ πρὸς ἀλήθειαν αἰτίῳ τῆς εὐκαρπίας ἀμοιβὴ δικαιοτάτη. Κριθὴ δὲ τὸ τῆς ἀπαρχῆς δράγμα, πρὸς τὴν τῶν *ὑποβεβηκότων* ἀνυπαίτιον χρῆσιν. Ἐπειδὴ γὰρ οὔτ᾽ εὐαγὲς ἦν ἐκ πάντων ἀπάρχεσθαι, τῶν πλείστων πρὸς ἡδονὴν μᾶλλον ἢ τὴν ἀναγκαίαν χρῆσιν γεγονότων, οὔθ᾽ ὅσιον ἀπολαῦσαι καὶ μετασχεῖν τινὸς τῶν πρὸς ἐδωδήν, εἰ μὴ οἷς εὐπρεπὲς καὶ θέμις εὐχαριστήσαιτο· τὸ δευτερείοις τροφῆς τετιμημένον εἶδος, κριθήν, ἀπάρξεσθαι προσέταξεν ὁ νόμος. Οὐ γὰρ τοῦ σίτου τὰ πρεσβεῖα ἔλαχεν, οὐ πάλιν τὴν ἀπαρχὴν ἐπιφανεστέραν οὖσαν εἰς ἐπιτηδειότερον ἀνατέθεικε καιρόν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*ζ. Pentecoste sive festum fructuum primitivorum.*

21. Τοσαύτας ἔχουσα προνομίας ἡ ἐπὶ τῷ δράγματι πανήγυρις, *προεόρτιός* ἐστιν ἑτέρας ἑορτῆς μείζονος. Ἀπὸ γὰρ ἐκείνης τῆς ἡμέρας πεντηκοστὴ ἀριθμεῖται, ἑπτὰ ἑβδομάδων ἱερὸν ἀριθμὸν ἐπισφραγιζομένης μονάδος. Πρόσρησιν δὲ ἔλαχεν κατὰ τὸν πεντηκοστὸν ἀριθμὸν ἐνισταμένη ἑορτὴ πρωτογεννημάτων, ἐν ᾗ δύο ἐζυμωμένους ἄρτους ἐκ πυροῦ γεγονότας ἔθος προσφέρειν, ἀπαρχὴν σίτου τῆς ἀρίστης τροφῆς· ἢ διότι, πρὶν εἰς τὴν ἀνθρώπων χρῆσιν ἐλθεῖν τὸν ἐπέτειον καρπόν, τοῦ νέου σίτου πρῶτον γέννημα καὶ ὁ πρῶτος *παραφανεὶς* καρπὸς ἀπαρχὴ προσάγεται, ἵνα διὰ βραχέος συμβόλου παραφήνωσιν εὐχάριστον ἦθος· ἢ διότι κατ' ἐξοχὴν πρῶτον καὶ ἄριστον γέννημα ὁ τοῦ σίτου καρπός ἐστιν. Ἐζυμωμένοι δέ εἰσιν οἱ ἄρτοι, τοῦ [*] νόμου ἄζυμα ἐπὶ τὸν βωμὸν ἀναφέρειν ἀπειπόντος *)· οὐχ ἵνα διαμάχῃ τις ᾖ ἐν τοῖς προσταττομένοις, ἀλλ' ὑπὲρ τοῦ τρόπον τινὰ δι' ἑνὸς εἴδους δοῦναί τε καὶ λαβεῖν· λαβεῖν μὲν τὴν ἀπὸ τῶν προσφερόντων εὐχαριστίαν, δοῦναι δὲ ἀνυπερθέτως τὰ νομιζόμενα τοῖς προσφέρουσιν. Οὐ μὴν ὥστε [χρήσασθαι]· χρήσονται γὰρ τοῖς ἅπαξ καθιερωθεῖσιν οἷς ἔξεστιν, ἔξεστι δὲ τοῖς ἱερεῦσι. Σύμβολον δέ ἐστιν καὶ ἄλλων ἡ ζύμη δυοῖν. Ἑνὸς μὲν ἐντελεστάτου καὶ ὁλοκλήρου, τροφῆς, ἧς οὐκ ἔστιν εὑρεῖν ἐν τῇ καθ' ἡμέραν χρήσει κρείττονα καὶ λυσιτελεστέραν· κράτιστον δὲ καὶ ὁ τοῦ σίτου καρπὸς ἐν σπαρτοῖς, ὡς ἁρμόττειν ὑπὲρ τοῦ ἀρίστου ποιεῖσθαι τὴν ἀρίστην ἀπαρχήν. Ἑτε-

*) Mang. vult ἀνειπόντος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρον δὲ συμβολικώτερον, πᾶν τὸ ἐζυμωμένον ἐπαίρειν· χαρὰ δὲ ψυχῆς ἐστιν ἄλογος ἔπαρσις. Ἐπ᾽ οὐδενὶ δὲ τῶν ὄντων μᾶλλον χαίρειν πέφυκεν ἄνθρωπος, ἢ εὐπορίᾳ καὶ ἀφθονίᾳ τῶν ἀναγκαίων, ἐφ᾽ οἷς ἄξιον γεγηθότως εὐχαριστεῖν, ποιουμένους ἀοράτου τῆς περὶ τὴν διάνοιαν εὐπαθείας αἰσθητὴν διὰ τῶν ἐζυμωμένων ἄρτων εὐχαριστίαν. Ἄρτοι δέ εἰσιν, ἀλλ᾽ οὐ σῖτος, ἡ ἀπαρχή, διὰ τὸ μηδὲν ἐνδεῖν ἔτι τῶν εἰς ἀπόλαυσιν τροφῆς, σίτου γεγονότος· λέγεται γάρ, ὅτι τῶν σπαρτῶν ἁπάντων τελευταῖος ὁ πυρὸς γεννᾶσθαι πέφυκε καὶ πρὸς ἄμητον παρίσταται *). Δύο δέ εἰσιν ἄριστα δυοῖν χρόνοιν χαριστήρια· τοῦ τε παρεληλυθότος, ἐν ᾧ τῶν ἐξ ἐνδείας καὶ λιμοῦ κακῶν οὐκ ἐπειράθημεν, ἐν εὐετηρίᾳ διάγοντες· καὶ τοῦ μέλλοντος, διότι τὰς εἰς αὐτὸν χορηγίας καὶ παρασκευὰς ηὐτρεπισάμεθα.

η΄. *Hieromenia sive festum tubarum. Finis duplex.*

22. Ἑξῆς δέ ἐστιν ἱερομηνία, καθ᾽ ἣν ἅμα ταῖς ἀναγομέναις θυσίαις ἐν τῷ ἱερῷ σαλπίζειν ἔθος· ἀφ᾽ οὗ καὶ σαλπίγγων ἐτύμως ἑορτὴ προσαγορεύεται, διττὸν λόγον ἔχουσα, τὸν μὲν ἴδιον τοῦ ἔθνους, τὸν δὲ κοινὸν ἀνθρώπων ἁπάντων. Ἴδιον μέν, ὑπόμνησιν τεραστίου καὶ μεγαλουργηθέντος ἔργου, καθ᾽ ὃν χρόνον τὰ λόγια τῶν νόμων ἐθεσπίζετο. Τότε γὰρ ἀπ᾽ οὐρανοῦ φωνὴ σάλπιγγος ἐξήχησεν, ἣν εἰκὸς ἄχρι τῶν τοῦ παντὸς φθάσαι περάτων, ἵνα καὶ τοὺς μὴ παρόντας ἡ ποιὰ ἐπίστρεψις **), λογισαμένους, ὅπερ εἰκός, ὅτι τὰ οὕτω μεγάλα μεγάλων ἀποτελεσμάτων ἐστὶ σημεῖα. Τί δὲ μεῖζον ἢ ὠφελιμώ-

*) Mang. coniicit παρύστατος.
**) Coniicitur: ἡ ποιὰ φωνὴ ἐπιστρέψῃ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τερον εἰς ἀνθρώπους ἐλθεῖν ἠδύνατο τῶν γενικῶν νόμων*); Κοινὸν δὲ πρὸς πάντας ἀνθρώπους ἐκεῖνο. Ἡ σάλπιγξ ὄργανόν ἐστι πολέμου, καὶ πρὸς [*] ἐφόρμησιν καὶ πρὸς ἀνάκλησιν... Ἔστι δὲ καὶ ἕτερος θεήλατος πόλεμος, ὅτε ἡ φύσις ἐν ἑαυτῇ στασιάζει, τῶν μερῶν ἀντεπιτιθεμένων ἀλλήλοις. Ὑπ' ἀμφοτέρων δὲ τῶν πολέμων φθείρεται τὰ ἐπίγεια· πρὸς μὲν ἐχθρῶν δενδροτομίαις, ἐμπρήσεσιν, ὑπὸ δὲ τῶν κατὰ φύσιν αὐχμοῖς, ἐπομβρίαις, φλογώσεσι ταῖς ἀφ' ἡλίου, χιονώδει περιψύξει, τῆς ἁρμονίας τῶν ἐτησίων ὡρῶν περιηκούσης εἰς ἀναρμοστίαν. Διὰ τοῦτο ἐπώνυμον ἑορτὴν ὀργάνου πολεμικοῦ σάλπιγγος ἀπέφηνεν ὁ νόμος, ἐπ' εὐχαριστίᾳ τοῦ εἰρηνοποιοῦ θεοῦ, ὃς καὶ τὰς ἐν ταῖς πόλεσι καὶ τὰς ἐν τοῖς μέρεσι τοῦ παντὸς στάσεις ἀνελὼν εὐθηνίας καὶ εὐετηρίας ἀπειργάσατο, μηδὲν ἐμπύρευμα καρπῶν φθορᾶς ἐάσας ζωπυρηθῆναι.

### U. *Festum ieiunii sive sabbatum sabbatorum.*

28. Μετὰ δὲ τῶν σαλπίγγων ἄγεται νηστείας ἑορτή, ἣν ἑορτὴν τὴν μεγίστην Μωσῆς ἀνεῖπεν, πατρίῳ γλώττῃ σάββατον σαββάτων ὀνομάσας, ὡς δὲ ἂν Ἕλληνες εἴποιεν, ἑβδομάδες ἑβδομάδων καὶ τῶν ἁγίων ἁγιώτεραι. Διὰ πολλά. Πρῶτον μὲν ἐγκράτειαν, ἣν ἀεὶ παραγγέλλει διά τε γλώττης καὶ γαστρὸς καὶ τῶν μετὰ γαστέρα ἐπιδείκνυσθαι, νυνὶ διαφερόντως κελεύει, ἐξαίρετον ἡμέραν ἀναθεὶς αὐτῇ. Σιτίων γὰρ *τις* καὶ ποτῶν μαθὼν ἀλογεῖν, τῶν οὕτως ἀναγκαίων, τίνα οὐκ ἂν ὑπερίδοι τῶν περιττῶν; Δεύτερον δέ, ἐπειδὴ πᾶς ἀνάκειται λιταῖς καὶ

---

*) Mang. pro γενικῶν νόμων legi vult σαλπίγγων.

ἱκεσίαις, περὶ μηδὲν ἕτερον ἄχρις ἑσπέρας ἐξ ἑωθινοῦ ἀνθρώπων σχολὴν ἀγόντων, ἢ δεκτικωτάταις εὐχαῖς αἷς σπουδάζουσι τὸν θεὸν ἐξευμενίζεσθαι, παραίτησιν ἁμαρτημάτων αἰτουμένων καὶ χρηστὰ ἐλπιζόντων, οὐ δι' ἑαυτούς, ἀλλὰ διὰ τὴν ἵλεων φύσιν τοῦ συγγνώμην πρὸ κολάσεως ὁρίζοντος. Τρίτον δὲ διὰ τὸν καιρόν, ἐν ᾧ συμβέβηκε τὴν νηστείαν ἄγεσθαι· κατὰ γὰρ τοῦτον ἤδη συγκεκόμισται πάντα ὅσα δι' ἔτους ἤνεγκεν ἡ γῆ. Τὸ μὲν οὖν εὐθὺς ἐμφορεῖσθαι τῶν γεγονότων ἀπληστίας ὑπέλαβεν ἔργον εἶναι, τὸ δὲ νηστεῦσαι καὶ τροφῆς μὴ προςάψασθαι παντελοῦς εὐσεβείας, ἥτις ἀναδιδάσκει τὴν διάνοιαν, μὴ πεποιθέναι τοῖς εὐτρεπισθεῖσιν ὡς ὑγιείας ἢ ζωῆς αἰτίοις. Οὐκοῦν οἱ μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν ἀπεχόμενοι σιτίων, μόνον οὐχὶ βοῶσι· „Τὰς μὲν τῆς φύσεως χάριτας εἰλήφαμεν ἄσμενοι, καὶ ταμιευσόμεθα· φθαρτὸν δὲ οὐδὲν ἐπιγραφόμεθα τῆς ἡμετέρας διαμονῆς αἴτιον, ἀλλὰ τὸν σωτῆρα, τὸν ἐν τῷ κόσμῳ θεόν, ᾧ καὶ διὰ τούτων καὶ ἄνευ τούτων τρέφειν θέμις καὶ διαφυλάττειν. Ἰδοὺ γοῦν καὶ τοὺς προγόνους ἐν ἐρήμῳ ἔτη τεσσαράκοντα [*] διέθρεψεν." (Deut. 8, 2.) Ἡ δὲ ἡμέρα τῆς νηστείας ἄγεται *δεκάτῃ* μηνός, ὅτι ἡ δεκὰς παντέλεια. Τὴν οὖν σιτίων ἔνδειαν συντέταχε κατ' ἀριθμὸν τέλειον γίνεσθαι, διὰ τὰς τοῦ ἀρίστου τοῦ ἐν ἡμῖν ἀρίστας τροφάς· ἵνα μηδεὶς ὑπολάβῃ, λιμόν, τὸ πάντων ἀφορητότατον κακόν, εἰςηγεῖσθαι τὸν ἱεροφάντην, ἀλλὰ τῆς εἰς τὰς τοῦ σώματος δεξαμενὰς φερομένης ἐπιῤῥοῆς ἀνακοπὴν βραχεῖαν. Οὕτω γὰρ ἔμελλε διαυγὲς τὸ ἀπὸ τῆς λογικῆς πηγῆς ἐπὶ ψυχὴν φέρεσθαι νᾶμα λείως, ἐπειδήπερ αἱ συνεχεῖς τροφαὶ κατακλύζουσαι τὸ σῶμα καὶ τὸν λογισμὸν προςεπισύρουσιν· εἰ δὲ ἐπισχεθεῖεν,

εὖ μάλα στηριχθεὶς ὡς ἐπὶ ξηρᾶς ἀτραποῦ τὴν πορείαν δυνήσεται ἄπταιστον ποιεῖσθαι. Ἄλλως τε ἁρμόττον ἦν, τῶν εἰς εὐθηνίαν ἁπάντων κατὰ νοῦν κεχωρηκότων ἐπὶ τελείοις, ἐν χορηγιῶν ἀφθονίᾳ λαβεῖν ἐνδείας ὑπόμνησιν ἀποχῇ σιτίων, καὶ λιτὰς ποιεῖσθαι ὑπὲρ τοῦ μὴ εἰς ἀληθῆ πεῖραν ἐλθεῖν ἀπορίας τῶν ἀναγκαίων.

### ι΄. *Festum tabernaculorum.*

24. Τελευταία δέ ἐστιν ἑορτὴ τῶν ἐνιαυσιαίων προσαγορευομένη σκηναί, καιρὸν ἔχουσα τὸν μετοπωρινῆς ἰσημερίας. Ἐξ οὗ δύο παρίσταται· τό τε δεῖν ἰσότητα τιμᾶν, τὴν δικαιοσύνης ἀρχὴν καὶ ἀσκίου φωτὸς συγγενῆ· καὶ τὸ προσῆκον μετὰ τὴν ἁπάντων καρπῶν τελείωσιν εὐχαριστεῖν τῷ τελεσφόρῳ. Τὸ γὰρ μετόπωρον, ὡς αὐτό που δηλοῖ τὸ ὄνομα, καιρὸς ὁ μετὰ τὴν ὀπώραν ἐστὶν ἤδη συγκεκομισμένην, διὰ τὸ προμηθὲς τῆς φιλοζώου φύσεως. Καὶ μὴν ἐν σκηναῖς προστέτακται διαιτᾶσθαι τὸν χρόνον τῆς ἑορτῆς, ἤτοι διὰ τὸ μηκέτι εἶναι χρείαν ἐν ὑπαίθρῳ διάγειν τὰ περὶ γεωργίαν ἐκπονοῦντας, οὐδενὸς μὲν ὑπολειφθέντος, ἁπάντων δὲ σμὴ *) ἐναποκειμένων σιροῖς, διὰ τὰς εἰωθυίας βλάβας παρακολουθεῖν ἔκ τε φλογώσεως ἡλιακῆς καὶ φορᾶς ὑετῶν. Τὴν δὲ ὑπόμνησιν τῆς τῶν προγόνων μακρᾶς ὁδοιπορίας, ἣν δι᾽ ἐρήμης ποιούμενοι *βαθείας* σκηναῖς πολυετοῦς χρόνου καθ᾽ ἕκαστον σταθμὸν ἐνδιῃτῶντο. Προσήκει δὲ καὶ ἐν πλούτῳ πενίας μεμνῆσθαι, καὶ ἀδοξίας ἐν δόξῃ, καὶ ἐν εἰρήνῃ κινδύνων. Πάλιν δὲ ταύτης τῆς ἑορτῆς ἀρχὴ πεντεκαιδεκάτῃ μηνὸς ἐνίσταται, διὰ τὴν λεχθεῖσαν

*) Mang. coniicit σπερμάτων.

καὶ ἐπὶ τῆς ἐαρινῆς ὥρας αἰτίαν· ἵνα μὴ μεθ᾽ ἡμέραν μόνον, ἀλλὰ καὶ νύκτωρ πλήρης ὁ κόσμος ᾖ τοῦ παγκάλου φωτός, ἡλίου καὶ σελήνης κατ᾽ ἐκείνην τὴν ἡμέραν ἀλλήλοις ἐπανατελλόντων αὐγαῖς *ἀδιαστάτοις*, αἷς [*] μεθόριον οὐ διακρίνει σκότος. Ἑπτὰ δὲ ἡμέραις ὀγδόην ἐπισφραγίζεται, καλέσας ἐξόδιον αὐτήν, οὐκ *ἐκείνης* ὡς ἔοικε μόνον τῆς ἑορτῆς, ἀλλὰ πασῶν τῶν ἐτησίων, ὅσας κατηριθμήσαμεν. Τελευταία γάρ ἐστι τοῦ ἐνιαυτοῦ καὶ συμπέρασμα σταθερώτερον καὶ ἁγιώτερον, τὰς ἀπὸ τῆς χώρας προσόδους εἰληφότων ἤδη καὶ μηκέτ᾽ ἐνδοιασμοῖς τοῖς περὶ ἀφορίας πλαζομένων καὶ δεδιότων. — Ταῦτα ἐπὶ πλέον ἐμήκυνα διὰ τὴν ἱερὰν ἑβδομάδα, ἐπιδείξασθαι βουλόμενος, ὅτι πάσας τὰς ἐτησίους ἑορτὰς συμβέβηκεν ὡς ἂν ἀπογόνους ἑβδομάδος εἶναι μητρὸς λόγον ἐχούσης.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ
# ΚΑΡΤΑΛΛΟΥ ΕΟΡΤΗΣ.

# DE
# FESTO COPHINI*).

(Cf. Deut. 26, 1 ss.)

[A. M. 1 - 3.]

*Festum cophini inter maiora festa non referendum.*

1. [*] ...ἀφροσύναι καὶ εὐφροσύναι. [*] Καὶ διότι ἐν πανηγύρεσι καὶ ἱλαρῷ βίῳ τέρψεις ἀμέτοχοι συννοίας καὶ κατηφείας συνίστανται, σῶμα καὶ ψυχὰς ἀνασχοῦσαι, τὰς μὲν τῷ ἁβροδιαίτῳ, τὰς δὲ τῷ φιλοσοφεῖν. Ἔστι δέ τις παρὰ ταῦτα ἑορτὴ μὲν θεοῦ, ἑορτῆς δὲ πανήγυρις, ἣν καλοῦσι Κάρταλλον ἀπὸ τοῦ συμβεβηκότος, ὡς μικρὸν [*] ὕστερον ἀποδείξομεν. Τὸ μὲν οὖν μὴ ἑορτῆς ἔχειν ἀξίωμα καὶ τάξιν δῆλον ἐκ πολλῶν· οὔτε γὰρ τοῦ ἔθνους ἐστὶν ἁπάνδημος, οἷαι τῶν ἄλλων ἑκάστη· οὔτε

*) Hic et sequens *de parentibus colendis* liber, qui libri in Mangeyi editione desunt, ex eorum editione ab Angelo Maio e codice Florentino seorsim (Mediolani 1818) instituta sumti sunt, ideoque etiam paginarum numeri in superiore margine additi ad hanc Maii editionem referendi.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τι τῶν προςαγομένων ἢ προςφερομένων ἐπὶ τὸν βωμὸν καθαγιάζεται, παραδιδόμενον τῷ ἀσβέστῳ πυρὶ καὶ ἱερῷ· οὐθ' ἡμερῶν ἀριθμὸς ὃν χρὴ ἑορτάζειν εἴρηται.

*Quomodo festum celebretur. Hymnus, qui in eo canitur.*

2. Τὸ δὲ ἑορτώδη τύπον ἔχειν καὶ ἐγγὺς ἑστιᾶσθαι πανηγυρικῆς ἀδείας, εὐμαρῶς κατίδοι τις ἄν. Ἕκαστος γὰρ τῶν ἀγροὺς καὶ κτήσεις ἐχόντων ἀφ' ἑκάστου τῶν ἀκροδρύων εἴδους ἀγγεῖα πληρώσας, καθάπερ ἔφην, ἃ προςηγορεύουσι καρτάλλους, ἀπαρχὴν τῆς εὐκαρπίας εἰς τὸ ἱερὸν κομίζει [*] γεγηθώς, καὶ στὰς ἀντικρὺ τοῦ βωμοῦ δίδωσι τῷ ἱερεῖ, τὸ πάγκαλον καὶ θαυμάσιον ᾆσμα διεξιών, εἰ δὲ μὴ τύχοι μεμνημένος, ἀκούων παρὰ τοῦ ἱερέως μετὰ προσοχῆς πάσης. Ἔστι δὲ τοιόνδε ᾆσμα· „Συρίαν ἀπέβαλλον οἱ ἀρχηγέται τοῦ γένους ἡμῶν, καὶ μετανέστησαν εἰς Αἴγυπτον. Ὀλίγος ὄντες ἀριθμὸς ηὐξήθησαν εἰς πλῆθος ἔθνους. Οἱ ἀπόγονοι μύρια κακωθέντες ὑπὸ τῶν ἐγχωρίων, οὐδεμίας ἔτι φαινομένης ἐξ ἀνθρώπων ἐπικουρίας ἐγένοντο θεοῦ ἱκέται, καταφυγόντες ἐπὶ τὴν ἐξ αὐτοῦ βοήθειαν. Προςδεξάμενος τὴν ἱκεσίαν ὁ πᾶσι τοῖς ἀδικουμένοις [*] εὐμενὴς τοὺς μὲν ἐπιτιθεμένους κατέπληξε σημείοις καὶ τέρασι καὶ φάσμασι καὶ τοῖς ἄλλοις ὅσα κατ' ἐκεῖνον τὸν χρόνον ἐθαυματουργεῖτο, τοὺς δὲ ἐπηρεαζομένους καὶ πάσας ὑπομένοντας ἐπιβουλὰς ἐῤῥύσατο, οὐ μόνον εἰς ἐλευθερίαν ἐξελόμενος, ἀλλὰ καὶ χώραν πάμφορον δούς. Ἀπὸ τῶν ταύτης καρπῶν, εὐεργέτα, σοὶ φέρομεν τὴν ἀπαρχήν, εἰ δὲ θέμις εἰπεῖν ἐστὶ κομίζειν τὸν λαμβάνοντα. Σαὶ γάρ, ὦ δέσποτα, χάριτες καὶ δωρεαὶ τὰ πάντα, ὧν ἀξιωθέντες

ἐναβρυνόμεθα καὶ εὐφραινόμεθα τοῖς ἀπροσδοκήτοις ἀγαθοῖς, ἅπερ οὐκ ἐλπίσασιν ἡμῖν ἔδωκας."

*Hoc festum non ab omnibus eodem tempore celebratur.*

3. [*] Τὸ ᾆσμα τοῦτο σχεδὸν ἀπὸ θέρους ἐνισταμένου μέχρι μετοπώρου λήγοντος ἀδιάστατον ὑφ' ἑτέρων καὶ ἑτέρων ᾄδεται δυσὶ καιροῖς, ὁλοκλήρῳ μέρει ἡμίσει τοῦ ἐνιαυτοῦ, διὰ τὸ μὴ πάντας ἀθρόους κατὰ ῥητὴν προθεσμίαν τὰ ὡραῖα δύνασθαι κομίζειν, ἀλλ' ἄλλοτε ἄλλους, ἔστι δὲ ὅτε καὶ τοὺς αὐτοὺς ἀπὸ τῶν αὐτῶν χωρίων. Ἐπειδὴ γὰρ τῶν καρπῶν οἱ μὲν θᾶττον, οἱ δὲ βραδύτερον πεπαίνονται, καὶ διὰ τὰς τῶν τόπων διαφορὰς ἀλεεινοτέρων ἢ κρυμωδεστέρων ὄντων, καὶ διὰ μυρίας ἄλλας αἰτίας, εἰκότως ἀόριστός ἐστι καὶ ἀπερίγραφος ὁ χρόνος τῆς τῶν ἀκροδρύων ἀπαρχῆς, ἐπὶ μήκιστον ἐκτεινόμενος. [*] Ἡ δὲ τούτων χρῆσις ἐπιτέτραπται τοῖς ἱερεῦσιν, ἐπεὶ τῆς μὲν ἀποτομῆς οὐκ ἔλαχον οὐδὲ προσοδευομένης κτήσεως. Κλῆροι δέ εἰσιν αὐτοῖς αἱ παρὰ τοῦ ἔθνους ἀπαρχαὶ ἀντὶ τῶν λειτουργιῶν, ἃς μεθ' ἡμέραν καὶ νύκτωρ ὑπομένουσι.

*Conclusio.*

4. Τοσαῦτα μὲν περὶ ἑβδομάδος καὶ τῶν εἰς αὐτὴν ἀναφερομένων ἔν τε ἡμέραις καὶ μησὶ καὶ ἐνιαυτοῖς, καὶ περὶ ἑορτῶν, αἳ συγγένειαν ἔχουσι πρὸς ἑβδομάδα, διεξῆλθον, ἑπόμενος εἱρμῷ τῶν προκειμένων κεφαλαίων κατὰ τὴν ἐν λόγοις ἀκολουθίαν. Ἐπισκέψομαι δὲ ἑξῆς τὸ ἑπόμενον, ὃ περὶ γονέων ἀναγέγραπται τιμῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΓΟΝΕΩΝ ΤΙΜΗΣ.

# DE PARENTIBUS COLENDIS.

[A. M. 8. 9.]

*Praeceptum quintum, de parentibus colendis, inter divina et humana medium. Cur?*

1. [*] Τέτταρα εἴδη πρότερον ὑπειπὼν, ἃ καὶ τῇ τάξει καὶ τῇ δυνάμει πρῶτα ἦν ὡς ἀληθῶς, τό τε περὶ μοναρχίας ᾗ μοναρχεῖται ὁ κόσμος, καὶ τὸ περὶ τοῦ μηδὲν ἀπεικόνισμα καὶ μίμημα δημιουργεῖν θεόν, καὶ τὸ περὶ τοῦ μὴ ψευδορκεῖν ἢ συνόλως μάτην ὀμνύναι, καὶ τὸ περὶ ἱερᾶς ἑβδόμης, ἅπερ σύμπαντα τείνει πρὸς εὐσέβειαν καὶ ὁσιότητα· [*] μέτειμι ἐπὶ τὸ πέμπτον· τὸ περὶ γονέων τιμῆς, ὅ, καθάπερ ἐν τοῖς ἰδίᾳ περὶ αὐτοῦ λόγοις ἔδειξα, μεθόριον ἀνθρωπείων τε καὶ θείων. Οἱ γὰρ γονεῖς μεταξὺ θείας καὶ ἀνθρωπίνης [φύσεως] εἰσί, μετέχοντες ἀμφοῖν· ἀνθρωπίνης μέν, ὡς ἔστι δῆλον, ὅτι καὶ γεγόνασι καὶ φθαρήσονται· θείας δέ, ὅτι γεγεννήκασι καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ μὴ ὄντα εἰς τὸ εἶναι παρήγαγον. Ὅπερ γὰρ οἶμαι θεὸς πρὸς κόσμον, οὕτως πρὸς τέκνα γονεῖς, ἐπειδὴ ὡς ἐκεῖνος τῷ μὴ [*] ὑπάρχοντι ὕπαρξιν κατειργάσατο, καὶ οὗτοι μιμούμενοι, καθ᾽ ὅσον οἷόν τε, τὴν ἐκείνου δύναμιν, τὸ γένος ἀθανατίζουσιν.

*Parentum ordo superior, liberorum inferior.*

2. Ἄξιοι δὲ οὐ δι᾽ αὐτὸ μόνον τιμῆς πατήρ τε καὶ μήτηρ, ἀλλὰ καὶ δι᾽ ἕτερα πλείω. Παρ᾽ οἷς γὰρ λόγος ἀρετῆς ἐστί, πρεσβύτεροι νεωτέρων προκρίνονται καὶ διδάσκαλοι γνωρίμων καὶ εὐεργέται τῶν εὖ πεπονθότων καὶ ἄρχοντες ὑπηκόων καὶ δεσπόται δούλων. Ἐν μὲν οὖν τῇ ἀμείνονι τάξει κρίνονται γονεῖς, πρεσβύτεροι γάρ εἰσὶ καὶ ὑφηγηταὶ καὶ εὐεργέται καὶ ἄρχοντες καὶ δεσπόται· ἐν δὲ τῇ ἐλάττονι υἱοὶ καὶ θυγατέρες, νεώτεροι γὰρ καὶ μαθηταὶ καὶ εὖ πεπονθότες ὑπήκοοί [*] τε καὶ δοῦλοι. Ὡς δὲ οὐδὲν τούτων κατέψευσται, δῆλον μὲν ἐκ τῆς ἐνεργείας· αἱ δὲ ἐκ λόγου πίστεις ἔτι μᾶλλον ἐπισφραγιοῦνται τὴν ἀλήθειαν.

*Parentes liberis sunt seniores eorumque magistri et erga eos benefici.*

3. Λέγω τοίνυν, ὅτι τὸ ποιοῦν τοῦ γινομένου καὶ τὸ αἴτιον οὗπερ ἐστὶν αἴτιον ἀεὶ πρεσβύτερόν ἐστιν· οἱ δὲ γεννήσαντες αἴτιοι καὶ δημιουργοὶ τρόπον τινὰ τῶν γεννηθέντων εἰσί. Καὶ οἱ μὲν ὑφηγητῶν ἔχουσι τάξιν, ὅσαπερ ἂν εἰδότες τυγχάνωσι τοὺς παῖδας ἐκ πρώτης ἀναδιδάξαντες ἡλικίας, καὶ οὐ μόνον τὰ περὶ τὸ ἐπίστημα ἀκοῦσι καὶ γυμνάζουσιν ἐναποματτόμενοι λογισμοὺς ἀκμάζουσι παίδων, ἀλλὰ καὶ τὰ ἀναγκαιότατα [*] τῶν πρὸς αἱ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρέσεις καὶ φυγάς· αἱρέσεις μὲν ἀρετῶν, φυγὰς δὲ κακιῶν καὶ τῶν κατ᾽ αὐτὸ ἐνεργειῶν. Εὐεργέται μέντοι τίνες ἂν εἶεν μᾶλλον ἢ παίδων γονεῖς, οἳ καὶ μὴ ὄντας εἰργάσαντο, καὶ αὖθις τροφῆς ἠξίωσαν, καὶ μετὰ ταῦτα παιδείας τῆς κατά τε σῶμα καὶ ψυχὴν, καὶ ἵνα μὴ μόνον ζῶσιν, ἀλλὰ καὶ εὖ ζῶσι; Τὸ μὲν οὖν σῶμα διὰ τῆς γυμναστικῆς καὶ ἀλειπτικῆς ὠφέλησαν εἰς εὐτονίαν τε καὶ εὐεξίαν σχήσεις τε καὶ κινήσεις εὐμαρεῖς, οὐκ ἄνευ ῥυθμοῦ καὶ τοῦ πρέποντος, τὴν δὲ ψυχὴν διά τε γραμμάτων καὶ ἀριθμῶν, [*] γεωμετρίας τε καὶ μουσικῆς καὶ τῆς συμπάσης φιλοσοφίας, ἣ τὸν νοῦν εἰσῳκισμένον θνητῷ σώματι μετέωρον αἴρουσα παραπέμπει μέχρις οὐρανοῦ καὶ τὰς ἐν αὐτῷ μακαρίας καὶ εὐδαίμονας φύσεις ἐπιδείκνυται, ζῆλον ἅμα καὶ πόθον ἐνεργαζομένη τῆς ἀτρέπτου καὶ ἐναρμονίου τάξεως, ἣν οὐδέποτε λείπουσι πειθόμενοι τῷ ταξιάρχῳ. Πρὸς δὲ ταῖς εὐεργεσίαις καὶ τὴν ἐφ᾽ οἷς ἐγέννησαν ἀρχὴν ἔλαβον, οὐχ, ὥσπερ ἐν ταῖς πόλεσι, κατὰ κλῆρον ἢ χειροτονίαν, ὡς αἰτιᾶσθαι δύνασθαι τὸν μὲν ὀλισθῳ τύχης γενόμενον, οὐ συλλογισμῷ, τὸν δὲ ὄχλου, [*] πράγματος ἀνεξετάστου καὶ ἀνεπισκέπτου, φορᾷ· γνώμης δὲ ἀρίστης καὶ τελειοτάτης τῆς ἄνω φύσεως, ἣ καὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα σὺν δίκῃ πρυτανεύεται.

*Parentum in liberos potestas.*

4. Διὰ τοῦτ᾽ ἔξεστι τοῖς πατράσι καὶ κατηγορεῖν πρὸς τοὺς παῖδας, καὶ ἐμβριθέστερον νουθετεῖν, καί, εἰ μὴ ταῖς δι᾽ ἀκοῶν ἀπειλαῖς ὑπείκωσι, τύπτειν καὶ προπηλακίζειν καὶ καταδεῖν. Ἂν μέντοι γε καὶ πρὸς ταῦτα ἀφηνιάζωσι, τῇ ῥύμῃ τῆς ἀνιάτου μοχθηρίας ἀπαυχενίζοντες, ἐπέτρεψεν ὁ νόμος καὶ μέχρι θανάτου κολάζειν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Deut. 21, 18 ss.), ἀλλ' οὐκέτι μόνῳ πατέρι ἢ μόνῃ μητέρι, διὰ τὸ μέγεθος [*] τῆς τιμωρίας, ἣν οὐκ ἄξιον ὑφ' ἑνός, ἀλλ' ἀμφοῖν δικασθῆναι· συμφρονῆσαι γὰρ οὐκ εἰκὸς ἐπ' ἀναιρέσεως τοῦ παιδὸς ἑκάτερον τῶν γονέων, μὴ βαρυνόντων καὶ καθελκόντων τῶν ἀδικημάτων ὁλκῇ τινὶ βεβαίῳ νικώσῃ τὴν ἐκ φύσεως ἐνεδρυμένην πάγιον εὔνοιαν. Ἀλλ' οὐκ ἀρχὴν μόνον καὶ ἡγεμονίαν τὴν ἐπὶ τέκνοις, ἀλλὰ καὶ δεσπότειαν γονεῖς ἔλαχον κατ' ἄμφω τὰς ἀνωτάτω θεραπόντων κτήσεως ἰδέας, τήν τε ἐπ' οἰκότριψι καὶ ἀργυρωνήτοις· πολλαπλασίους τε γὰρ τῆς ἀξίας τιμῆς κατατιθέασιν εἴς τε παῖδας καὶ ὑπὲρ παίδων τιτθαῖς καὶ παιδαγωγοῖς καὶ διδασκάλοις, δίχα τῆς εἰς ἐσθῆτα καὶ τροφὴν καὶ τὴν ἄλλην ἐπιμέλειαν ὑγιαινόντων τε καὶ [*] καμνόντων ἐκ πρώτης ἡλικίας μέχρι τελείας. Οἰκότριβές τε ἂν εἶεν οἱ μὴ μόνον οἴκοι γεννηθέντες, ἀλλὰ καὶ οἱ ὑπὸ τῶν τῆς οἰκίας δεσποτῶν συνειςενεγκάντων τὴν πρὸς γένεσιν φύσεως θεσμοῖς εἰςφορὰν ἀναγκαίαν.

*Hinc liberorum est, non solum parentes aequalesque eorum, senes, colere, sed etiam timere.* (5. 6.)

5. Τοσούτων οὖν ὑπαρχόντων ἄξιον μὲν οὐδὲν δρῶσιν οἱ τιμῶντες γονεῖς, ἐπεὶ καὶ ἕν τι τῶν εἰρημένων αὐταρκέστατον εἰς σεβασμὸν αὐτοὺς προκαλέσασθαι; ψόγου δὲ καὶ κατηγορίας καὶ τῆς ἀνωτάτης δίκης [οὐκ ἄξιοι] οἱ μήθ' ὡς πρεσβυτέρους αἰδούμενοι, μήθ' ὡς ὑφηγητὰς ἀποδεχόμενοι, μήθ' ὡς εὐεργέτας ἀμοιβῆς ἀξιοῦντες, μήθ' ὡς ἄρχουσιν πειθαρχοῦντες, μήθ' ὡς δεσπότας εὐλαβούμενοι; [*] „Πατέρα" οὖν φησὶ „μετὰ θεὸν καὶ μητέρα τίμα" (Deut. 5, 16)

δευτεραίαν τὴν γέρασιν ἀναδουμένους, ἅπερ ἡ φύσις ὑπένειμεν, αὐτοὺς ἀθλοθετοῦσα. Τιμήσεις δὲ ἐπ' οὐδενὶ μᾶλλον ἢ πειρώμενος ἀγαθός τε εἶναι καὶ δοκῶν εἶναι, ὧν τὸ μὲν τὴν ἄτυφον καὶ ἄπλαστον ἀρετὴν ἐπιζητεῖ, τὸ δὲ τὴν σὺν ὑπολήψει χρηστῇ καὶ τῷ παρὰ τῶν συνόντων ἐπαίνῳ. Μικρὰ γὰρ [οἱ γονεῖς] τῶν ἰδίων φροντίζοντες ὠφελειῶν τέλος εὐδαιμονίας νομίζουσι τὴν τῶν παίδων καλοκἀγαθίαν, δι' ἣν καὶ τοῖς προσταττομένοις θελήσουσιν ὑπακούειν ἐκείνους καὶ ἐν ἅπασι καταπειθεῖς εἶναι τοῖς δικαίοις καὶ [*] συμφέρουσιν· οὐδὲν γὰρ ἀλλότριον ἀρετῆς ἢ τῆς ἀληθείας ὑφηγήσεται πατὴρ παιδί.

6. Τεκμηριώσαιτο δὲ ἄν τις τὴν πρὸς γονεῖς εὐσέβειαν οὐ μόνον ἐκ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐκ τῶν πρὸς τοὺς ἥλικας ἐκείνων ἀποχῆς. Ὁ γὰρ πρεσβύτην καὶ πρεσβύτιδα οὐδὲν γένει προσήκοντας αἰδούμενος ἔοικέ πως ὑπομιμνήσκεσθαι πατρός τε καὶ μητρός, ὃ καὶ ἀποβλέπων ὥσπερ εἰς ἀρχέτυπα τεθεικέναι τὰς εἰκόνας ἐκείνων. Ὅθεν ἐν τοῖς ἱεροῖς γράμμασιν οὐ μόνον προεδρίας ἐξίστασθαι διείρηται νέους πρεσβύταις, ἀλλὰ καὶ παριοῦσιν ὑπανίστασθαι (Lev. 19, 32) πολιὰν γήρως [*] αἰδουμένους, εἰς ὅπερ ἐλπὶς ἀφικέσθαι τοὺς προνομίας τοῦτο ἀξιοῦντας. Παγκάλως δέ μοι καὶ ἐκεῖνο νενομοθετεῖσθαι δοκεῖ, φησὶ γάρ· „Ἕκαστος πατέρα τε ἑαυτοῦ καὶ μητέρα φοβείσθω" (Lev. 19, 3), φόβον πρὸ εὐνοίας τιθείς, οὐχ ὡς πρὸς ἅπαν ἄμεινον, ἀλλ' ὡς πρὸς τὸν παρόντα καιρὸν χρησιμώτερόν τε καὶ λυσιτελέστερον. Πρῶτον μὲν γὰρ τοῖς παιδευομένοις καὶ νουθετουμένοις ἄφροσιν εἶναι συμβέβηκεν· ἀφροσύνη δὲ οὐκ ἄλλῳ ἢ φόβῳ θεραπεύεται. Δεύτερον δὲ ἁρμόττον οὐκ ἦν νομοθέτου παραγγέλμασι τοὺς παῖδας εὔνοιαν διδάσκε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σθαι τὴν πρὸς γονεῖς, ἣν αὐτοκελευστὶ ἡ φύσις ἐξαιτεῖ· [*] [ἐκ] σπαργάνων δὲ ταῖς ψυχαῖς τῶν φύσει ἡνωμένων κατὰ γένος ἐνιδρύσατο, δι' ὠφέλειαν μὲν τὴν πρὸς τοὺς γεννήσαντας, ὡς αὐτομαθῆ καὶ αὐτοδίδακτον καὶ προστάξεως οὐ δεομένην ἀπέλιπε. Φόβον δὲ προστάττει διὰ τοὺς εἰωθότας ὀλιγωρεῖν· ἐπειδὴ γὰρ γονεῖς παῖδας ὑπερβαλλούσῃ χρώμενοι φιλοστοργίᾳ περιέπουσι, καὶ πάντοθεν ἐκπορίζοντες αὐτοῖς τὰ ἀγαθὰ χαρίζονται, μηδένα πόνον ἢ κίνδυνον ὑπερτιθέμενοι, δυνάμεσιν, ὅρκοις, θυσίαις συνδεδεμένοι, τὸ λίαν φιλόστοργον αὐτῶν οὐ δέχονταί τινες ἐπ' ὠφελείᾳ, τρυφὴν καὶ χλιδὴν ἐζηλωκότες, καὶ θαυμάζοντες μὲν τὸν [*] ὑγρὸν βίον, διαφθείροντες δὲ κατά τε σῶμα καὶ ψυχήν, τὸ μηδὲν μέρος ἐῶντες ὀρθοῦσθαι ταῖς οἰκείαις δυνάμεσιν, ὡς ὑποσκελίζοντες καὶ ἐκνευρίζοντας οὐκ ἐρυθριῶσιν ἑνὸς ἑκάστου μὴ δεδιέναι τοὺς σωφρονιστὰς πατέρας καὶ μητέρας, ἐνδιδόντες καὶ ἐπιχαλῶντες ταῖς ἰδίαις ἐπιθυμίαις. Ἀλλὰ καὶ τούτοις ἀναγκαῖον παραινεῖν, πῶς αὐστηροτέραις καὶ ἐμβριθεστέραις χρώμενοι νουθεσίαις θεραπεύωσι τὸν τῶν παίδων ῥοῦν· καὶ τοῖς παισίν, ὅπως εὐλαβῶνται τοὺς γειναμένους, δεδιότες καὶ ὡς ἄρχοντας καὶ ὡς φύσει δεσπότας, μόλις γὰρ οὕτως ἀδικεῖν ὀκνήσουσι.

*Liberi, qui aut facto aut dicto parentes laedunt, morte sunt plectendi; eodem modo, quo qui sabbatum violant et per Deum falso iurant. (7 - 9.)*

7. Τὰ μὲν δὴ κατὰ τὴν [*] προτέραν δέλτον πέντε κεφάλαια νόμων, καὶ ὅσα τῶν κατὰ μέρος εἰς ἕκαστον ἐλάμβανε τὴν ἀναφοράν, διεξῆλθον. Χρὴ δὲ καὶ τὰς ὁρισθείσας ἐπὶ τῇ τούτων παραβάσει τιμωρίας δηλῶσαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Κοινὸς μὲν οὖν ἐστὶ κατὰ πάντων θάνατος, δι' ὃν ἔχει τὰ ἀδικήματα πρὸς ἄλληλα συγγένειαν. Αἰτίαι δὲ τῆς δίκης διάφοροι. Ἀρκτέον δὲ ἀπὸ τοῦ τελευταίου τοῦ πρὸς γονεῖς, ἐπειδὴ καὶ περὶ αὐτοῦ λόγος ἔναυλος. „Ἄν," φησί, „τις τυπτήσῃ πατέρα ἢ μητέρα, καταλευέσθω." (Exod. 21, 15.) Πάνυ δικαίως· οὔτε θέμις ζῆν τῷ προπηλακίζοντι τοὺς τοῦ ζῆν αἰτίους. Ἀλλ' ἔνιοι τῶν [*] εὐπαρύφων καὶ νομοθετῶν, πρὸς δόξας ἀπιδόντες μᾶλλον ἢ τὴν ἀλήθειαν, ἐκομψεύσαντο κατὰ πατροτυπτῶν ὁρίσαντες χειρῶν ἀποκοπήν· ὑπὲρ τοῦ παρὰ τοῖς εἰκαιοτέροις καὶ ἀνεξετάστοις εὐδοκιμῆσαι νομίζουσιν ἁρμόττον εἶναι τὰ μέρη οἷς ἐτύπτησαν τοὺς γονεῖς ἀκρωτηριάζεσθαι. Ἔστι δὲ εὔηθες τοῖς ὑπηρετηκόσι πρὸ τῶν αἰτιῶν δυσχεραίνειν, τὴν γὰρ ὕβριν οὐ χεῖρες, ἀλλὰ διὰ χειρῶν ὑβρισταὶ δρῶσιν, οὓς ἀναγκαῖον κολάζειν· εἰ μὴ καὶ τοὺς ἀνδροφονήσαντας ξίφει μεθετέον ὑπερορίους τὸ ξίφος ῥίψαντας· καὶ τὸ ἐναντίον τοῖς [*] ἀριστεύσασιν ἐν πολέμῳ τιμὰς οὐ δοτέον, ἀλλὰ ταῖς ἀψύχοις παντευχίαις δι' ὧν ἠνδραγαθήσαντο· μὴ καὶ τῶν ἐν γυμνικοῖς ἀγῶσιν στάδιον ἢ δίαυλον ἢ δόλιχον νενικηκότων, ἢ πυγμὴν ἢ παγκράτιον, σκέλη καὶ χεῖρας αὐτῶν μόνον ταινιοῦν ἐπιχειρήσωσιν, ὅλα τὰ σώματα τῶν ἀθλητῶν παρέντες. Γέλως μέντοι ἂν εἴη τὰ τοιαῦτα εἰσηγεῖσθαι, ὧν οὐκ ἄνευ κολάζειν ἢ τιμᾶν δέον τοὺς αἰτίους· οὐδὲ γὰρ μουσικὴν ἐπιδεικνύμενόν τινα δι' αὐλῶν ἢ λύρας καὶ σφόδρα κατορθοῦντα παραλειψάμενοι τὰ ὄργανα κηρυγμάτων καὶ τιμῶν ἀξιοῦμεν. Τί οὖν ἔδει πατροτυπτάς, ὦ γενναῖοι νομοθέται, χειροκοπεῖν; Ἢ ἵνα πρὸς [*] τὸ εἶναι μηδὲν χρήσιμοι τὸ παράπαν, καὶ δασμὸν οὐκ ἐτήσιον, ἀλλ' ἐφήμερον ἀναπράττωσι παρὰ τῶν ἠδικημένων

τροφὰς ἀναγκαίας, ἅτε πορίζειν ἀδυνατοῦντες; Οὐ γὰρ σιδήριος πατήρ ἐστί τις οὕτως, ὡς λιμῷ περιϊδεῖν θνήσκοντα υἱὸν τὸν ταῦτα [ἐξημαρτηκότα] χρόνῳ τῆς ὀργῆς ἀμαυρουμένης. Καὶ ἂν μὴ ἐπενέγκῃ μέντοι χεῖρας, κακηγορεῖ δὲ οὓς χρέος ἀναγκαῖον εὐφημεῖν, ἢ καὶ τρόπῳ ἑτέρῳ δρᾷ τι τῶν ἐπ' ἀτιμίᾳ γονέων, θνησκέτω. (Exod. 21, 17.) Κοινὸς γὰρ ἐχθρὸς καί, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, δήμιος ἁπάντων ἐπὶ τίνι γένοιτο ἂν εὐμενὴς ἄλλῳ, μηδὲ τοῖς αἰτίοις τοῦ ζῆν, δι' οὓς εἰς γένεσιν ἦλθεν, ὧν ἐστι προςθήκη;

8. [*] Πάλιν δὲ ὁ τὴν ἱερὰν ἑβδόμην βέβηλον ἀποφήνας, τό γ' ἐπ' αὐτὸν ἧκον μέρος, ὑπόδικος ἔστω θανάτου. Τὸ ἐναντίον γὰρ τοῖς βεβήλοις καὶ πράγμασι καὶ σώμασι καθαρσίων εὐπορητέον εἰς τὴν ἀμείνω μεταβολήν, ἐπειδὴ „φθόνος", ὡς ἔφη τις, „ἔξω θείου χοροῦ βαίνει". Τὸ δὲ τολμᾶν τὰ καθόσιμα παρακόπτειν καὶ παραχαράττειν, ὑπερβάλλουσαν ἀσέβειαν ἐκφαίνει. Κατὰ τὴν παλαιὰν ἐκείνην ἐξ Αἰγύπτου μετανάστασιν ἡνίκα δι' ἐρήμης ἀτριβοῦς ἅπασα ἡ πληθὺς ὡδοιπόρει, γενομένης [*] ἑβδομάδος αἱ μὲν τοσαῦται μυριάδες, ὅσας ἐδήλωσα πρότερον, ἐν ταῖς σκηναῖς κατὰ πολλὴν ἡσυχίαν διέτριβον, εἷς δὲ οὐχὶ τῶν ἠμελημένων καὶ ἀφανῶν, ὀλίγα φροντίσας τῶν διατεταγμένων καὶ χλευάσας τοὺς φυλάττοντας, ἔξεισι μὲν ἐπὶ φρυγανισμόν, ἔργῳ δὲ εἰς παρανομίας ἐπίδειξιν. Καὶ ὁ μὲν ὑπέστρεφεν ἀγκαλίδα ἀγαγών, οἱ δὲ τῶν σκηνῶν, *καίτοι* ἐκκαυθέντες καὶ παρατεθηγμένοι, νεώτερον οὐδὲν ἕνεκα τοῦ περὶ τὴν ἡμέραν ἱεροπρεποῦς εἰργάσαντο, πρὸς δὲ τὸν ἄρχοντα ἀγαγόντες τὸ ἀσέβημα μηνύουσιν. Ὁ δὲ εἰς εἱρκτὴν ἀποθέμενος, ἐκπεσόντος λογίου [*] καταλεύειν, τὸν ἄνθρωπον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκδίδωσι τοῖς πρῶτον θεασαμένοις εἰς ἀπώλειαν. Ὡς οὖν, οἶμαι, πῦρ ἐναύειν ἑβδομάσιν οὐκ ἐπιτέτραπται — δι' ἣν αἰτίαν, πρόσθεν εἶπον —, οὕτως οὐδὲ τὰ πυρὸς ἐκκαύματα συλλέγειν.

9. Τοῖς μάρτυρα καλοῦσιν ἐπὶ μὴ ἀληθῆ θεὸν ὥρισται δίκη θανάτου (Deut. 19, 16 ss.)· προσηκόντως. Οὐδὲ γὰρ ἄνθρωπος τῶν μετρίων ἀνέξεταί ποτε παρακληθεὶς συνεπιγράψασθαι ψεύδεσιν, ἀλλ' ἐχθρὸν ἄπιστον ὑπολαβεῖν ἄν μοι δοκεῖ τὸν εἰς ταῦτα προτρέποντα. Ὅθεν ῥητέον· Τὸν ὀμνύντα μάτην ἐπ' ἀδίκῳ θεὸν ὁ τὴν φύσιν ἵλεως οὔποτε τῆς αἰτίας [*] ἀπαλλάξει, δυςκάθαρτον καὶ μιαρὸν ὄντα, καὶ ἂν διαφύγοι τὰς ἀπ' ἀνθρώπου τιμωρίας. Διαδράσεται δὲ οὐδέποτε· μύριοι γὰρ ἔφοροι, ζηλωταὶ νόμων φύλακες τῶν πατρίων, ἀκριβέστεροι ἐπὶ κατακλεύσει, τί δρῶσιν ἀμειλίκτως ἔχοντες· εἰ μὴ ἄρα ἐπὶ μὲν ἀτιμίᾳ πατρὸς ἢ μητρὸς φόνου ἄξιον, ἐπὶ δὲ ὀνόματι τῷ καὶ αὐτῆς εὐκλεεστέρῳ σεμνότητος ὑπ' ἀσεβῶν ἀτιμουμένῳ μετριώτερον οἰστέον. Ἀλλ' οὐχ οὕτως ἐστί τις ἀνόητος, ὡς ἕνεκα τῶν ἐλαττόνων κτείνων τοὺς αἰτίους, ἐπὶ τοῖς μείζοσιν — ἐὰν μεῖζον δὲ ἀσέβημα τοῦ πρὸς γονεῖς κατηγορουμένου καὶ ὑβριζομένου τὸ περὶ τὴν [*] ἱερὰν πρόςρησιν θεοῦ γενόμενον ἐκ ψευδορκίας — [ἐπιεικείᾳ χρήσεται]. Εἰ δὲ ὁ μὴ προσηκόντως ὀμνὺς ὑπαίτιος, πόσης ἄξιος τιμωρίας ὁ τὸν ὄντως ὄντα θεὸν ἀρνούμενος καὶ τοὺς γεγονότας πρὸ τοῦ πεποιηκότος τιμῶν, καὶ μὴ μόνον γῆν καὶ ὕδωρ ἢ ἀέρα ἢ πῦρ, τὰ στοιχεῖα τοῦ παντός, ἢ πάλιν ἥλιον καὶ σελήνην καὶ πλανῆτας καὶ ἀπλανεῖς ἀστέρας, καὶ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον σέβειν ἀξιῶν, ἀλλὰ καὶ ὅσα θνητοὶ δημιουργοὶ κατεσκεύασαν ξύλα καὶ λίθους, ἅπερ εἰς ἀν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θρωπώδεις τύπους ἐμορφώθη! [*] Τοιγάρτοι καὶ αὐτὸς ἐξομοιούσθω τοῖς χειροτμήτοις· θέμις γὰρ μὴ μετέχειν ψυχῆς τὸν τὰ ἄψυχα τιμήσαντα, καὶ μάλιστα φοιτητὴν γενόμενον Μωσέως, οὗ πολλάκις ἤκουσε λέγοντός τε καὶ προφητεύοντος τὰς ἱερωτάτας καὶ καταθέους ἐκείνας ὑφηγήσεις· „Ὄνομα θεῶν ἑτέρων μήτε τῇ ψυχῇ παραδέξῃ εἰς ὑπόμνησιν, μήτε φωνῇ διερμηνεύσῃς, ἀλλ' ἑκάτερον, νοῦν καὶ λόγον, μακρὰν τῶν ἄλλων διαζεύξεσιν ἐπίστρεψον πρὸς τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων, ἵνα καὶ φρονῇς περὶ μοναρχίας τὰ ἄριστα καὶ κάλλιστα, καὶ λέγῃς τὰ πρέποντα καὶ λυσιτελέστατα σαυτῷ τε καὶ τοῖς ἀκουομένοις.“ (Exod. 23, 13.)

*Praemia obtemperantium.* (10. 11.)

10. [*] Αἱ μὲν οὖν κατὰ τῶν παραβαινόντων τοὺς πέντε χρησμοὺς τιμωρίαι δεδήλωνται. Τὰ δὲ προκείμενα τοῖς φυλάττουσιν αὐτοὺς ἆθλα, καὶ εἰ μὴ ῥηταῖς προστάξεσι μεμήνυκεν ὁ νόμος, ἀλλά τοι δι' ὑπονοίας ἐκφαίνεται. Τὸ μὲν οὖν μὴ νομίζειν θεοὺς ἑτέρους μηδὲ χειρότμητα θεὸν πλαστεῖν μηδὲ ψευδορκεῖν ἑτέρου γέρως χρεῖον οὐκ ἔστιν· αὐτὸ γάρ, οἶμαι, τὸ ταῦτα ἐπιτηδεύειν ἄριστον καὶ τελεώτατόν ἐστι γέρας. Ἐπὶ τίνι γὰρ δύναιτο ἄν τις ἡσθῆναι μᾶλλον ἀληθείας ἐρῶν, ἢ τῷ ἑνὶ προσκεῖσθαι θεῷ καὶ τῆς τούτου θεραπείας ἀδόλως καὶ καθαρῶς περιέχεσθαι; Καλῶ δὲ μάρτυρας, οὐχ [*] οἵτινες θεραπεύουσι τῦφον, ἀλλὰ τοὺς ἀπλανῆ ζῆλον ἐζηλωκότας, παρ' οἷς ἀλήθεια τιμᾶται. Φρονήσεώς τε γὰρ ἆθλον αὐτὴ φρόνησις αὐτῇ, καὶ δικαιοσύνη καὶ ἑκάστη τῶν ἄλλων ἀρετῶν ἑαυτῆς ἐστὶ γέρας. Ἡ δέ, ὥσπερ ἐν χορῷ καλλιστεύουσα καὶ κατάρχουσα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πασῶν ὁσιοτήτων, πολὺ πλέον ἐστὶν ἑαυτῆς καὶ ἀγώνισμα καὶ ἆθλον, παρέχουσα καὶ τοῖς χρωμένοις εὐδαιμονίαν καὶ τοῖς τούτων παισὶ καὶ ἐγγόνοις εὐπραγίας ἀναφαιρέτους.

11. Πάλιν γε μὲν τοῖς τὴν ἱερὰν ἑβδόμην φυλάττουσι συμβαίνει περὶ δύο τὰ ἀναγκαιότατα ὠφελεῖσθαι, σῶμα καὶ ψυχήν· τῷ μὲν ἀναπαύλαις ἐκ τῶν συνεχῶν καὶ [*] ἀτρύτων πόνων, τῇ δὲ ὑπολήψεσιν ἀρίσταις περὶ θεοῦ, ὡς κοσμοποιοῦ καὶ ἐπιμελουμένου ὧν ἐγέννησε· καὶ τὰ σύμπαντα ἐτελεσφόρησεν ἑβδομάδι. Δῆλον οὖν ἐκ τούτων, ὅτι τὴν ἑβδόμην τιμῶν αὐτὸς εὑρίσκεται τιμήν. Ὁμοίως μέντοι καὶ ὁ τοὺς γονεῖς ἀποδεχόμενος μὴ θηράσθω τι πλέον· εὑρήσει γὰρ σκοπῶν ἐν αὐτῷ τῷ ἔργῳ τὸ ἆθλον. Οὐ μὴν ἀλλ᾽ ἐπειδὴ τῶν προτέρων τεσσάρων κεφαλαίων, ἃ θειοτέρας ἔλαχε μοίρας, ἔλαττον τοῦτο ἐστὶ διὰ τὸ θνητῶν ἐφάπτεσθαι, παρηγόρησεν εἰπών· „Τίμα πατέρα καὶ μητέρα, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ“ (Exod. 20, 12), δύο [*] γέρα τιθείς· ἓν μετουσίαν ἀρετῆς, τὸ γὰρ εὖ ἡ ἀρετή, ἢ οὐκ ἄνευ ἀρετῆς· ἕτερον δέ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἀθανασίαν διὰ πολυχρονίου ζωῆς καὶ βίου μακραίωνος, ὃν καὶ μετὰ σώματος θρέψεις, ψυχῇ κεκαθαρμένῃ τελείᾳ καθάρσει βιῶν. Ταῦτα μὲν οὖν ἀποχρώντως λέλεκται. Τὰ δὲ ἐν τῇ δευτέρᾳ δέλτῳ μετὰ ταῦτα καιροῦ διδόντος ἐπισκεψόμεθα.

# ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ
# ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ
## ΕΙΣ ΔΥΟ ΓΕΝΗ ΤΩΝ ΔΕΚΑ ΛΟΓΩΝ,

**ΤΟ ΕΚΤΟΝ ΚΑΙ ΤΟ ΕΒΔΟΜΟΝ· ΤΟ ΚΑΤΑ ΜΟΙΧΩΝ ΚΑΙ ΠΑΝΤΟΣ ΑΚΟΛΑΣΤΟΥ ΚΑΙ ΤΟ ΚΑΤΑ ΑΝΔΡΟΦΟΝΩΝ ΚΑΙ ΠΑΣΗΣ ΒΙΑΣ.**

---

# DE
# SPECIALIBUS LEGIBUS
## QUAE
## REFERUNTUR AD DUO DECALOGI CAPITA,

**SEXTUM SEPTIMUMQUE: CONTRA MOECHOS OMNESQUE LIBIDINOSOS ET CONTRA HOMICIDAS OMNEMQUE VIOLENTIAM.**

**LIB. III.**

---

[Mang. II, 299.]

*Auctor de se suisque studiis praefatus.*

1. Ἦν ποτε χρόνος, ὅτε φιλοσοφίᾳ σχολάζων καὶ θεωρίᾳ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, τὸν καλὸν καὶ περιπόθητον καὶ μακάριον ὄντως νοῦν ἐκαρπούμην, ἀεὶ θείοις λογίοις συγκινούμενος καὶ δόγμασιν, ὧν ἀπλήστως καὶ ἀκορέστως ἔχων ἐνευφραινόμην, οὐδὲν ταπεινὸν φρονῶν ἢ χαμαίζηλον, οὐδὲ περὶ δόξαν ἢ πλοῦτον ἢ τὰς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σώματος εὐπαθείας ἰλυσπώμενος, ἀλλ' ἄνω μετάρσιος ἐδόκουν ἀεὶ φέρεσθαι κατά τινα τῆς ψυχῆς ἐπιθειασμόν, καὶ συμπεριπολεῖν ἡλίῳ καὶ σελήνῃ καὶ τῷ παντὶ οὐρανῷ τε καὶ κόσμῳ. Τότε δὴ οὖν τότε διακύπτων ἄνωθεν ἀπ' αἰθέρος καὶ τείνων ὥσπερ ἀπὸ σκοπιῆς τὸ τῆς διανοίας ὄμμα, κατεθεώμην τὰς ἀμυθήτους θεωρίας τῶν ἐπὶ γῆς ἁπάντων, καὶ εὐδαιμόνιζον ἐμαυτὸν ὡς ἀνὰ κράτος ἐκπεφευγότα τὰς ἐν τῷ θνητῷ βίῳ κακὰς κῆρας. [*] Ἐφήδρευε δὲ ἄρα μοι τὸ κακῶν ἀργαλεώτατον, ὁ μισόκαλος φθόνος, ὃς ἐξαπιναίως ἐπιπεσὼν οὐ πρότερον ἐπαύσατο καθέλκων πρὸς βίαν ἢ με καταβαλεῖν εἰς μέγα πέλαγος τῶν ἐν πολιτείᾳ φροντίδων, ἐν ᾧ φορούμενος οὐδ' ὅσον ἀνανήξασθαι δύναμαι. Στένων δὲ ὅμως ἀντέχω, τὸν ἐκ πρώτης ἡλικίας ἐνιδρυμένον τῇ ψυχῇ παιδείας ἵμερον ἔχων, ὃς ἔλεόν μου καὶ οἶκτον ἀεὶ λαμβάνων ἀνεγείρει καὶ ἀνακουφίζει. Διὰ τοῦτον ἔστιν ὅτε τὴν κεφαλὴν ἐπαίρω καὶ τοῖς τῆς ψυχῆς ὄμμασιν ἀμυδροῖς μέν — τὸ ὀξυδερκὲς γὰρ αὐτῶν ἡ τῶν ἀλλοκότων πραγμάτων ἀχλὺς ἐπεσκίασεν —, ἀλλ' ἀναγκαίως γοῦν περιβλέπομαι τὰ ἐν κύκλῳ, καθαρᾶς καὶ ἀμιγοῦς κακῶν ζωῆς σπάσαι γλιχόμενος. Εἰ δέ μοι καὶ ἐξ ἀπροσδοκήτου βραχεῖα γένοιτο εὐδία καὶ γαλήνη θορύβων τῶν ἐκ πολιτείας, ὑπόπτερος ἐπικυματίζω, μόνον οὐκ ἀεροποβατῶν, αὔραις ταῖς ἐπιστήμης καταπνεόμενος, ἣ με πολλάκις ἀναπείθει δραπετεύειν, συνημερεύοντα αὐτῇ, καθάπερ ἀπὸ δεσποτῶν ἀμειλίκτων, οὐκ ἀνθρώπων μόνον, ἀλλὰ καὶ πραγμάτων ἀλλαχόθεν ἄλλων χειμάρρου τρόπον ἐπιχεομένων. Ἀλλὰ γὰρ καὶ ἐπὶ τούτοις θεῷ προσῆκον εὐχαριστεῖν, ὅτι, καίτοι κατακλυζόμενος, οὐκ ἐγκαταπίνομαι βύθιος. Ἀλλὰ καὶ τοὺς τῆς ψυχῆς ὀφθαλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μούς, οὓς ἀπογνώσει τινὲς χρηστῆς ἐλπίδος ᾠήθησαν *) ἤδη πεπηρῶσθαι, διοίγω καὶ φωτὶ σοφίας ἐναυγάζομαι, μὴ πάντα τὸν βίον τῷ σκότῳ παραδοθείς. Ἰδού γέ τοι τολμῶ μὴ μόνον τοῖς ἱεροῖς Μωσέως ἑρμηνεύμασιν ἐντυγχάνειν, ἀλλὰ καὶ φιλεπιστημόνως διακύπτειν εἰς ἕκαστον, καὶ ὅσα μὴ γνώριμα τοῖς πολλοῖς διαφυλάττειν καὶ ἀναφαίνειν †σκοπεῖν†.

*Praeceptum „non moechaberis" cur secundae tabulae primum.*

2. Ἐπεὶ δὲ περὶ δέκα λογίων, ἅπερ αὐτὸς ἔχρησεν ὁ θεὸς ἄνευ προφήτου καὶ ἑρμηνέως, πέντε μὲν εἴρηται, τὰ χαραχθέντα ἐν τῇ προτέρᾳ δέλτῳ, καὶ ὅσα τῶν κατὰ μέρος συνέτεινεν εἰς ταῦτα, δεῖ ἐν τῷ παρόντι καὶ τὰ λοιπὰ τὰ κατὰ τὴν ἑτέραν δέλτον ὡς οἷόν τε ἄριστα συνυφῆναι. Πειράσομαι πάλιν καθ' ἕκαστον τῶν γενῶν ἐφαρμόζειν τοὺς ἐν εἴδει νόμους. Ἐν δὲ τῇ δευτέρᾳ δέλτῳ πρῶτον γράμμα τοῦτό ἐστιν· „Οὐ μοιχεύσεις", ὅτι, οἶμαι, πανταχοῦ τῆς οἰκουμένης μέγα πνεῖ ἡδονὴ καὶ οὐδὲν μέρος τὴν δυναστείαν αὐτῆς ἐκπέφευγεν, οὐ τῶν κατὰ γῆν, οὐ τῶν κατὰ θάλατταν, οὐ τῶν ἐν ἀέρι. Χερσαῖά τε γὰρ καὶ πτηνὰ καὶ ἔνυδρα πάντα διὰ πάντων γέγηθε [*] καὶ περιέπει καὶ τοῖς ἐπιτάγμασιν αὐτῆς ὑπείκει, καὶ πρὸς τὸ βλέμμα καὶ νεῦμα ἀφορῶντα, κἂν εἰ φρυάττοιτο ὑπ' ἀλαζονείας, ἀσμενίζοντα, καὶ μόνον οὐ φθάνοντα τὰς προστάξεις ὀξύτητι καὶ ἀνυπερθέτῳ τάχει τῶν ὑπηρεσιῶν. Ἔχει μὲν οὖν καὶ ἡ κατὰ φύσιν ἡδονὴ πολλάκις μέμψιν, ὅταν ἀμέτρως καὶ ἀκορέστως

(*) Mang. mavult: τινὸς χρ. ἐλπ. ᾠήθην ἂν κτλ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρῆταί τις αὐτῇ, καθάπερ οἱ ἄπληστοι περὶ ἐδωδὴν καὶ ἂν εἰ μηδὲν τῶν ἀπηγορευμένων προςφέροιντο, καὶ οἱ φιλογυναίοις συνουσίαις ἐπιμεμηνότες, καὶ λαγνίστερον προςομιλοῦντες γυναιξὶν οὐκ ἀλλοτρίαις, ἀλλὰ ταῖς ἑαυτῶν. Ἡ δὲ μέμψις σώματός ἐστι μᾶλλον ἢ ψυχῆς κατὰ τοὺς πολλούς, πολλὴν μὲν ἔχοντος εἴσω φλόγα, ἣ τὴν παραβληθεῖσαν τροφὴν ἐξαναλίσκουσα ἑτέραν οὐκ εἰς μακρὰν ἐπιζητεῖ[, διὰ] πολλὴν ἰκμάδα, ἧς τὸ ῥοῶδες διὰ τῶν γεννητικῶν ἀποχετεύεται, κνησμοὺς καὶ ὀδαξισμοὺς ἐμποιοῦν καὶ γαργαλισμοὺς ἀπαύστους. Τοὺς δὲ γυναιξὶν ἄλλων καὶ ἔστιν ὅτε οἰκείων καὶ φίλων ἐπιμεμηνότας καὶ ἐπὶ λύμῃ τῶν πλησίων ζῶντας, ὅλα γένη πολυάνθρωπα κιβδηλεύειν ἐπιχειροῦντας, καὶ τὰς μὲν ἐπιγαμίους εὐχὰς παλιμφήμους, τὰς δὲ ἐπὶ τέκνοις ἐλπίδας ἀτελεῖς ἀπεργαζομένους, ἀνίατον νόσον ψυχῆς νοσοῦντας, ὡς κοινοὺς ἐχθροὺς ἅπαντος ἀνθρώπων γένους κολαστέον θανάτῳ, ὡς μήτε ζῶντες ἐν ἀδείᾳ πλείους διαφθείρωσιν οἴκους, μηδὲ διδάσκαλοι γένοιντο ἑτέρων, οἷς τὰ πονηρὰ τῶν ἐπιτηδευμάτων ζηλοῦν ἐπιμελές.

*Leges speciales ex illa summa fluentes: de non ducenda matre.*

3. Εὖ μέντοι καὶ τὰ ἄλλα τὰ περὶ τὰς ὁμιλίας ὁ νόμος διετάξατο. Κελεύει γὰρ οὐ μόνον ἀλλοτρίων ἀπέχεσθαι γυναικῶν, ἀλλὰ καὶ *ἀγχιστευουσῶν*, αἷς οὐ θέμις συνέρχεσθαι. Τὸ Περσικὸν ἔθος εὐθὺς ἀποστραφεὶς καὶ μυσαξάμενος ἀπεῖπεν ὡς μέγιστον ἀνοσιούργημα. Μητέρας γὰρ αὐτῶν οἱ ἐν τέλει Περσῶν ἄγονται, καὶ τοὺς φύντας ἐκ τούτων εὐγενεστάτους νομίζου-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σιν καὶ βασιλείας τῆς μεγίστης, ὡς λόγος, ἀξιοῦσιν. Οὗ τί ἂν γένοιτο δυσσεβέστερον ἀνοσιούργημα, πατρὸς εὐνὴν τετελευτηκότος, ἣν ἀπόρρητον ὡς ἱερὰν ἐχρῆν φυλάττεσθαι, καταισχύνειν, γῆρας δὲ καὶ μητρὸς αἰδῶ μὴ λαμβάνειν, τὸν αὐτὸν τῆς αὐτῆς υἱὸν καὶ ἄνδρα γενέσθαι καὶ πάλιν τὴν αὐτὴν τοῦ αὐτοῦ μητέρα καὶ γυναῖκα, καὶ τοὺς ἀμφοῖν παῖδας, τοὺς μὲν πατρὸς ἀδελφούς, υἱωνοὺς δὲ τῆς μητρός, καὶ τὴν μὲν ὡς ἔοικε μητέρα τε καὶ μάμμην, τὸν δὲ ὡς ἐγέννησεν ἐν ταὐτῷ πατέρα τε καὶ ὁμομήτριον ἀδελφόν; Τοῦτο ἐπράχθη τὸ παλαιὸν καὶ παρ' Ἕλλησιν ἐν Θήβαις ἐπὶ τοῦ Λαΐου παιδὸς Οἰδίποδος, καὶ ἐπράχθη κατὰ ἄγνοιαν, [*] οὐχ ἑκουσίῳ γνώμῃ, καὶ ὅμως τοσαύτην φορὰν κακῶν ἤνεγκεν ὁ γάμος, ὡς μηδὲν ἐλλειφθῆναι τῶν εἰς τὴν ἀνωτάτω κακοδαιμονίαν. Πόλεμοί τε γὰρ ἐμφύλιοι καὶ ξενικοὶ διαδοχαὶ καθάπερ κλῆροι καὶ ἐγγόνοις παρὰ πατέρων καὶ προγόνων ἀπελείποντο, καὶ πορθήσεις πόλεων τῶν ἐν τῇ Ἑλλάδι μεγίστων ἐγίνοντο, καὶ φθοραὶ στρατιωτικῶν δυνάμεων, ἐγχωρίων τε καὶ τῶν κατὰ συμμαχίαν ἀφικνουμένων, καὶ ἡγεμόνων τῶν παρ' ἑκατέροις ἀρίστων ἐπάλληλοι φθοραί, καὶ διὰ τὰς περὶ κράτους καὶ ἀρχῆς ἀσυμβάτους ἔχθρας ἀδελφοκτονίαι, δι' ἃς οὐ μόνον αἱ συγγένειαι καὶ πατρίδες, ἀλλὰ καὶ ἡ πλείστη μοῖρα τοῦ Ἑλληνικοῦ γένους ἐξεφθάρη καταλυθεῖσα. Κεναὶ γὰρ αἱ πρότερον εὐανδροῦσαι πόλεις οἰκητόρων μνημεῖα τῶν τῆς Ἑλλάδος συμφορῶν ὑπελείφθησαν, ἀτυχὴς θέα τοῖς ὁρῶσιν. Οὐ μὴν οὐδὲ Πέρσαι παρ' οἷς ταῦτα ἐπιτηδεύεται, τῶν παραπλησίων κακῶν ἀμοιροῦσιν. Καὶ γὰρ ἐν στρατείαις καὶ μάχαις εἰσὶ κτείνοντες καὶ κτεινόμενοι, καὶ τοτὲ μὲν τοὺς πλησιοχώρους κατατρέχοντες, τοτὲ δὲ τοὺς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπανισταμένους ἀμυνόμενοι. Πολλοὶ δὲ πολλαχόθεν ἐπανίστανται, τοῦ βαρβαρικοῦ μὴ πεφυκότος ἠρεμεῖν. Πρὶν οὖν καταλυθῆναι τὴν ἐν χερσὶ στάσιν, ἑτέρα φύεται, ὡς μηδένα τοῦ ἔτους ὑπεξῃρῆσθαι καιρὸν εἰς ἡσυχίαν, ἀλλὰ καὶ θέρους καὶ χειμῶνος καὶ μεθ' ἡμέραν καὶ νύκτωρ ὁπλοφορεῖν, πλείονα χρόνον ἐν τοῖς στρατοπέδοις ἐν ὑπαίθρῳ ταλαιπωροῦντας ἢ ἐν ταῖς πόλεσιν οἰκοῦντας, διὰ πολλὴν ἔνδειαν εἰρήνης. Ἐῶ λέγειν τὰς τῶν βασιλέων μεγάλας καὶ ὑπερόγκους εὐπραγίας, οἷς ἀγώνισμα πρῶτον εὐθὺς ἅμα τῇ παραλήψει τῆς ἡγεμονίας τὸ μέγιστον ἄγος, ἀδελφοκτονία, μαντευομένων τὴν ἐκ τῶν ἀδελφῶν, οὐ γενησομένην ἴσως, ἐπίθεσιν, ὑπὲρ τοῦ δοκεῖν εὐλόγως κτείνειν. Ἅπερ μοι δοκεῖ πάντα συμβαίνειν διὰ τὰς ἀναρμόστους υἱῶν πρὸς μητέρας ὁμιλίας, τῆς ἐφόρου τῶν ἀνθρωπείων δίκης ἀμυνομένης τῶν ἀνοσιουργημάτων τοὺς ἀσεβοῦντας. Ἀσεβοῦσι γὰρ οὐχ οἱ δρῶντες μόνοι, ἀλλὰ καὶ ὅσοι τοῖς δρῶσιν ἑκουσίῳ γνώμῃ σὺν τῇ τῶν δρώντων ἐξουσίᾳ συνεπιγράφονται. Τοσαύτην δὲ ὁ ἡμέτερος νόμος φυλακὴν πεποίηται τοῦ πράγματος, ὥστ' οὐδὲ προγόνῳ τελευτήσαντος πατρὸς ἄγεσθαι μητρυιὰν ἐφῆκε, διά τε τὴν εἰς τὸν πατέρα τιμὴν καὶ διότι μητρυιᾶς καὶ μητρὸς ὄνομα συγγενές, εἰ καὶ μὴ τὸ τῆς ψυχῆς συνῳδὸν πάθος. Ὁ γὰρ ἀλλοτρίας ἀπέχεσθαι διδαχθείς, ὅτι μητρυιὰ προσερρήθη, πολὺ μᾶλλον ἀφέξεται τῆς φύσει μητρός· καὶ εἴ τις διὰ τὴν ἐπὶ τῷ πατρὶ μνήμην αἰδεῖται τὴν ἐκείνου [*] ποτὲ γενομένην γυναῖκα, δῆλός ἐστιν ἕνεκα τῆς εἰς ἀμφοτέρους τοὺς γονεῖς τιμῆς οὐδὲν βουλευσόμενος ἐπὶ τῇ μητρὶ νεώτερον, ἐπεὶ καὶ σφόδρα ἐστὶν εὔηθες, ἡμίσει μέρει τοῦ γένους χαριζόμενον ὀλιγωρεῖν δοκεῖν ὁλοκλήρου καὶ παντελοῦς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*De non ducenda sorore.*

4. Ἑξῆς ἐστὶ παράγγελμα, μηδ᾽ ἀδελφὴν ἐγγυᾶσθαι, πάνυ σπουδαῖον καὶ συντεῖνον εἰς ἐγκράτειαν ὁμοῦ καὶ εὐκοσμίαν. Ὁ μὲν οὖν Ἀθηναῖος Σόλων ὁμοπατρίους ἐφιεὶς ἄγεσθαι τὰς ὁμομητρίους ἐκώλυσεν· ὁ δὲ Λακεδαιμονίων νομοθέτης ἔμπαλιν, τὸν ἐπὶ ταῖς ὁμογαστρίοις γάμον ἐπιτρέψας τὸν πρὸς τὰς ὁμοπατρίους ἀπεῖπεν. Ὁ δὲ τῶν Αἰγυπτίων, χλευάζων τὴν ἑκατέρων εὐλάβειαν ὡς ἡμίεργα διατattομένων, εὐφόρησεν εἰς ἀσέλγειαν, ἐπιδαψιλευόμενος δυςθεράπευτον κακὸν σώμασι καὶ ψυχαῖς, ἀκρασίαν, καὶ παρασχὼν ἄδειαν ἁπάσας ἀδελφὰς ἄγεσθαι, τάς τε ἰδίας τοῦ ἑτέρου τῶν γονέων, τοῦδε ἢ τοῦδε, καὶ τὰς ἐξ ἀμφοῖν, καὶ τὰς οὐ νεωτέρας μόνον, ἀλλὰ καὶ πρεσβυτέρας καὶ ἰσήλικας. Καὶ δίδυμοι γὰρ πολλάκις ἐγεννήθησαν, οὓς ἡ μὲν φύσις ἅμα τῇ γενέσει διήρτησε καὶ διέζευξεν, ἡ δὲ ἀκολασία καὶ φιληδονία εἰς κοινωνίαν ἐκάλεσεν ἀκοινώνητον καὶ ἁρμονίαν ἀνάρμοστον. Ἅπερ ἐκμυσαξάμενος ὁ ἱερώτατος Μωσῆς, ὡς ἀλλότρια καὶ ἐχθρὰ πολιτείας ἀνεπιλήπτου, καὶ προτρέποντα καὶ ἀλείφοντα πρὸς τὰ αἴσχιστα τῶν ἐπιτηδευμάτων, ἀνὰ κράτος ἀπεῖπεν ἀδελφῇ συνέρχεσθαι, εἴτε καὶ ἐξ ἀμφοῖν, εἴτε καὶ μόνου γένοιτο τοῦ ἑτέρου. Τί γὰρ δεῖ τὸ τῆς αἰδοῦς κάλλος αἰσχύνειν; Τί δὲ ἀχρωμάτους κατασκευάζειν παρθένους, ἃς ἐρυθριᾶν ἀναγκαῖον; Τί δὲ τὰς πρὸς τοὺς ἄλλους ἀνθρώπους κοινωνίας καὶ ἐπιμιξίας ἐπέχειν, εἰς βραχὺ χωρίον τὸ ἑκάστης οἰκίας συνωθοῦντας μέγα καὶ λαμπρὸν ἔργον, ἐκτείνεσθαι καὶ χεῖσθαι δυνάμενον εἰς ἠπείρους καὶ νήσους καὶ τὴν οἰκουμένην πᾶσαν; Αἱ γὰρ τῶν ὀθνείων ἐπιγαμίαι καινὰς ἀπεργάζονται συγγενείας, τῶν ἀφ᾽ αἵματος ἀποδεούσας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*De aliis nuptiis prohibitis.*

5. Ὧν χάριν πολλὰς καὶ ἄλλας ὁμιλίας ἐκώλυσε, προστάξας μὴ θυγατριδῆν, μὴ υἱϊδῆν, μὴ τηθίδα πρὸς πατρὸς ἢ μητρός, μὴ θείου ἢ υἱοῦ ἢ ἀδελφοῦ γυναῖκα γενομένην ἐγγυᾶσθαι, μηδ᾽ αὖ προγονὴν ἢ χήραν ἢ παρθένον ζώσης μὲν τῆς γυναικὸς ἐπάγεσθαι, ἀλλὰ μηδ᾽ ἀποθανούσης· δυνάμει γάρ ὅ γε πατρῷος πατὴρ ὀφείλει τὴν ἐκ τῆς γυναικὸς ἐν τάξει θυγατρὸς τίθεσθαι. Πάλιν δύο ἀδελφὰς ἄγεσθαι τὸν αὐτὸν οὐκ ἐπιτρέπει, οὔτ᾽ ἐν τῷ αὐτῷ, [*] οὔτ᾽ ἐν διαφέρουσι χρόνοις, καὶ ἂν τύχῃ τις ἣν προέγημεν ἀπεωσμένος. Ζώσης γὰρ ἔτι τῆς συνοικούσης εἴτε καὶ ἀπηλλαγμένης, ἐάν τε χηρεύσῃ, ἐάν τε καὶ ἑτέρῳ γαμηθῇ, τὴν ἀδελφὴν οὐχ ὅσιον ὑπέλαβεν ἐπὶ τὰ τῆς ἠτυχηκυίας παρέρχεσθαι, προδιδάσκων ταύτας τὰ συγγενικὰ δίκαια μὴ λύειν, μηδ᾽ ἐπιβαίνειν πταίσμασι τῆς οὕτως ἡνωμένης κατὰ γένος, μηδ᾽ ἐναβρύνεσθαι καὶ ἐντρυφᾶν θεραπευομένην ὑπὸ τῶν ἐχθρῶν ἐκείνης, καὶ ἀντιθεραπεύουσαν αὐτούς. Ἐγείρονται γὰρ ἐκ τούτων χαλεπαὶ ζηλοτυπίαι καὶ δυςπαρηγόρητοι φιλονεικίαι, φορὰς ἀμυθήτους ἄγουσαι κακῶν. Ὁμοίως γάρ, ὡς εἰ καὶ τὰ μέρη τοῦ σώματος τῆς κατὰ φύσιν ἁρμονίας ἐκστάντα καὶ κοινωνίας στασιάζοι πρὸς ἄλληλα, ἃ νόσους ἀνιάτους ἀπεργάζεται πάντως καὶ φθοράς· ἀδελφὰ δέ, εἰ καὶ διαίρετα τὰ μέρη γεγόνασιν, ἀλλ᾽ οὖν ἁρμόζονται καὶ ἑνοῦνται συγγενείᾳ μιᾷ· ἡ δὲ ζηλοτυπία, πάθος ἀργαλεώτατον, χαλεπὰ καινουργεῖ κακὰ καὶ δυςίατα. Ἀλλὰ μηδὲ ἀλλοεθνεῖ, φησί, κοινωνίαν γάμου συντίθεσο, μήποτε μαχομένοις ἔθεσιν ὑπαχθεὶς ἐνδῷς καὶ τῆς πρὸς εὐσέβειαν ὁδοῦ λάθῃς διαμαρτών, πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνοδίαν ἐκτραπείς. *Καὶ τάχα μὲν αὐτὸς ἀνθέξεις*, ἐκ πρώτης ἡλικίας ἠρτημένος ὑποθήκαις ἀρίσταις, ἃς οἱ γονεῖς κατεπᾴδοντες ἀεὶ τοὺς ἱεροὺς νόμους ὑφηγοῦντο· δέος δὲ οὐ μικρόν ἐστι περὶ υἱῶν καὶ θυγατέρων, ἴσως γὰρ δελεασθέντες νόθοις πρὸ γνησίων ἔθεσι κινδυνεύσουσι τὴν τοῦ ἑνὸς θεοῦ ἀπομαθεῖν τιμήν, ὅπερ ἐστὶν ἀρχὴ καὶ τέλος τῆς ἀνωτάτω βαρυδαιμονίας. Ἐὰν δέ, φησίν, ἀνδρὸς ἀπαλλαγεῖσα γυνὴ καθ' ἣν ἂν τύχῃ πρόφασιν, ἑτέρῳ γημαμένη πάλιν χηρεύσῃ, ζῶντος ἢ καὶ τετελευτηκότος τοῦ δευτέρου, μὴ ἐπανίτω πρὸς ἄνδρα τὸν πρότερον· ἀλλὰ πᾶσι τοῖς ἄλλοις ἔνσπονδος μᾶλλον ἢ τῷδε γινέσθω, θεσμοὺς παραβᾶσα τοὺς ἀρχαίους, ὧν ἐξελάθετο, φίλτρα καινὰ πρὸ τῶν παλαιῶν ἑλομένη. Πρὸς δὲ συμβάσεις εἴ τις ἐθέλοι χωρεῖν ἀνὴρ τῇ τοιαύτῃ γυναικί, μαλακίας καὶ ἀνανδρίας ἐκφερέσθω δόξαν, ὡς ἐκτετμημένος τῆς ψυχῆς τὸ βιωφελέστατον, μισοπόνηρον πάθος, ὑφ' οὗ καὶ τὰ οἴκων καὶ πόλεων πράγματα κατορθοῦται, καὶ δύο τὰ μέγιστα τῶν ἀδικημάτων εὐφυῶς ἀπομαξάμενος, μοιχείαν τε καὶ προαγωγίαν. Αἱ γὰρ αὖθις καταλλαγαὶ μηνύματά εἰσι τοῦ ἑκατέρων θανάτου. Δίκην οὖν τινέτω σὺν τῇ γυναικί.

*Cum mulieribus menstruis et sterilibus res non habenda.*

6. [*] Φορὰ τῶν μηνιαίων ὁπότε γένοιτο, μὴ ψαυέτω τῆς γυναικὸς ὁ ἀνήρ, ἀλλὰ τὸν χρόνον ἐκεῖνον ὁμιλίας ἀνεχέσθω, νόμον φύσεως αἰδούμενος. Καὶ ἅμα διδασκέσθω, μὴ ἀτελεῖς γονὰς ἀκαίρου καὶ ἀμούσου χάριν ἡδονῆς προΐεσθαι· ὅμοιον γὰρ ὡς εἴ τις γεωπόνος ὑπὸ μέθης ἢ φρενοβλαβείας πυροὺς ἢ κριθὰς εἰς λίμνας καὶ χειμάρρους ἀντὶ πεδίων κατασπείροι, ξηραῖς γὰρ γενο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέναις ταῖς ἀρούραις καταβάλλεσθαι χρὴ τὸν σπόρον εἰς εὐκαρπίαν. Καθαίρει δὲ ἡ φύσις ἑκάστῳ μηνὶ τὴν μήτραν, οἷά τινα θαυμαστὴν ἄρουραν, ἧς τὸν καιρὸν ἀγαθοῦ γεωργοῦ τρόπον ἐπιτηρητέον, ἵνα ἔτι μὲν ἐπικλυζομένης ἐπέχοι τὸν σπόρον· λήσεται γὰρ ἡ σπορὰ κατασυρεῖσα ὑπὸ τῆς ὑγρότητος, τοὺς *σπερματικοὺς* τόνους οὐ χαλασθεῖσα μόνον, ἀλλὰ καὶ εἰς ἅπαν ἐκλυθεῖσα· οὗτοι δέ εἰσιν οἱ ἐν τῇ μήτρᾳ τῷ τῆς φύσεως ἐργαστηρίῳ ζωοπλαστοῦντες, καὶ τῶν μερῶν ἕκαστα σώματός τε καὶ ψυχῆς ἀκρότητι τέχνης τελεσιουργοῦντες. Εἰ δὲ ἐπίσχοι τὰ μηνιαῖα, θαῤῥῶν ἤδη γόνιμα καταπείροι, μηκέτι φθορὰν τῶν καταβληθησομένων δεδιώς. Ὀνειδιστέον καὶ τοῖς σκληρὰν καὶ λιθώδη γῆν ἀροῦσιν· οὗτοι δὲ τίνες ἂν εἶεν ἢ οἱ στείραις συνερχόμενοι γυναιξί; Θηραταὶ γὰρ οὗτοι μόνον ἡδονῆς ἀκράτορος, ὅσοι λαγνίστατοι τὰς γονὰς ἑκουσίῳ γνώμῃ διαφθείρουσιν· ἐπεὶ τίνος ἄλλου χάριν ἐγγυῶνται τὰς τοιαύτας; Οὐ μὴν δι' ἐλπίδα τέκνων, ἣν ἴσασιν ἐξ ἀνάγκης ἀτελῆ γενησομένην, ἀλλὰ δι' ὑπερβάλλοντα οἶστρον καὶ ἀκρασίαν ἀνίατον. Ὅσοι μὲν οὖν ἄγονται κόρας ἀγνοίᾳ τοῦ πῶς ἔχουσιν εὐθὺς εὐτοκίας ἢ τὸ ἐναντίον, ὁπότε χρόνῳ μακρῷ ὕστερον ἐκ τῆς ἀγονίας αἰσθανόμενοι στείρας αὐτὰς μὴ ἀποπέμπωνται, συγγνώμης εἰσὶν ἄξιοι, συνηθείας, βιαστικωτάτου πράγματος, ἡττώμενοι καὶ φίλτρα ἀρχαῖα μακρᾷ συμβιώσει ταῖς ψυχαῖς ἐνεσφραγισμένα λύειν ἀδυνατοῦντες. Ὅσοι δὲ προδεδοκιμασμένας ἑτέροις ἀνδράσιν ὡς εἰσὶν ἄγονοι μνῶνται, συῶν τρόπον ἢ τράγων ὀχεύοντες αὐτὸ μόνον ἐν ἀσεβῶν στήλαις ἐγγραφέσθωσαν, ὡς ἀντίπαλοι θεοῦ. Τῷ μὲν γὰρ ἅτε φιλοζώῳ καὶ φιλανθρώπῳ δι' ἐπιμελείας τῆς πάσης ἐστὶ σωτηρίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μονὴν τοῖς γένεσιν ἅπασιν ἐργάζεσθαι· οἱ δὲ ἅμα τῇ καταβολῇ σβέσιν τοῖς σπέρμασι τεχνάζοντες ἐχθροὶ τῆς φύσεως ὁμολογουμένως εἰσίν.

*Contra puerorum amorem.*

7. Ἐπειςκεκώμακε δὲ ταῖς πόλεσιν ἕτερον πολὺ τοῦ λεχθέντος μεῖζον κακόν, τὸ παιδεραστεῖν, ὃ πρότερον μὲν καὶ λεχθῆναι μέγα ὄνειδος ἦν, νυνὶ δέ ἐστιν αὔχημα οὐ τοῖς δρῶσι μόνον, ἀλλὰ καὶ [*] τοῖς πάσχουσιν, οἳ νόσον θήλειαν νοσεῖν ἐθιζόμενοι τάς τε ψυχὰς καὶ τὰ σώματα διαῤῥέουσι, μηδὲν ἐμπύρευμα τῆς ἄῤῥενος γενεᾶς ἐῶντες ὑποτύφεσθαι, περιφανῶς οὕτως τὰς τῆς κεφαλῆς τρίχας ἀναπλεκόμενοι καὶ διακοσμούμενοι, καὶ ψιμμυθίῳ καὶ φύκεσι καὶ τοῖς ὁμοιοτρόποις τὰς ὄψεις τριβόμενοι καὶ ὑπογραφόμενοι, καὶ εὐώδεσι μύροις λίπα χριόμενοι — προςαγωγὸν γὰρ μάλιστα ἐν τοῖς τοιούτοις τὸ εὐῶδες — ἐν ἅπασι τοῖς εἰς εὐκοσμίαν *ἠσκημένοι* καὶ τὴν ἄῤῥενα φύσιν ἐπιτηδεύσει τεχνάζοντες εἰς θήλειαν μεταβάλλειν οὐκ ἐρυθριῶσι. Καθ' ὧν φονᾶν ἄξιον νόμῳ πειθαρχοῦντας, ὅς κελεύει τὸν ἀνδρόγυνον τὰ φύσεως νόμισμα παρακόπτοντα νηποινεὶ τεθνάναι, μηδεμίαν ἡμέραν, ἀλλὰ μηδ' ὥραν ἐώμενον ζῆν, ὄνειδος αὑτοῦ καὶ οἰκίας καὶ πατρίδος ὄντα καὶ τοῦ σύμπαντος ἀνθρώπων γένους. Ὁ δὲ παιδεραστὴς ἴστω τὴν αὐτὴν δίκην ὑπομένων, ἐπειδὴ τὴν παρὰ φύσιν ἡδονὴν διώκει καὶ τὰς πόλεις, τό γε ἐπ' αὐτὸν ἧκον μέρος, ἐρήμους καὶ κενὰς ἀποδείκνυσιν οἰκητόρων, διαφθείρων τὰς γονάς, καὶ προςέτι τῶν μεγίστων κακῶν, ἀνανδρίας καὶ μαλακίας, ὑφηγητὴς καὶ διδάσκαλος ἀξιοῖ γίνεσθαι, τοὺς νέους ὡραΐζων καὶ τὸ τῆς ἀκμῆς ἄνθος ἐκθηλύνων, ὃ πρὸς ἀλκὴν καὶ ῥώμην

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλείφειν ἁρμόττον ἦν, καὶ τελευταῖον ὅτι κακοῦ τρόπον γεωργοῦ τὰς μὲν βαθυγείους καὶ εὐκάρπους ἀρούρας χερσεύειν ἐᾷ μηχανώμενος ἐπ᾽ αὐταῖς ἀγονίαν, ἐξ ὧν δὲ οὐδὲν βλάστημα προςδοκᾶται τὸ παράπαν, εἰς ταῦτα πονεῖται καθ᾽ ἡμέραν καὶ νύκτωρ. Αἴτιον δὲ οἶμαι τὸ παρὰ πολλοῖς τῶν δήμων ἀκρασίας καὶ μαλακίας ἆθλα κεῖσθαι. Τοὺς γοῦν ἀνδρογύνους ἰδεῖν ἔστι διὰ πληθούσης ἀγορᾶς ἀεὶ σοβοῦντας, καὶ ἐν ταῖς ἑορταῖς προπομπεύοντας, καὶ τὰ ἱερὰ τοὺς ἀνιέρους διειληχότας, καὶ μυστηρίων καὶ τελετῶν κατάρχοντας, καὶ τὰ Δήμητρος ὀργιάζοντας. Ὅσοι δὲ αὐτῶν τὴν καλὴν νεανιείαν προςεπιτείναντες εἰς ἅπαν ὠρέχθησαν μεταβολῆς τῆς εἰς γυναῖκας, τὰ γεννητικὰ προςαπέκοψαν, ἁλουργίδας ἀμπεχόμενοι, καθάπερ οἱ μεγάλων ἀγαθῶν αἴτιοι ταῖς πατρίσι, προέρχονται δορυφορούμενοι, τοὺς ὑπαντῶντας ἐπιστρέφοντες. Εἰ δὲ ἦν ἀγανάκτησις, οἵα παρὰ τῷ ἡμετέρῳ νομοθέτῃ, κατὰ τῶν τὰ τοιαῦτα τολμώντων, καὶ ὡς κοινὰ τῶν πατρίδων ἄγη καὶ μιάσματα δίχα συγγνώμης ἀνῃροῦντο, πολλοὺς ἂν ἑτέρους νουθετεῖσθαι συνέβαινεν· αἱ γὰρ τῶν προκαταγνωσθέντων τιμωρίαι ἀπαραίτητοι ἀνακοπὴν οὐ βραχεῖαν ἐργάζονται τοῖς ζηλωταῖς τῶν ὁμοίων ἐπιτηδευμάτων.

*Contra coitum cum animalibus.*

8. [*] Ἀλλὰ γάρ ἔνιοι τὰς Συβαριτῶν καὶ τὰς τῶν ἔτι λαγνιστέρων ἐπιθυμίας ζηλώσαντες τὸ μὲν πρῶτον ὀψοφαγίαις καὶ οἰνοφλυγίαις καὶ ταῖς ἄλλαις ταῖς γαστρὸς καὶ μετὰ γαστέρα ἡδοναῖς ἐνησκήθησαν, εἶτα κορεσθέντες ἐξύβρισαν — ὕβριν δὲ κόρος γεννᾶν πέφυκεν —, ὡς ὑπὸ φρενοβλαβείας λυττᾶν καὶ ἐπιμεμηνέναι μηκέτι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἀνθρώποις, εἴτ' ἄῤῥεσιν εἴτε θηλείαις, ἀλλὰ καὶ ἀλόγοις ζώοις. Ὥςπερ ἐν Κρήτῃ φασὶ τὸ παλαιὸν τὴν γυναῖκα Μίνω τοῦ βασιλέως, ὄνομα Πασιφάην, ταύρου ἐρασθεῖσαν, καὶ τῷ πάθει σφαδάζουσαν ἕνεκα τῆς περὶ τὴν ὁμιλίαν ἀπογνώσεως — ἀποτυγχανόμενος γὰρ ἔρως οὐ μετρίως ἐπιτείνεται — Δαιδάλῳ τὴν κατέχουσαν συμφορὰν ἀνενεγκεῖν, ὃς ἦν τῶν καθ' αὑτὸν ἄριστος δημιουργός· τὸν δὲ πάνυ δεινὸν οἷον ταῖς ἐπινοίαις ὄντα τὰ ἀθήρατα θηρᾶν, δούριον κατασκευάσαι βοῦν, καὶ διὰ τῆς ἑτέρας πλευρᾶς ἐνθεῖναι τὴν Πασιφάην· τὸν δὲ ταῦρον ὁρμήσαντα ὡς ἐπὶ ζῶον συγγενὲς ἐπιβαίνειν· ἐγκύμονα δὲ γενομένην χρόνοις ὕστερον ἀποτεκεῖν μιξόθηρα τὸν καλούμενον Μινώταυρον. Εἰκὸς δὲ καὶ ἄλλας ἔσεσθαι Πασιφάας, ἀχαλινώτων ἐωμένων τῶν παθῶν, καὶ οὐ γυναῖκας μόνον, ἀλλὰ καὶ ἄνδρας ἐπιμανήσεσθαι θηρίοις, ἐξ ὧν γενήσεσθαι τέρατα παλίμφημα, μηνύματα τῆς ἀνθρώπων ὑπερβαλλούσης βδελυρίας· δι' ἣν ἴσως καὶ αἱ τῶν ἀνυπάρκτων καὶ μεμυθευμένων ἀγέννητοι φύσεις Ἱπποκενταύρων καὶ Χιμαιρῶν καὶ τῶν ὁμοιοτρόπων ἔσονται. Τοσοῦτον δὲ ἄρα τὸ προμηθὲς ἐν τοῖς ἱεροῖς νόμοις ἐστίν, ὥςθ', ὑπὲρ τοῦ μηδεμίαν ἔκθεσμον ὁμιλίαν ἀνθρώπους προςίεσθαι, διείρηται μηδὲν ἐᾶν ὑπό τινος ἑτερογενοῦς ὀχεύεσθαι. Τράγον οὐδεὶς ἐάσει ποιμὴν Ἰουδαῖος ἐπιβαίνειν ἀμνάδι, οὐδὲ κριὸν χιμαίρᾳ, οὐδὲ βοῦν ἵππῳ. Εἰ δὲ μή, τίσει δίκας, ὡς φύσεως δόγμα λύων, ἣ τὰ ἀνωτάτω γένη διατηρεῖν ἐπιμελὲς οὐ νενοθευμένα. Τοὺς ὀρεῖς ἔνιοι τῶν ὑποζυγίων ἁπάντων προτιμῶσιν, ἐπειδὴ τὰ σώματα αὐτοῖς πέπηγε καὶ σφόδρα νενεύρωται, καὶ ἐν τοῖς ἱπποφορβίοις καὶ ταῖς ἱπποστάσεσιν ὄνους ὑπερμεγέθεις, οὓς προςαγορεύουσι κηλω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νας, ἀνατρέφουσιν, ἵνα ταῖς θηλείαις ἀναβαίνωσι πώλοις. Αἱ δὲ μικτὸν ζῶον ἀποτίκτουσιν ἡμίονον, ἧς παρὰ φύσιν τὴν γένεσιν εἰδὼς ἀνὰ κράτος ἀπεῖπε Μωσῆς καθολικωτέρᾳ προστάξει, τοῖς ἀνομοίοις γένεσι μὴ ἐφεὶς ὀχεύειν ἢ ὀχεύεσθαι. Προενόησε μὲν οὖν ἀναλόγως τοῦ πρέποντος καὶ ἀκολούθου τῇ φύσει, μακρόθεν δὲ ὡς ἀπὸ σκοπιῆς ἐσωφρόνισεν ἀνθρώπους, ἵνα ἐκ τῶνδε προμαθόντες ἄνδρες ὁμοῦ καὶ γυναῖκες ἀνέχωσιν ὁμιλιῶν ἐκνόμων. Ἐάν τε οὖν ἀνὴρ ὀχεύῃ τετράπουν, ἐάν τε γυνὴ ὑπὸ τετραπόδων ὀχεύηται, θνησκέτωσαν καὶ οἱ ἄνθρωποι καὶ τὰ τετράποδα· οἱ μέν, ὅτι ὑπὲρ τοὺς [*] ὅρους ἀκρασίας αὐτῆς ἤλασαν, εὕρεταὶ γενόμενοι παρηλλαγμένων ἐπιθυμιῶν, καὶ ὅτι ἡδονὰς * ἀηθεστάτας * ἐκαινούργησαν, ὧν καὶ ἡ διήγησις αἰσχίστη· τὰ δέ, ὅτι τοιούτοις ὀνείδεσιν ὑπηρέτησε, καὶ ἵνα μηδὲν ἢ τέκῃ ἢ γεννήσῃ δύςφημον, οἷα εἰκὸς ἐκ τοιούτων μιασμάτων· — ἄλλως τε, οἷς καὶ ἂν βραχὺ μέλει τοῦ πρέποντος, οὐκέτι ἂν χρήσαιντο τοῖς τοιούτοις θρέμμασιν εἰς οὐδεμίαν τῶν περὶ βίον ὑπηρεσίαν, μυσαττόμενοι καὶ ἀποστρεφόμενοι καὶ τὴν ὄψιν αὐτὴν δυςχεραίνοντες, καὶ νομίζοντες ὧν ἂν προσάψαιντο καὶ ἐκεῖνα εὐθὺς ἀκάθαρτα εἶναι· τὰ δὲ μηδαμῇ χρήσιμα τῷ βίῳ οὐ ζῆν εἶναι λυσιτελές, περιττὸν ἄχθος ὄντα γῆς, ὥς εἶπέ τις.

*Contra scortum.*

9. Πάλιν πόρνην κατὰ τὸν ἱερὸν λόγον οὐ παραδέχεται ἡ πολιτεία, κοσμιότητος καὶ αἰδοῦς καὶ σωφροσύνης καὶ τῶν ἄλλων ἀρετῶν ἀλλοτρίαν, ἣ ἀναπίμπλασα τὰς ψυχὰς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν ἀκολασίας· τὸ μὲν τῆς διανοίας ἀθάνατον κάλλος αἰσχύνει, τὴν δὲ τοῦ σώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματος ὀλιγοχρόνιον εὐμορφίαν προτιμᾷ· παραῤῥιπτοῦσα μὲν αὐτὴν τοῖς ἐπιτυχοῦσι, τὴν δὲ ὥραν ὥςπερ τι ὤνιον ἐπ' ἀγορᾶς πιπράσκουσα· ἐπὶ μὲν θήρᾳ τῶν νέων ἕκαστα καὶ λέγει καὶ πράττει, τοὺς δὲ ἐραστὰς ἀλείφει κατ' ἀλλήλων, αἴσχιστον ἆθλον αὐτὴν προτιθεῖσα τοῖς τὸ πλέον εἰςενεγκοῦσιν. Ὡς λύμη οὖν καὶ ζημία καὶ κοινὸν μίασμα καταλευέσθω, τὰς τῆς φύσεως διαφθείρασα χάριτας, ἃς ἥρμοττε καλοκἀγαθίᾳ προςεπικοσμῆσαι.

## Περὶ μοιχαλίδος.

10. **Μοιχείας** δὲ τὰς μὲν αὐτοφώρους ἢ ἐναργέσιν ἐλέγχοις πιστουμένας ἐνθένδε ὑπαιτίους ἀπέφηνεν ὁ νόμος. Τὰς δὲ καθ' ὑπόνοιαν οὐκ ἐδικαίωσεν ἐξετάζεσθαι πρὸς ἀνθρώπων, ἀλλὰ εἰς τὸ τῆς φύσεως ἤγαγε δικαστήριον, ἐπειδήπερ ἄνθρωποι μὲν τῶν ἐμφανῶν ἐπιγνώμονες, θεὸς δὲ καὶ τῶν ἀδήλων, ᾧ μόνῳ δυνατὸν ψυχὴν ἐναργῶς θεάσασθαι. Φησὶν οὖν τῷ ὑπονοήσαντι ἀνδρί (Num. 5, 14 ss.)· Γραψάμενος πρόκλησιν εἰς τὴν ἱερόπολιν ἴθι σὺν τῇ γυναικί, καὶ καταστὰς ἐπὶ τῶν δικαστῶν ἀπογύμνωσον τὸ παραστάν σοι τῆς ὑπονοίας πάθος, μὴ ὡς ἄν τις συκοφάντης ἢ κακοτεχνῶν ὑπὲρ τοῦ πάντως περιγενέσθαι, ἀλλ' ὡς ἄν τις τῆς ἀληθείας ἀκριβὴς ἐξεταστὴς ἄνευ σοφιστείας. Ἡ δὲ γυνὴ δύο κινδύνους ὑπομείνασα, τὸν μὲν ὑπὲρ ψυχῆς, τὸν δὲ [*] αἰσχύνης, τοῦ παντὸς ἀργαλεώτερον θανάτου, κρινάτω παρ' αὐτῇ τὸ πρᾶγμα· καὶ ἂν μὲν καθαρεύῃ, θαῤῥοῦσα ἀπολογείσθω· εἰ δὲ ὑπὸ τοῦ συνειδότος ἐλέγχοιτο, καταδυέσθω, προκάλυμμα τῶν ἁμαρτημάτων αἰδῶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποιησαμένη, τὸ γὰρ μέχρι τέλους ἀναισχυντεῖν ὑπερβολὴ κακίας. Ἐὰν δὲ ἀμφήριστα ᾖ τὰ λεχθέντα καὶ μηδέτερον καθέλκῃ μέρος, ἴτωσαν εἰς τὸ ἱερόν, καὶ ὁ μὲν ἀνὴρ στὰς ἀντικρὺ τοῦ βωμοῦ, παρόντος τοῦ κατ᾽ ἐκείνην τὴν ἡμέραν ἱερωμένου, δηλούτω τὴν ὑπόνοιαν, ἅμα καὶ κομίζων ἄλευρον κρίθινον, εἶδός τι θυσίας ὑπὲρ τῆς γυναικός, εἰς ἔνδειξιν τοῦ μὴ κατ᾽ ἐπήρειαν, ἀλλ᾽ ἀπὸ γνώμης ὑγιοῦς κατ᾽ ἐνδοιασμὸν εὔλογον αἰτιᾶσθαι. Ὅ τε ἱερεὺς λαβὼν προτεινέτω τῇ γυναικί, καὶ τὸ ἐπίκρανον ἀφελών, ἵνα ἐπικρίνηται γεγυμνωμένη τῇ κεφαλῇ, τὸ τῆς αἰδοῦς περιῃρημένη σύμβολον, ᾧ ταῖς εἰς ἅπαν ἀναιτίαις ἔθος χρῆσθαι. Μήτε δὲ ἔλαιον, μήτε λιβανωτός, ὡς ἐπὶ τῶν ἄλλων θυσιῶν, παρέστω, διὰ τὸ μὴ ἐπὶ χαρτοῖς, ἀλλ᾽ ἄγαν ὀδυνηροῖς μέλλειν τὴν θυσίαν ἐπιτελεῖσθαι. Κρίθινον δέ ἐστι τὸ ἄλευρον, ἴσως ἐπειδὴ ὑπαμφίβολός ἐστιν ἡ ἀπὸ κριθῆς τροφή, καὶ ἀλόγοις ζώοις καὶ ἀτυχέσιν ἀνθρώποις *ἐφαρμόζεται*, σύμβολον τοῦ τὴν μεμοιχευμένην οὐδὲν θηρίων διαφέρειν, ὧν ἀδιακρίτους εἶναι καὶ ἀνεπιστάτους τὰς ὀχείας συμβέβηκε, τὴν δὲ καθαρεύουσαν τῶν ἐγκλημάτων οἰκεῖον ἀνθρώπων βίον ἐζηλωκέναι. Λαβὼν δέ, φησίν, ὁ ἱερεὺς κεραμεοῦν ἀγγεῖον ἐγχείτω καθαρὸν ὕδωρ, ἐκ πηγῆς ἀρυσάμενος, καὶ φερέτω βῶλον γῆς ἐκ τοῦ κατὰ τὸ ἱερὸν ἐδάφους, ἅπερ οἶμαι καὶ αὐτὰ συντείνειν πρὸς τὴν ἔρευναν τῆς ἀληθείας διὰ συμβόλων· τὸ γὰρ κεραμεοῦν ἀγγεῖον πρὸς τὸ μοιχεύεσθαι διὰ τὸ εὐκάτακτον, θάνατος γὰρ ἡ κατὰ μοιχῶν δίκη· ἡ δὲ γῆ καὶ τὸ ὕδωρ πρὸς τὸ καθαρεύειν τῆς αἰτίας, ἐπειδὴ δι᾽ ἀμφοτέρων αἱ γενέσεις καὶ αὐξήσεις καὶ τελειώσεις ἁπάντων. Ὅθεν ἑκάτερον οὐκ ἄπο σκοποῦ καὶ τοῖς ὀνόμασιν ἐπεκόσμησε, τὸ μὲν ὕδωρ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῶν δεῖν καθαρόν τι λαμβάνειν καὶ ζῶν, ἐπεὶ ἡ ἀναίτιος γυνὴ καθαρεύει τὸν βίον καὶ ζῆν ὀφείλει· τὴν δὲ γῆν οὐκ ἀπὸ τοῦ τυχόντος, ἀλλ' ἀπὸ τοῦ ἱεροῦ ἐδάφους, ὅπερ ἀναγκαῖον *ἀρτιῶσαι*, ὡς καὶ γυναῖκα τὴν σώφρονα. Τούτων δὲ προευτρεπισθέντων ἡ μὲν ἀκατακαλύπτῳ τῇ κεφαλῇ τὸ κρίθινον ἄλευρον κομίζουσα, καθάπερ ἐλέχθη, παρίτω, ὁ δὲ ἱερεὺς ἀντικρὺ τὸ κεραμεοῦν ἀγγεῖον, ἐν ᾧ ὕδωρ ἐστὶ καὶ γῆ, στὰς ἐπιλεγέτω τάδε· „Εἰ μὲν τοὺς ἐπὶ γάμοις θεσμοὺς οὐ παραβέβηκας, οὐδ' ἀνὴρ ἕτερος ὡμίληκέ σοι, καθυφιεμένη τὰ πρὸς τὸν [*] νόμον συνεληλυθότα δίκαια, ἀναίτιος καὶ ἀθῴα ἴσθι. Εἰ δὲ ὠλιγώρηκας μὲν ἀνδρός, καινὰς ζηλώσασα ἐπιθυμίας, ἢ ἐρασθεῖσα ἢ ἐρασθέντι ἐνδοῦσα, τὰ ἀναγκαιότατα καὶ φίλτατα προδοῦσα καὶ νοθεύσασα, μὴ ἀγνόει πάσαις ἀραῖς ἔνοχος γεγενημένη, ὧν τὰ δείγματα ἀναφανεῖς ἐπὶ τοῦ σώματος. Ἴθι δὴ καὶ ἔκπιε ποτὸν ἐλέγχου, ὃ τὰ κεκρυμμένα σοῦ καὶ τὰ ἀδηλούμενά σοι ἀπομφιέσει καὶ ἀπογυμνώσει." Ταῦτα γράψας ἐν χαρτιδίῳ καὶ ἀπαλείψας τῷ κατὰ τὸ ἀγγεῖον ὕδατι, προτεινέτω τῇ γυναικί. Ἡ δὲ πιοῦσα ἀπαλλαττέσθω, προσδοκῶσα σωφροσύνης ἆθλον ἢ ἀκολασίας τὴν ἀνωτάτω τιμὴν ἢ τιμωρίαν. Εἰ μὲν γὰρ σεσυκοφάντηται, σπορὰν καὶ γένεσιν ἐλπιζέτω, τῶν ἐπὶ στειρώσει καὶ ἀγονίᾳ φόβων καὶ φροντίδων ἀλογοῦσα. Εἰ δέ ἐστιν ἔνοχος, ἐφεδρεύσουσιν εἰς αὐτὴν γαστρὸς ὄγκος οἰδούσης καὶ πιμπλαμένης, καὶ τῶν περὶ μήτραν δεινὴ κάκωσις, ἣν καθαρὰν οὐκ ἠξίωσεν ἀνδρὶ διατηρεῖν, τῷ κατὰ πάτρια γήμαντι. Τοσαύτην δὲ ἔχει πρόνοιαν ὁ νόμος τοῦ μηδ' ἐπὶ γάμοις νεωτερίζεσθαι, ὥστε καὶ τοὺς συνιόντας εἰς ὁμιλίαν ἄνδρας καὶ γυναῖκας κατὰ τοὺς ἐπὶ γάμοις θεσμούς, ὅταν συνή-

ἀπαλλάττωνται, οὐ πρότερον ἐᾷ τινος ψαύειν, ἢ λουτροῖς καὶ περιρραντηρίοις χρῆσθαι, πόρρωθεν μοιχείας ἀνείργων καὶ τῶν ἐπὶ μοιχείᾳ ἐγκλημάτων. Ἐὰν δέ τις χήραν ἀποθανόντος ἀνδρὸς ἢ καὶ διαζευχθεῖσαν ἄλλως βιασάμενος αἰσχύνῃ, κουφότερον ἢ κατὰ μοιχείαν ἁμάρτημα δρῶν, ἥμισυ σχεδὸν ἐκείνου, τῆς μὲν τοῦ θανάτου τιμωρίας ἀφιέσθω, βίαν δὲ καὶ ὕβριν καὶ ἀκολασίαν καὶ θράσος, τὰ αἴσχιστα ὡς κάλλιστα ἀποδεξάμενος κατηγορείσθω, καὶ ὅ τι χρὴ παθεῖν ἢ ἀποτίσαι τιμάσθω τὸ δικαστήριον ἐπ' αὐτῷ.

## *Περὶ φθορᾶς.*

11. *Ἀδελφὸν μὲν καὶ συγγενὲς ἀδίκημα μοιχείας φθορά, καθάπερ ἐκ μητρὸς μιᾶς, ἀκολασίας, φύντα. Ἔνιοι δὲ τῶν εἰωθότων εὐπρεπέσιν ὀνόμασι τὰ αἰσχρὰ ἐπικοσμεῖν, ἔρωτα ὀνομάζουσι, τὸ ἀληθὲς ὁμολογεῖν ἐρυθριῶντες. Ἀλλ' ὅμως, εἰ καὶ συγγενές, οὐ παντάπασιν ὅμοιον, τῷ τὸ ἀδίκημα οὐκ εἰς πλείους χωρεῖν οἰκίας, ὡς ἐπὶ τῆς μοιχείας συμβέβηκεν, ἀλλ' εἰς μίαν συνῆχθαι, τὴν τῆς παρθένου. Λεκτέον οὖν τῷ κόρης ἀστῆς ἐπιθυμοῦντι· „Προπέτειαν καὶ θράσος ἀναίσχυντον, ἢ τὰς ἐπ' ἐνέδρᾳ *πάγας* ἤ τι τῶν ὁμοιοτρόπων, ὦ [*] οὗτος, ἀποστραφεὶς μήτ' ἀναφανδὸν μήτε λάθρα πονηρὸς ἐξετασθῇς. Ἀλλ' εἴπερ ἄρα τι τῇ ψυχῇ πέπονθας πρὸς τὴν παῖδα οἰκεῖον, ἴθι πρὸς τοὺς γονεῖς αὐτῆς, ἐὰν ζῶντες τύχωσιν· εἰ δὲ μή, πρὸς τοὺς ἀδελφοὺς ἢ ἐπιτρόπους ἢ ἄλλους κυρίους, καὶ ἀπογυμνώσας τὸ σαυτοῦ πάθος, ὡς χρὴ τὸν ἐλεύθερον, αἴτει πρὸς γάμον, καὶ παρακάλει μὴ ἀνάξιος λογισθῆναι. Σκαιὸς γὰρ οὐδεὶς οὕτως ἂν γένοιτο τῶν ἐπιμελουμένων τῆς παιδός, ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐναντιωθῆναι πρὸς λιπαρεστέρας δεήσεις, καὶ μάλιστά σε, ἐπειδὰν ἐξετάσας ἀνευρίσκῃ μὴ κατεψευσμένον ἢ ἐπιπόλαιον ἄλλως τὸ πάθος, ἀλλ' ἐπαληθεῦον καὶ παντελῶς ἐνιδρυμένον." Ἐὰν δέ τις (Ex. 22, 15 s.) λυττῶν καὶ μεμηνώς, ἅπασι τοῖς ἐκ λογισμοῦ πολλὰ χαίρειν φράσας, δυναστείᾳ τὸν οἶστρον καὶ τὴν ἐπιθυμίαν ὑποβαλών*), νόμου βίαν, ὥς φασί τινες, προτιμοτέραν θέμενος, ἁρπάζῃ καὶ φθείρῃ, ταῖς ἐλευθέραις ὡς θεραπαίναις χρώμενος, καὶ τὰ πολέμου δρῶν ἐν εἰρήνῃ, πρὸς τοὺς δικαστὰς ἀγέσθω· καὶ ἂν μὲν ὁ πατὴρ τῇ βιασθείσῃ, βουλευέσθω περὶ ἐγγύης τῆς περὶ τὸν ἐφθαρκότα. Εἶτα ἐὰν μὲν ἀνανεύῃ, προικιζέτω τὴν παῖδα ὁ φθορεὺς ἄλλῳ, ζημιούμενος χρήμασιν. Ἐὰν δὲ συναινῇ καὶ συνεπιγράφηται, μηδὲν ὑπερτιθέμενος ἀγέσθω, προῖκα πάλιν τὴν ἴσην ὁμολογῶν, καὶ μήτ' ἀναδύεσθαι τὴν ἐξουσίαν ἐχέτω μήτε παραιτεῖσθαι· καὶ δι' αὐτόν, ἵνα μὴ λαγνείας ἕνεκα δοκῇ μᾶλλον ἢ ἱμέρῳ τὰ νόμιμα ἐφθαρκέναι· καὶ διὰ τὴν κόρην, ἵνα αὐτῆς τὸ περὶ τὴν πρώτην σύνοδον ἀτύχημα παρηγορηθῇ βεβαιοτάτῳ γάμῳ, ὃν οὐδὲν ἄλλο τι ἢ θάνατος διαζεύξει. Ἐὰν δὲ πατρὸς ὀρφανὴ τυγχάνῃ, πρὸς τῶν δικαστῶν ἐρωτάσθω, εἴτε βούλεται συνοικεῖν, εἴτε μή· ἐάν τε δὲ συναινῇ, ἐάν τε ἀρνῆται, τὰ αὐτὰ γινέσθω ἃ καὶ ἐπὶ ζῶντι διωμολογήσατο τῷ πατρί.

## Περὶ ὑπογαμίου. (12-14.)

12. Μεθόριον ὑπολαμβάνουσί τινες ἀδίκημα εἶναι φθορᾶς καὶ μοιχείας ὑπογάμιον (Deut. 22, 23 ss.), ὅταν ὁμολογίᾳ μὲν ὑπερεγγυήσωσι, μήπω δὲ τῶν γάμων ἐπι-

*) Mang. legi vult: δυναστείαν ... ὑπολαβών.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τελεσθέντων ἕτερος ἀπαντήσας ἢ καὶ βιασάμενος εἰς ὁμιλίαν ἔλθῃ. Παρ' ἐμοὶ δὲ κριτῇ μοιχείας καὶ τοῦτ' ἐστὶν εἶδος· αἱ γὰρ ὁμολογίαι γάμοις ἰσοδυναμοῦσιν, αἷς ἀνδρὸς ὄνομα καὶ γυναικὸς καὶ τὰ ἄλλα τὰ ἐπὶ συνόδοις ἐγγράφεται. Ὧν χάριν καταλεύειν ὁ νόμος ἀμφοτέρους προςέταξεν, ἐὰν ἀπὸ μιᾶς καὶ τῆς αὐτῆς γνώμης ἐπιθῶνται τοῖς ἀδικήμασι συμφρονήσαντες· οὐχ οἷόν τε γὰρ ἀπὸ μὴ τῶν αὐτῶν ὁρμηθέντας βουλευμάτων νομίζεσθαι συναδικεῖν, οὐ συναδικοῦντας. Παρὰ γοῦν τὰς τῶν τόπων διαφορὰς [*] αὔξεσθαι συμβέβηκε καὶ μειοῦσθαι τὸ ἀδίκημα. Μεῖζον μὲν γάρ, ὡς εἰκός, ἐστίν, εἰ πραχθείη κατὰ πόλιν· ἔλαττον δὲ τειχέων ἔξω κατ' ἐρημίαν. Ἐνταῦθα μὲν γὰρ βοηθὸς οὐδείς ἐστι τῇ παιδί, πάνθ' ὅσα περὶ τοῦ διατηρῆσαι τὴν παρθενίαν ἄψαυστον καὶ ἀνεπιβούλευτον λεγούσῃ τε καὶ δρώσῃ· ἐν ἄστει δὲ βουλευτήρια καὶ δικαστήρια, στρατηγῶν, ἀγορανόμων, ἀστυνόμων, ἄλλων ἀρχόντων ὅμιλοι μεγάλοι, καὶ σὺν τούτοις ὁ δῆμος. Ἔστι γὰρ ἐν ἑκάστου τῇ ψυχῇ, καὶ ἂν ἰδιώτης τυγχάνῃ, μισοπόνηρον πάθος, ὃ διακινηθὲν ἀποδεικνύει τὸν ἔχοντα κατ' ἐκεῖνον τὸν χρόνον ὑπέρμαχον καὶ προαγωνιστὴν αὐτοκέλευστον τοῦ δόξαντος ἠδικῆσθαι.

13. Τῷ μὲν οὖν διαπραξαμένῳ τὴν βίαν ἕπεται δίκη πανταχοῦ, μηδὲν ἐκ τῆς τῶν χωρίων διαφορᾶς εὑρισκομένῳ πρὸς ἐπανόρθωσιν ὧν ὕβρισε καὶ παρηνόμησε· τῇ δὲ παιδί, καθάπερ ἔφην, τοτὲ μὲν ἔλεος καὶ συγγνώμη, τοτὲ δὲ ἀπαραίτητος τιμωρία παρακολουθήσει. Καὶ περὶ ταύτης μέντοι πολυπραγμονητέον τῷ δικαστῇ, μὴ πάντα ἐπὶ τοὺς τόπους ἀναφέροντι· δύναται γὰρ κατὰ μέσην τὴν πόλιν ἄκουσα βεβιάσθαι, καὶ ἔξω πόλεως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἄκουσα πρὸς ὁμιλίαν ἔκθεσμον ἐνδοῦναι. Διὸ παρατετηρημένως καὶ σφόδρα καλῶς ἀπολογούμενος ὑπὲρ τῆς ἐν ἐρημίᾳ φθειρομένης φησὶν ὁ νόμος· „Ἐβόησεν ἡ νεᾶνις, καὶ βοηθὸς οὐκ ἦν αὐτῇ" (Deut. 22, 27), ὥστε, εἰ μήτ' ἐβόησε μήτ' ἠναντιώθη, βουλομένη δὲ συνεπήρει, γένοιτο ἂν ἔνοχος, σόφισμα τοῦ βεβιάσθαι δοκεῖν προστησαμένη τὸν τόπον. Καὶ μὴν ἐν πόλει τί γένοιτο ἂν ὄφελος τῇ πάντα ἐθελούσῃ ποιεῖν ὑπὲρ τῆς ἰδίας ἐπιτιμίας, ἀδυνατούσῃ δὲ ἕνεκα τῆς περὶ τὸν ὑβριστὴν ἰσχύος; τί γάρ, εἰ μετὰ τῶν κάλων ἀποδήσειεν ἢ τὸ στόμα ἀποφράξειεν ὡς μηδὲ φωνὴν ῥῆξαι δύνασθαι, γένοιτο ἂν ὄφελος ἐκ τῶν συνοικούντων; Τρόπον γάρ τινα ἥδε, καίπερ ἐν πόλει διατρίβουσα, κατ' ἐρημίαν ἐστὶν ἅτε βοηθῶν ἔρημος· *ἡ* δέ, καὶ ἂν μηδεὶς παρατυγχάνῃ, τῷ δὲ ἑκοῦσα συναπάραι λέγοιτο ἂν οὐδὲν διαφέρειν τῆς ἐν ἄστει.

14. Εἰσὶ δέ τινες περὶ τὰς ὁμιλίας ἀψίκοροι, γυναικομανεῖς ἐν τῷ αὐτῷ καὶ μισογύναιοι, συγκλύδων καὶ μιγάδων ἠθῶν ἀνάπλεοι, οἳ ταῖς πρώταις εὐθὺς ὁρμαῖς ἐνδιδόντες ὁποῖαίπερ ἂν οὖσαι τυγχάνωσιν, ἅς, ἡνιοχεῖν δέον, ἀχαλινώτους ἐῶσιν, ἀπερισκέπτως καὶ ἀπροοράτως σώμασιν ὁμοῦ καὶ πράγμασιν ἐπεμπίπτοντες τυφλῶν τρόπον, ἅτε ῥύμῃ καὶ φορᾷ βιαίῳ συνωθοῦντες καὶ ἀνατρέποντες, οὐκ ἐλάττω ὧν διατιθέασι πάσχουσι. Περὶ ὧν τάδε νομοθετεῖται (Deut. 22, 13 ss.). Κόρας οἱ ἀγόμενοι νόμῳ, καὶ γάμους θύσαντες καὶ ἑστιαθέντες, μηδὲν οἰκεῖον ἐπὶ ταῖς γαμεταῖς πάθος σώζοντες, ἀλλ' ὑβρίσαντες [*] καὶ ὡς ἑταίραις ταῖς ἀσταῖς προσενεχθέντες, ἐὰν διάζευξιν τεχνάζωσι, μηδεμίαν ἀπαλλαγῆς πρόφασιν ἀνευρίσκοντες, εἶτα ἐπὶ τὸ συκοφαντεῖν τραπόμενοι σπάνει τῶν φανερῶν ἐγκλημάτων πρὸς τὰ ἀφανῆ τρέπωσι

τὰς αἰτίας καὶ παρελθόντες κατηγορῶσιν, ὅτι ὡς παρθένοις δόξαντες συνεληλυθέναι γυναῖκας ἐν ταῖς πρώταις ὁμιλίαις ἐφώρασαν· ἀθροιζέσθω μὲν ἡ γερουσία πᾶσα πρὸς τὴν κρίσιν, παρίτωσαν δὲ οἱ τῶν κατηγορουμένων γονεῖς, ἀπολογησόμενοι περὶ κοινοῦ κινδύνου. Κίνδυνος γὰρ οὐ ταῖς θυγατράσι μόνον περὶ τῆς τῶν σωμάτων ἁγνείας ἐστίν, ἀλλὰ καὶ τοῖς ἐπιμεληταῖς· οὐ μόνον ὅτι εἰς τὸν ἀναγκαιότατον τῆς ἀκμῆς καιρὸν οὐ παρεφύλαξαν, ἀλλ' ὅτι τὰς παρθένους τὰς ὑφ' ἑτέρων ἐφθαρμένας ἐνεγγύησαν, ἀπατῶντες καὶ φενακίζοντες τοὺς λαμβάνοντας. Εἶτα ἐὰν περιγένωνται τοῖς δικαίοις, τιμάτωσαν οἱ δικασταὶ κατὰ τῶν τὰς ψευδεῖς αἰτίας πλασσομένων χρημάτων ζημίας καὶ τὰς διὰ πληγῶν εἰς τὰ σώματα ὕβρεις, καί, τὸ πάντων ἐκείνοις ἀηδέστατον, τὴν τῶν γάμων βεβαίωσιν, ἐὰν ὑπομένωσιν αἱ γυναῖκες αὐτοῖς ἔτι συνοικεῖν. Ταῖς μὲν γὰρ ἐφίησιν ὁ νόμος θελούσαις καὶ μένειν καὶ ἀπαλλάττεσθαι, τοὺς δὲ οὐδετέρου κυρίους ἀπέφηνεν, ἀνθ' ὧν ἐσυκοφάντησαν.

## Περὶ ἀνδροφόνων. (15-25.)

### *Homicida sacrilegus asylique iure privatus.* (15. 16.)

15. Ὄνομα μὲν ἀνδροφονία κατὰ τοῦ κτείναντος ἄνθρωπον ἐπιφημίζεται, τὸ δὲ ἀληθὲς ἔργον ἐστὶν ἱεροσυλία καὶ ἱεροσυλιῶν ἡ μεγίστη, διότι τῶν ἐν κόσμῳ κτημάτων καὶ κειμηλίων οὐδὲν οὔτε ἱεροπρεπέστερον οὔτε θεοειδέστερόν ἐστιν ἀνθρώπου, παγκάλης εἰκόνος πάγκαλον ἐκμαγεῖον, ἀρχετύπου λογικῆς ἰδέας παραδείγματι τυπωθέν. Τὸν οὖν ἀνδροφόνον εὐθὺς ἀσεβῆ καὶ ἀνοσιουργὸν ὑποληπτέον, ἀνοσιουργημάτων καὶ ἀσεβημάτων τὸ μέγιστον δρῶντα, ὃν ἀμείλικτα ἐργασάμενον ἀναιρε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέον, ἐπειδὴ μυρίων θανάτων ἐπάξιος ὢν ἕνα ὑπομένει, διὰ τὸ τῆς τιμωρίας ἀθάνατον εἰς πλῆθος μὴ πεφυκυίας συναύξεσθαι. Χαλεπὸν δὲ οὐδέν, εἰ τὰ αὐτὰ οἷς διέθηκε πείσεται. Καίτοι πῶς ἐστι ταὐτόν, εἰ καὶ χρόνοις καὶ πράξει καὶ βουλεύμασι καὶ προσώποις διαλλάττον εἴη; Οὐχὶ τὸ χειρῶν ἄρχειν ἀδίκων ἐστὶ πρότερον, τὸ δὲ ἀμύνασθαι ὕστερον; καὶ ἀνδροφονία μὲν παρανομώτατον, ἡ δὲ κατ' ἀνδροφόνων κόλασις νομιμώτατον; καὶ ὁ μὲν κτείνας ἐκπεπλήρωκε τὴν ἐπιθυμίαν ἣν προῃρεῖτο ἀνελών, ὁ δὲ πεπονθὼς ἅτε γεγονὼς ἐκποδὼν οὐδ' ἀντιδιαθεῖναι οὔτ' ἀντεφησθῆναι δυνατός ἐστι; καὶ ὁ μὲν ἐπιβουλεύειν αὐτοχειρίᾳ [*] πέφυκε δι' αὐτοῦ, τῷ δὲ ἀτελὴς ἐπέξοδος, εἰ μὴ συγγενεῖς καὶ φίλοι προαγωνίσαιντο λαβόντες τοῦ πάθους οἶκτον; Ἐάν τις ἐπανατείνηται ξίφος ὥστ' ἀποκτεῖναι, καὶ ἂν μὴ ἀνέλῃ, ἔνοχος ἔσται, προαιρέσει γεγονὼς ἀνδροφόνος, εἰ καὶ μὴ τὸ τέλος τῇ γνώμῃ συνέδραμε. Τὰ δὲ αὐτὰ πασχέτω, καὶ ἂν σὺν τέχνῃ τις ἐξ ἐνέδρας, οὐ θαρρῶν ἄντικρυς ἐπιχειρεῖν, βουλεύηται καὶ μηχανᾶται δολερῶς τὸν φόνον· ἐναγὴς γὰρ καὶ οὗτος, εἰ καὶ μήπω ταῖς χερσίν, ἀλλά τοι τῇ ψυχῇ καθέστηκεν. Ὥσπερ γάρ, οἶμαι, πολεμίους οὐ μόνον τοὺς ἤδη ναυμαχοῦντας ἢ πεζομαχοῦντας νομιστέον, ἀλλὰ καὶ τοὺς εἰς ἑκάτερον παρεσκευασμένους καὶ τὰς ἑλεπόλεις ἐφιστάντας τοῖς λιμέσι καὶ τείχεσι, καὶ ἂν μὴ συμπλέκωνται, κρίνομεν· οὕτω καὶ ἀνδροφόνους χρὴ νομίζειν οὐ τοὺς κτείνοντας αὐτὸ μόνον, ἀλλὰ καὶ τοὺς πάντα δρῶντας εἰς τὸ ἀνελεῖν, ἢ φανερῶς ἢ λάθρα, καὶ ἂν μὴ τὸ ἀδίκημα ὦσιν εἰργασμένοι. Ἐὰν δὲ καὶ ὑπὸ δειλίας ἢ θράσους, μαχομένων καὶ ἐπιλήπτων παθῶν, καταφεύγειν τολμῶσιν εἰς τὸ ἱερὸν ὡς ἀσυλίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὑρισκόμενοι, κολαστέον. Καὶ ἐὰν φθάσωσι παρεισδύντες, ἐκδοτέον ἐπ' ἀναιρέσει, ταῦτα ἐπιλέγοντας, ἀσυλίαν ἀνιέροις τὸ ἱερὸν μὴ παρέχεσθαι. Πᾶς γὰρ ὁ ἀνίατα δρῶν ἐχθρὸς θεοῦ. Ἀνδροφόνοι δὲ ἀνίατα δρῶσιν, ἐπεὶ καὶ οἱ ἀνδροφονηθέντες ἀνίατα πεπόνθασιν. Ἢ τοῖς μὲν μηδὲν ἡμαρτηκόσιν, ἕως ἂν ἀπολούσωνται καὶ * περιῤῥανάμενοι * καθαρθῶσι τοῖς εἰωθόσι καθαρσίοις, ἄβατος ὁ νεώς ἐστι· τοὺς δὲ ἐνόχους ἀνεκπλύτοις ἄγεσιν, ὧν τὰ μιάσματα οὐδεὶς ἀπονίψει χρόνος, ἄξιον ἐπιφοιτᾶν καὶ ἐνδιατρίβειν τοῖς ἕδεσιν, οὓς οὐδ' ἂν οἰκία δέξαιτο κοσμίων ἀνδρῶν οἷς μέλει τῶν ὁσίων;

16. Προστιθέντας οὖν ἀδικήματα ἀδικήμασιν, ἀνδροφονίᾳ παρανομίαν καὶ ἀσέβειαν, ἀναγκαῖον ἀπάγειν δώσοντας δίκην, τοὺς ὡς ἔφην ἄξια μυρίων θανάτων, οὐχ ἑνός, εἰργασμένους. Ἄλλως τε τοῖς συγγενέσιν ἢ φίλοις τοῦ δολοφονηθέντος ἀποκεκλείσεται τὸ ἱερόν, εἰ ὁ ἀνδροφόνος ἐνδιατρίβοι, μὴ ἂν ὑπομεινάντων εἰς ταὐτό ποτε ἐλθεῖν. Ἄτοπον δέ, ἑνὸς ἕνεκα τοὺς πολλούς, καὶ τοῦ παρανομήσαντος τοὺς παρανομηθέντας ἐξείργεσθαι, οἳ πρὸς τῷ μηδὲν ἁμαρτεῖν ἔτι καὶ πένθος πρόσωρον ἀνεδέξαντο. Τάχα μέντοι καὶ τῇ μακρὰν ὀξύτητι λογισμοῦ πεφυκὼς ἐπιβλέπειν [*] προενόησε μὴ φόνον ἐν τῷ ἱερῷ γενέσθαι κατὰ τὰς ἐπιφοιτήσεις τῶν τοῦ σφαγέντος ἐπιτηδείων, οὓς στοργή, πάθος ἀδούλωτον, ὥσπερ τοὺς ἐνθουσιῶντας καὶ κατεχομένους προκαλέσεται μόνον οὐκ αὐτοχειρίᾳ κτεῖναι τὸν ἀνδροφόνον· οὗ γενομένου συμβήσεταί τι τῶν ἀνοσιωτάτων, αἵματι γὰρ ἀνδροφόνων αἷμα θυσιῶν ἀνακραθήσεται, τὸ καθωσιωμένον τῷ μὴ καθαρῷ. Διὰ μὲν δὴ ταῦτα κελεύει καὶ ἀπ' αὐτῶν τῶν βωμῶν ἐκδιδόναι τὸν ἀνδροφόνον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Venefici et veneficae praesente morte plectendi.* (17. 18.)

17. Ἀλλ' οἱ μὲν ξίφεσιν ἢ δόρασιν ἢ βέλεσιν ἢ ξύλοις ἢ λίθοις ἤ τισιν ὁμοιοτρόποις ἀναιροῦντες δύνανται μὴ προβουλευσάμενοι μηδ' ἐκ πολλοῦ πρὸ αὐτοῦ λελογισμένοι τὸ ἔργον, ἐν ταὐτομάτῳ διακινηθέντες καὶ θερμῷ δυναστευόμενοι χρησάμενοι λογισμῷ, δρᾶσαι τὸν φόνον, ὡς ἡμίεργον τὴν πρᾶξιν εἶναι, τῆς διανοίας μὴ προκατεσχημένης ἐκ μακροῦ τοῖς μιάσμασιν. Οἱ δὲ ἕτεροι πονηρότατοι, χερσὶ καὶ γνώμαις ἐναγεῖς, οἱ μάγοι καὶ φαρμακευταί, σχολὴν καὶ ἀναχώρησιν ἐνδιδόντες αὑτοῖς πρὸς καιρίους ἐπιθέσεις, καὶ τέχνας καὶ μηχανὰς πολυτρόπους ἀνευρίσκοντες ἐπὶ τὰς τῶν πλησίον συμφοράς. Ὅθεν κελεύει φαρμακευτὰς καὶ φαρμακίδας μηδεμίαν ἡμέραν, ἀλλὰ μηδ' ὥραν ἐπιβιοῦν, ἀλλ' ἅμα τῷ ἁλῶναι τεθνάναι, μηδεμιᾶς ἐγγινομένης προφάσεως εἰς ἀναβολὴν καὶ ὑπέρθεσιν τῆς τιμωρίας. Τοὺς μὲν γὰρ φανερῶς καὶ ὑπαίθρους ἐπιβουλεύοντας δύναιτο ἄν τις φυλάξασθαι, τῶν δὲ κρύφα συντιθέντων καὶ σκευωρουμένων τὰς ἐπιθέσεις φαρμακείαις οὐ ῥᾴδιον τὰς τέχνας συνιδεῖν. Ἀναγκαῖον οὖν, ἃ μελλήσουσι δι' αὐτῶν ἕτεροι παθεῖν, τοὺς δρῶντας προπαθεῖν. Καὶ γὰρ ἄλλως ὁ μὲν ἐμφανῶς ξίφει χρώμενος ἢ τινι ὅπλῳ τῶν ὁμοιοτρόπων καθ' ἕνα καιρὸν ὀλίγους ἀναιρεῖ, φαρμάκοις δὲ θανασίμοις μυρίους ὅσους τὴν ἐπιβουλὴν οὐ προαισθανομένους, ἐνδήμους τινὰς ἀνυπόπτως καὶ συνανακεκραμένους. Ἤδη γοῦν πολυάνθρωποι συμπόσια καθ' ἑστίασιν συνεληλυθότων ἐπὶ τοὺς αὐτοὺς ἅλας καὶ τὴν αὐτὴν τράπεζαν ἐν σπονδαῖς ξενικαῖς ἐλθόντες, ἐξαίφνης διεφθάρησαν, καὶ θάνατον ἀντ' εὐωχίας ὑπηλλάξαντο. Διὸ προσήκει κατὰ τῶν τοι-

ούτων καὶ τοὺς ἐπιεικεστάτους καὶ τοὺς μετριοπαθεστάτους φονᾶν, μόνον οὐ γινομένους αὐτόχειρας καὶ νομίζοντας εὐαγὲς εἶναι, τὸ μὴ ἑτέροις τὴν τιμωρίαν ἐπιτρέπειν, ἀλλ' ἑαυτοῖς. Πῶς γὰρ οὐκ ἔστι πάνδεινον, διὰ τροφῆς ἣ τοῦ ζῆν αἰτία καθέστηκε θάνατον τεχνάζεσθαι, καὶ τοῖς φύσει τροφίμοις φθοροποιὸν ἐργάζεσθαι μεταβολήν, ἵνα τινὲς διὰ φυσικὴν ἀνάγκην ἐπ' ἐδωδὴν καὶ πόσιν ἰόντες, οὐ προειδόμενοι τὴν ἐνέδραν, ὡς σωτήρια προςῶνται τὰ πανώλεθρα σιτία; Τὴν δὲ αὐτὴν ὑπομενέτωσαν τιμωρίαν, καὶ ἂν εἴ τινες θανάσιμα μὴ συντιθέντες, τὰ δι' ὧν μακραὶ κατασκευάζονται [*] νόσοι προςφέρωσι. Θάνατοι γὰρ πολλάκις αἱρετώτεροι νόσων εἰσί, καὶ μάλιστα τῶν τοιούτων, αἳ μήκεσι χρόνων ἀποτείνονται καὶ τέλος ἔχουσιν οὐκ αἴσιον· δυςίατα γὰρ ἤδη καὶ παντελῶς ἀθεράπευτα τὰ ἐκ φαρμακειῶν ἀῤῥωστήματα. Χαλεπώτερα μέντοι συμβαίνειν φιλεῖ τῶν ἐν τοῖς σώμασι *τὰ* περὶ τὰς ψυχὰς πάθη τῶν ἐπιβουλευομένων· ἐκστάσεις γὰρ καὶ παραφροσύναι καὶ ἀφόρητοι μανίαι κατασκήπτουσι, δι' ὧν ὁ νοῦς, ἣν μεγίστην ἀπένειμεν ἀνθρώπῳ δωρεὰν ὁ θεός, κακούμενος πάσας κακώσεις, ὅταν ἀπογνῷ τὰ σωτήρια, μετανίσταται καὶ μετοικίζεται, τὸ τῆς ψυχῆς φαυλότερον εἶδος ὑπολειπόμενος ἐν τῷ σώματι, τὸ ἄλογον, οὗ καὶ τὰ θηρία μετέσχηκεν, ἐπειδὴ πᾶς ὁ ἐρημωθεὶς λογισμοῦ τοῦ κρείττονος μέρους ψυχῆς, μεταβέβηκεν εἰς θήρειον φύσιν, κἂν ἔτι μένωσιν οἱ τοῦ σώματος χαρακτῆρες ἀνθρωπόμορφοι.

18. Τὴν μὲν οὖν ἀληθῆ μαγικήν, ὀπτικὴν ἐπιστήμην οὖσαν, ᾗ τὰ φύσεως ἔργα τρανωτέραις φαντασίαις αὐγάζεται, σεμνὴν καὶ περιμάχητον δοκοῦσαν εἶναι, οὐκ ἰδιῶται μόνον, ἀλλὰ καὶ βασιλεῖς καὶ βασιλέων οἱ μέγιστοι,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ μάλιστα οἱ Περσῶν διαπονοῦσιν οὕτως, ὥστ᾽ οὐδένα φασὶν ἐπὶ βασιλείαν παραληφθῆναι δύνασθαι παρ᾽ αὐτοῖς, εἰ μὴ πρότερον τοῦ μάγων γένους κεκοινωνηκὼς πως τυγχάνοι. Ἔστι δέ τις ἡ — παράκομμα ταύτης κυριώτατα φάναι — κακοτεχνία, ἣν μηναγύρται καὶ βωμολόχοι μετίασι, καὶ γυναικῶν καὶ ἀνδραπόδων τὰ φαυλότατα, περιμάττειν καὶ καθαίρειν κατεπαγγελλόμενα, καὶ στέργοντας μὲν εἰς ἀνηκεστοτάτην ἔχθραν, μισοῦντας δὲ εἰς ὑπερβάλλουσαν εὔνοιαν ἄξειν ὑπισχνούμενα φίλτροις καὶ ἐπῳδαῖς τισίν, εἶτα τοὺς ἀπλάστοις καὶ ἀκακωτάτοις ἤθεσι χρωμένους ἀπατῶσι καὶ ἀγκιστρεύονται, μέχρις ἂν τὰς μεγίστας προςλάβωσι συμφοράς, δι᾽ ἃς οἰκείων καὶ συγγενῶν ὅμιλοι μεγάλοι καὶ πολυάνθρωποι κατὰ μικρὸν ὑποῤῥέοντες ἀψοφητὶ ταχέως ἐξεφθάρησαν. Εἰς ὅπερ, οἶμαι, πάντα ἀπιδὼν ὁ ἡμέτερος νομοθέτης οὐκ ἐᾷ τὰς φαρμακευτῶν εἰς ὕστερον ἀναβάλλεσθαι δίκας, παραχρῆμα τὰς τιμωρίας ἀναπράττειν κελεύσας· αἱ γὰρ ὑπερθέσεις τοὺς μὲν ὑπαιτίους ἐνευκαιρεῖν τοῖς αὐτοῖς ἀδικήμασι παρορμῶσιν ἅτε θανατῶντας, τοὺς δὲ εἰς τὸ παθεῖν ὑπόπτους φοβερωτέρου δέους ἀναπιμπλᾶσι, τὴν ἐκείνων ζωὴν θάνατον αὑτῶν εἶναι νομίζοντας. Καθάπερ οὖν ἔχεις καὶ σκορπίους [*] καὶ ὅσα ἰοβόλα, πρὶν δακεῖν ἢ τρῶσαι καὶ συνόλως ὁρμῆσαι, θεασάμενοι μόνον χωρὶς ὑπερθέσεως κτείνομεν, προφυλαττόμενοι διὰ τὴν ἐνυπάρχουσαν ἐν αὐτοῖς κακίαν τὸ μηδὲν παθεῖν· τὸν αὐτὸν τρόπον καὶ ἀνθρώπους ἄξιον τιμωρεῖσθαι, οἳ φύσεως ἐπιλαχόντες ἡμέρου διὰ τὴν κοινωνίας αἰτίαν λογικὴν πηγήν, ἐπιτηδεύσει πρὸς θηρίων ἀτιθάσσων ἀγριότητας μεταβάλλουσι, ἐν ἡδονῇ καὶ ὠφελείᾳ τιθέμενοι τὸ κακῶς ποιεῖν ὅσους ἂν δύνωνται.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*De caedibus et laesionibus non deliberatis.*

19. Τοσαῦτα ἐν τῷ παρόντι περὶ φαρμακευτῶν ἀποχρώντως λελέχθω. Προσήκει μέντοι μηδὲ τοῦτο ἀγνοεῖν, ὅτι καιροὶ συμπίπτουσιν ἀβούλητοι πολλάκις, ἐν οἷς ἠνδροφόνησέ τις οὐκ ἐπὶ τοῦτο ἑαυτὸν παρασκευασάμενος, ἀλλ' ἐξαπιναίως ἁρπασθεὶς ὑπ' ὀργῆς, ἀνηκέστου καὶ ἐπιβόλου πάθους, ὃ καὶ τὸν ἔχοντα καὶ καθ' οὗ γίνεται τὰ μέγιστα βλάπτει. Προελθὼν (Ex. 18, 21) γὰρ ἔστιν ὅτε εἰς ἀγορὰν ἕνεκα πραγματείας ἐπειγούσης, ἐντυχὼν τινι προπετεστέρῳ κακηγορεῖν ἢ τύπτειν ἐπιχειροῦντι, ἢ καὶ αὐτὸς ἄρξας τῆς πρὸς ἐκεῖνον διαφορᾶς, συμπλοκῆς γενομένης ὑπὲρ τοῦ διαζευχθῆναι καὶ θᾶττον ἐκφυγεῖν ἢ πὺξ ἔπαισε τῇ χειρὶ ἢ λίθον ἀράμενος ἔῤῥιψε. Καιρίως δὲ τῆς πληγῆς ἐνεχθείσης εἰ μὲν εὐθὺς θνήσκει, καὶ ὁ παίσας θνησκέτω, τὰ ἴσα οἷς διέθηκε παθών. Ἐὰν δὲ παραχρῆμα μὲν ἐκ τῆς πληγῆς μὴ τελευτήσῃ, νόσῳ δὲ χρήσηται καὶ κλινήρης γενόμενος ἐπιμελείας τυχὼν τῆς προσηκούσης αὖθις ἐξαναστῇ, καὶ ἂν μὴ ποσὶν ἀρτίοις δύνηται βαδίζειν, ἀλλ' ὑπερειδόντων τινῶν, ἢ καὶ βακτηρίαις σκηριπτόμενος, διττὰς ὁ παίσας ἐκτινέτω ζημίας, τὴν μὲν εἰς ἀργίας ἐπανόρθωσιν, τὴν δὲ ἀντὶ τῶν ἰατρειῶν. Καταθεὶς δὲ ἀπηλλάχθω τῆς ἐπὶ τῷ θανάτῳ τιμωρίας, καὶ ἂν ὕστερον ὁ τὴν πληγὴν λαβὼν τελευτήσῃ· τάχα γὰρ οὐκ ἀπὸ τῆς πληγῆς, ἐπειδὴ ῥάων γενόμενος εἰς περίπατον προῆλθεν, ἀλλὰ καθ' ἑτέρας αἰτίας, αἳ καὶ τοὺς ὑγιεινοτάτους τὰ σώματα πολλάκις ἐξαίφνης ἐπιθέμεναι διέφθειραν. Ἐὰν δὲ συμπλακῇ τις (ib. 21, 22) γυναικὶ ἐγκύῳ καὶ πληγὰς ἐμφορήσῃ κατὰ τὴν γαστέρα, ἡ δὲ ἀμβλώσῃ· ἐὰν μὲν ἄπλαστον καὶ ἀδιατύπωτον τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀμβλωθὲν τύχῃ. ζημιούσθω, καὶ διὰ τὴν ὕβριν καὶ ὅτι ἐμποδὼν ἐγένετο τῇ φύσει ζωογραφούσῃ τὸ κάλλιστον, τεχνιτευούσῃ καὶ δημιουργούσῃ ζῷον, ἄνθρωπον· εἰ δὲ ἤδη μεμορφωμένον, ἁπάντων τῶν μερῶν τὰς οἰκείας τάξεις καὶ ποιότητας ἀπειληφότων, θνῃσκέτω. Τὸ γὰρ τοιοῦτον ἄνθρωπός ἐστιν, ὃν ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διεχρήσατο, μήπω καιρὸν εἶναι νομιζούσης εἰς φῶς προαγαγεῖν, ἐοικὸς ἀνδριάντι [*] ἐν πλαστικῇ κατακειμένῳ, πλέον οὐδὲν ἢ τὴν ἔξω παραπομπὴν καὶ ἄνεσιν ἐπιζητοῦντι.

*De infantium expositione.*

20. Διὰ ταύτης τῆς προστάξεως καὶ ἕτερόν τι μεῖζον ἀπηγορεύεται, βρεφῶν ἔκθεσις, ὃ παρὰ πολλοῖς τῶν ἄλλων ἐθνῶν ἕνεκα τῆς φυσικῆς ἀπανθρωπίας χειροήθες ἀσέβημα γέγονεν. Εἰ γὰρ τοῦ μηδέπω τὰς ὡρισμένας τῶν καιρῶν περιόδους ἀποκυηθέντος προνοητέον, ὡς μὴ ἐξ ἐπιβουλῆς τι δεινὸν πάθοι, πῶς οὐχὶ μᾶλλον τοῦ τελειογονηθέντος καὶ ὥσπερ εἰς ἀποικίαν ἣν ἔλαχον ἄνθρωποι προπεμφθέντος, ἐπὶ τῷ μεταλαχεῖν τῶν τῆς φύσεως δωρεῶν, ἃς ἀνίησιν ἐκ γῆς καὶ ὕδατος καὶ ἀέρος καὶ οὐρανοῦ, παρέχουσα τῶν μὲν οὐρανίων τὴν θέαν, τῶν δὲ ἐπιγείων τὸ κράτος καὶ τὴν ἡγεμονίαν, καὶ πάσαις μὲν χορηγοῦσα ταῖς αἰσθήσεσιν ἄφθονα τὰ πάντων, τῷ δὲ νῷ καθάπερ βασιλεῖ μεγάλῳ τὰ μὲν διὰ τούτων ὡς ἂν δορυφόρων, ὅσα αἰσθητά, τὰ δὲ ἄνευ τούτων, ὅσα λόγῳ καταληπτά; Τοσούτων γοῦν ἀποστεροῦντες ἀγαθῶν τοὺς παῖδας οἱ γονεῖς, ἅμα τῇ γενέσει τούτων μηδενὸς μεταδιδόντες, ἴστωσαν νόμους φύσεως καταλύοντες καὶ τὰ μέγιστα κατηγοροῦντες αὐτῶν, φιληδονίαν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μισανθρωπίαν, ἀνδροφονίαν καί, τὸ χαλεπώτατον ἄγος, τεκνοκτονίαν. Φιλήδονοι μὲν γάρ, οἳ μὴ σπορᾶς ἕνεκα τέκνων καὶ τοῦ διαιωνίσαι τὸ γένος συνέρχονται γυναιξίν, ἀλλὰ θηρώμενοι συῶν ἢ τράγων τρόπον τὴν ἐξ ὁμιλίας ἀπόλαυσιν. Μισάνθρωποι δὲ τίνες ἂν εἶεν μᾶλλον ἢ οἱ τῶν γεννηθέντων ἐχθροὶ ἀμείλικτοι καὶ δυςμενεῖς; εἰ μή τις οὕτως ἐστὶν ἠλίθιος, ὡς ὑπολαβεῖν, ὅτι πρὸς τοὺς ἀλλοτρίους ἔνσπονδοι γένοιντο ἂν οἱ [πρὸς] τοὺς ἡνωμένους κατὰ γένος ἔκσπονδα εἰργασμένοι. Τάς γε μὴν ἀνδροφονίας καὶ τεκνοκτονίας ἐναργεστάταις βεβαιοῦνται πίστεσιν οἱ μὲν αὐτόχειρες γινόμενοι, καὶ τὴν πρώτην εἰςπνοὴν τῶν βρεφῶν πιέζοντες καὶ ἀναθλίβοντες ὑπὸ ὠμότητος καὶ ἀναλγησίας δεινῆς, οἱ δὲ εἰς ποταμὸν καὶ θαλάσσης βυθὸν ἀφιέντες, ὅταν ἀπαιωρήσωσιν ἄχθος, ἵνα θᾶττον ἡ ὁλκὴ τῷ βάρει καταφέρηται, οἱ δὲ ἐπ᾽ ἐρημίαν κομίζουσιν ἐκθήσοντες, ὡς μὲν αὐτοί φασιν, ἐλπίδι σωτηρίας, ὡς δὲ τὸ ἀληθὲς ἔχει, πρὸς ἀνιαροτέρας συμφοράς. Ὅσα γὰρ σαρκῶν ἀνθρωπίνων ἅπτεται θηρία, μηδενὸς ἀνείργοντος ἐπιφοιτᾷ καὶ εὐωχεῖται τῶν βρεφῶν, καλῆς θοίνης, ἣν οἱ μόνοι κηδεμόνες καὶ πρὸ τῶν ἄλλων σώζειν ὀφείλοντες, μήτηρ καὶ πατήρ, προέθεσαν. Καὶ τὰ λείψανα μέντοι προςεπιλιχμῶνται αὐτῶν οἰωνῶν οἱ σαρκαβόροι καταπτάντες, ὅταν μὴ προαίσθωνται· αἰσθόμενοι γὰρ *περὶ* τῶν ὅλων πρὸς τοὺς χερσαίους θῆρας κονίονται. Φέρε δὲ οὖν [*] τῶν ὁδῷ παριόντων τινὰ ἡμέρῳ κινηθέντα πάθει λαβεῖν οἶκτον καὶ ἔλεον τῶν ἐκτεθέντων, ὡς ἀνελέσθαι τε καὶ τροφῆς μεταδοῦναι καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιῶσαι· ταυτὶ τὰ οὕτω χρηστὰ ἔργα τί νομίζομεν; ἆρ᾽ οὐ τῶν γεννησάντων εἶναι καταδίκας, εἴ γε οἱ μὲν ἀλλότριοι τὰ

γονέων, οἱ δὲ γονεῖς οὐδὲ τὴν τῶν ἀλλοτρίων εὔνοιαν ἐπετήδευσαν; Πόρρωθεν οὖν τὴν βρεφῶν ἔκθεσιν ἀπεῖπε δι' ὑπονοιῶν, θάνατον, ὡς ἔφην, ὁρίσας κατὰ τῶν αἰτίων ἀμβλώσεως τὰ μεμορφωμένα ἤδη κυϊσκούσαις· καίτοι τὰ μὲν ἔτι κατὰ γαστρὸς *προσεχόμενα* τῇ μήτρᾳ τῶν κυουσῶν εἶναι μέρη λέγεται παρά τε φυσικοῖς ἀνδράσιν, οἷς ὁ θεωρητικὸς διαπονεῖται βίος, καὶ παρ' ἰατρῶν τοῖς δοκιμωτάτοις, οἳ τὴν ἀνθρώπου κατασκευὴν διηρεύνησαν, τά τε ἐν ὄψει καὶ τὰ ἀφανῆ μετ' ἐπιμελείας ἐξ ἀνατομῆς ἀκριβώσαντες, ἵνα, εἰ χρεία τις γένοιτο θεραπείας, μηδὲν ἀγνοίᾳ παρολιγωρηθὲν αἴτιον μεγάλου κινδύνου γένηται. Τὰ δὲ ἀποκυηθέντα τῆς τε συμφυΐας ἀπέζευκται καὶ διϋφειμένα καθ' αὑτὰ ζῷα γέγονεν, οὐδενὸς ἐπιδεᾶ τῶν ὅσα συμπληρωτικὰ τῆς ἀνθρωπίνης φύσεώς ἐστιν, ὥστ' ἀνενδοιάστως ἀνδροφόνον εἶναι τὸν βρέφος ἀναιροῦντα, τοῦ νόμου μὴ ἐπὶ ταῖς ἡλικίαις, ἀλλ' ἐπὶ τῷ γένει τοῦ παρασπονδουμένου δυσχεραίνοντος. Εἰ μέντοι καὶ ἡλικιῶν ἔδει προμηθεῖσθαι, δοκεῖ μοί τις ἂν δεόντως ἀγανακτῆσαι μᾶλλον ἐπὶ τοῖς ἀναιροῦσι βρέφη· πρὸς μὲν γὰρ τοὺς τελείους μυρίαι προφάσεις εὔλογοι προσκρουσμάτων τε καὶ διαφορῶν, τοῖς δὲ κομιδῇ νηπίοις ἄρτι παρεληλυθόσιν εἰς φῶς καὶ τὸν ἀνθρώπινον βίον οὐδ' ἐπιψεύσασθαι κατηγορίαν ἀκακώτοις οὖσιν ἐνδέχεται. Διὸ πάντων ὠμότατοι καὶ ἀνηλεέστατοι κριθεῖεν ἂν οἱ ἐπαποδυόμενοι ταῖς τούτων ἐπιβουλαῖς, οὓς ἐχθαίρων ὁ ἱερὸς νόμος ἐνόχους ἀπέφηνε θανάτου.

*De caede nolente animo facta deque asylis.* (21-24.)

**21.** Τὸν ἀκουσίῳ γνώμῃ τοῦ κτείναντος ἀναιρεθέντα φησὶν ὁ ἱερὸς νόμος „παραδεδόσθαι ἀπὸ θεοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χερσὶν ἀνδροφόνοις" (Exod. 21, 13)· τῇ μὲν ἀπολογούμενος ὑπὲρ τοῦ δόξαντος ἀνελεῖν ὡς ἔνοχον ἀνελόντος, μὴ γὰρ ἄν ποτε τὸν ἵλεων καὶ συγγνώμονα θεὸν ἐπ' ἀναιρέσει τινὰ τῶν ἀναιτίων ἐκδοῦναι, ἀλλ' ὅστις τὰς μὲν παρὰ ἀνθρώποις κρίσεις εὐμηχάνως ἕνεκα τοῦ πολυτρόπου διαδιδράσκει, πρὸς δὲ τὸ τῆς φύσεως ἀχθεὶς ἀφανὲς δικαστήριον ἑάλω, ἐν ᾧ μόνῳ τὸ ἀληθὲς ἀκραιφνέστατον ὁρᾶται, λόγων τέχναις οὐκ ἐπισκιαζόμενον, οὐδὲ γὰρ λόγους τὴν ἀρχὴν παραδέχεται, βουλήματα ἀπαμφίσκον καὶ διανοίας ἀφανεῖς εἰς τὸ ἐμφανέστατον ἄγον· τῇ δὲ καὶ τὸν ἀνελόντα φόνῳ μὲν οὐ ποιῶν ὑπόδικον ἅτε θείᾳ κρίσει δόξαντα ὑπηρετῆσαι, μιάσματι δὲ ἀδηλουμένῳ καὶ βραχεῖ πάντως, ὃ παραιτητὸν καὶ [*] συγγνωστόν ἐστι. Χρῆται γὰρ ὁ θεὸς τοῖς ὀλίγα καὶ ἰάσιμα διαμαρτάνουσι κατὰ τῶν τὰ μέγιστα καὶ ἀνίατα ἠδικηκότων ὑπηρέταις κολάσεως, οὐκ ἐκείνους ἀποδεχόμενος, ἀλλ' ὡς ἂν ὄργανα παραλαμβάνων ἐπιτήδεια πρὸς τιμωρίαν, ἵνα μηδείς, ὅλῳ βίῳ καθαρὸς ὢν καὶ ἐκ καθαρῶν, φόνου, κἂν δικαιότατος ᾖ, προςάψηται. Φυγὴν οὖν κατὰ τοῦ κτείναντος ἀκουσίως ὥρισεν· οὐδ' ὅπῃ τύχῃ οὐδ' ἐς ἀεί. Πόλεις μὲν γὰρ ἓξ ἀπένειμεν (Num. 35, 9 ss.), ὀγδόην μοῖραν ὧν ἔλαχεν ἡ ἱερωμένη φυλή, τοῖς ἁλοῦσιν, ἃς ἀπὸ τοῦ συμβεβηκότος ὠνόμασε φυγαδευτήρια. Χρόνον δὲ τῆς φυγῆς τὸν βίον τοῦ ἀρχιερέως προςενομοθέτησε, κάθοδον μετὰ τὴν ἐκείνου τελευτὴν ἐπιτρέπων.

22. Αἰτία δὲ τοῦ μὲν προτέρου ἥδε. Ἡ λεχθεῖσι φυλὴ τὰς πόλεις εἴληφεν ἆθλον ἀνδροφονίας εὐαγοῦς, ἣ ἀριστειῶν ὅσαι πώποτε γεγόνασιν ἐπιφανεστάτην κα μεγίστην ὑποληπτέον. Ἡνίκα γὰρ ὁ προφήτης εἰς τ περιμηκέστατον καὶ ἱερώτατον τῶν κατ' ἐκεῖνον τὸν τό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

που ὁρῶν ἀνακληθεὶς ἐθεσπίζετο τὰ γένη τῶν ἐν εἴδει νόμων (Exod. 32, 1 ss.) καὶ πλείους ἦν ἀφανὴς ἡμέρας, οἱ μὴ τὰς φύσεις εἰρηνικοὶ τῶν ἐξ ἀναρχίας κακῶν πάντα κατέπλησαν, καὶ τέλος προςέθηκαν ἀσέβειαν· τὰς μὲν ἀρίστας καὶ καλὰς ὑφηγήσεις περὶ τοῦ ὄντως ὄντος θεοῦ τιμῆς χλευάσαντες, ταῦρον δὲ κατασκευασάμενοι χρυσοῦν, Αἰγυπτιακοῦ μίμημα Τύφου, θυσίας ἀνῆγον ἀθύτους, καὶ ἑορτὰς ἀνεόρτους καὶ χοροὺς ἀχορεύτους ἐπετέλουν σὺν ᾠδαῖς καὶ ὕμνοις ἀντὶ θρήνων. Ἡ δὲ λεχθεῖσα φυλὴ πάνυ χαλεπῶς ἐνέγκασα τὴν αἰφνίδιον ἐκδιαίτησιν καὶ ζήλῳ πυρωθεῖσα διὰ μισοπόνηρον πάθος, ὑπόπλεοι πάντες ὀργῆς ἐνθουσιῶντες, ὡς ἀφ᾽ ἑνὸς συνθήματος ὁπλισάμενοι, διττὴν μεθύοντας μέθην, τὴν μὲν ἀσεβείᾳ, τὴν δὲ οἴνῳ, μάλα καταφρονητικῶς ἐπιστροφάδην ἀνῄρουν, ἀπὸ οἰκειοτάτων καὶ φιλτάτων ἀρξάμενοι, φίλων καὶ συγγενῶν ἓν τὸ θεοφιλὲς εἶναι νομίζοντες. Καὶ βραχεῖ μέρει ἡμέρας τέτταρες πρὸς ταῖς εἴκοσι χιλιάδες ἀνῃρέθησαν, ὧν αἱ συμφοραὶ τοὺς συναπονοεῖσθαι μέλλοντας ἐνουθέτησαν, δέει τοῦ μὴ τὰ παραπλήσια παθεῖν. Ταύτην τὴν στρατείαν ἐθελουργὸν καὶ αὐτοκέλευστον ὑπὲρ εὐσεβείας καὶ ὁσιότητος τὴν εἰς τὸν ὄντως ὄντα θεόν, γενομένην οὐκ ἄνευ μεγάλων κινδύνων τοῖς ἀραμένοις τοὺς ἀγῶνας, αὐτὸς ὁ πατὴρ τῶν ὅλων ἀπεδέξατο καί, τοὺς ἀνελόντας δικάσας παραυτὰ καθαροὺς εἶναι παντὸς ἄγους [*] καὶ μιάσματος, ἱερωσύνην τῆς ἀνδραγαθίας τούτοις ἀντιδωρεῖται.

28. Τὸν οὖν ἀκούσιον δράσαντα φόνον κελεύει φυγεῖν εἰς ἐνίας ὧν ἔλαχον οὗτοι πόλεις, ἕνεκα παρηγορίας καὶ τοῦ μὴ ἀπογινώσκειν τὴν εἰς ἅπαν ἀσφάλειαν, ὑπομιμνησκόμενον ἐκ τοῦ τόπου τὸ ἄφοβον, καὶ λογιζόμενον,



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι τοῖς ἑκουσίως ἀπεκτονόσιν οὐ μόνον ἀμνηστία δέδοται, ἀλλὰ καὶ γέρα μεγάλα καὶ περιμάχητα καὶ πολλὴ εὐδαιμονία· εἰ δὲ τούτοις, πολὺ μᾶλλον τοῖς μὴ ἐκ προνοίας ἀνελοῦσιν, εἰ καὶ μηδὲν τῶν ἐπὶ τιμῇ, ἀλλὰ τὸ γοῦν πανύστατον, μὴ ἀνταναιρεθῆναι. Δι' οὗ παρίσταται τὸ μὴ πᾶσαν ἀνδροφονίαν ἐπίληπτον, ἀλλὰ τὴν σὺν ἀδικίᾳ μόνην εἶναι, καὶ τῶν ἄλλων ἐπαινετὴν μὲν τὴν κατὰ πόθον καὶ ζῆλον ἀρετῆς, οὐ ψεκτὴν δὲ τὴν ἀκούσιον. Ἡ δὲ μὲν αἰτία προτέρα λελέχθω, δευτέραν δὲ αὐτίκα μηνυτέον. Βούλεται ὁ νόμος τὸν ἀκουσίως ἀποκτείναντα διασώζειν, εἰδὼς γνώμῃ μὲν οὐκ ἔνοχον, χερσὶ δὲ ὑπηρετήσαντα τῇ τῶν ἀνθρωπείων ἐφόρῳ δίκῃ πραγμάτων. Ἐφεδρεύουσι γὰρ ἐχθροὶ φονῶντες οἱ τοῦ τεθνεῶτος ἀγχιστεῖς, οἳ δι' ὑπερβάλλοντα οἶκτον καὶ πένθος ἀπαρηγόρητον ἵενται πρὸς ἄμυναν ἀλόγῳ φορᾷ, τὸ ἀληθὲς καὶ τὸ φύσει δίκαιον οὐκ ἐξετάζοντες. Ἐπέτρεψεν οὖν τῷ τοιούτῳ καταφεύγειν οὔτ' εἰς ἱερὸν ἅτε μήπω κεκαθαρμένῳ, οὔτ' εἰς ἠμελημένον καὶ ἀφανὲς χωρίον, ἵνα μὴ ῥᾳδίως ἐκδοθῇ καταφρονηθείς, ἀλλ' εἰς ἱερόπολιν, ἥτις ἐστὶν ἱεροῦ καὶ βεβήλου τόπου μεθόριος, τρόπον τινὰ δεύτερον ἱερόν. Αἱ γὰρ τῶν ἱερωμένων πόλεις σεμνότεραι τῶν ἄλλων εἰσίν, ἐφ' ὅσον οἶμαι καὶ οἰκήτορες οἰκητόρων ἐντιμότεροι. Βούλεται γὰρ τὴν τῆς ὑποδεξαμένης προνομίαν βεβαιοτάτην ἀσφάλειαν περιποιῆσαι τῷ καταφυγόντι. Χρόνον δέ, ὡς ἔφην, ὥρισε (Num. 35, 25) τῆς καθόδου τὴν μεγάλου ἱερέως τελευτήν, αἰτίας ἕνεκα τοιᾶσδε. Ὥσπερ ἑνὸς ἑκάστου τῶν δολοφονηθέντων συγγενεῖς εἰσιν ἔφεδροι τῆς κατὰ τῶν δολοφονησάντων δίκης καὶ τιμωρίας, οὕτω τοῦ σύμπαντος ἔθνους συγγενὴς καὶ ἀγχιστεὺς κοινὸς ὁ ἀρχιερεύς ἐστι, πρυτα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νεύων μὲν τὰ δίκαια τοῖς ἀμφισβητοῦσι κατὰ τοὺς νόμους, εὐχὰς δὲ καὶ θυσίας τελῶν καθʼ ἑκάστην ἡμέραν, καὶ τὰ ἀγαθὰ αἰτούμενος ὡς ὑπὲρ ἀδελφῶν καὶ γονέων καὶ τέκνων, ἵνα πᾶσα ἡλικία καὶ τὰ μέρη τοῦ ἔθνους ὡς ἑνὸς σώματος εἰς μίαν καὶ τὴν αὐτὴν ἁρμόζηται κοινωνίαν, εἰρήνης καὶ εὐνομίας ἐφιέμενα. Τοῦτον οὖν εὐλαβείσθω πᾶς ὁ ἀκουσίως ἀνελὼν ὡς ὑπέρμαχον καὶ προαγωνιστὴν τῶν ἀναιρεθέντων, καὶ εἴσω τῆς πόλεως εἰς ἣν κατέφυγε κατακεκλείσθω, [*] μηκέτι θαρρῶν ἔξω προέρχεσθαι τειχῶν, εἰ δή τινα ποιεῖται λόγον ἀσφαλείας καὶ τοῦ ζῆν ἀκινδύνως. Ὅταν οὖν λέγῃ· „Μὴ ἐπανίτω ὁ φυγάς, ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας“, ἴσον τι τούτῳ φησίν· Ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὁ πάντων κοινὸς ἀγχιστεὺς ὤν, ᾧ μόνῳ καὶ τὰ τῶν ζώντων καὶ τὰ τῶν τετελευτηκότων ἐφίεται βραβεύειν.

24. Τὴν μὲν οὖν καὶ νεωτέρων ἀκοαῖς ἐφαρμόζουσαν αἰτίαν τοιαύτην εἶναι συμβέβηκε. Τὴν δὲ πρεσβυτέροις καὶ τελείοις τὸ ἦθος θέμις ἀναφέρειν. Ἥδʼ ἐστί. Τῶν μὲν *ἑκουσίων* ἀδικημάτων αὐτὸ μόνον ἰδιώτας καθαρεύειν ἐφιέσθω, λεγέτω δέ, εἰ βούλοιτό, τις καὶ τοὺς ἄλλους ἱερεῖς· ἀμφοτέρων δέ, ἑκουσίων τε καὶ ἀκουσίων, κατὰ τὸν ἐξαίρετον λόγον τὸν ἀρχιερέα. Προσάπτεσθαι γὰρ αὐτῷ μιάσματος συνόλως οὐ θεμιτόν, οὔτʼ ἐκ προνοίας, οὔτε κατὰ τροπὴν τῆς ψυχῆς ἀβούλητον, ἵνα ἱεροφάντης ὢν κοσμῆται καθʼ ἑκάτερον, διανοίᾳ τε χρώμενος ἀνεπιλήπτῳ καὶ εὐπραγίᾳ βίου, ᾧ μηδὲν ὄνειδος πρόσεστι. Τῷ δὴ τοιούτῳ γένοιτο ἂν ἀκόλουθον ὑποβλέπεσθαι καὶ τοὺς ἀκουσίως ἀπεκτονότας, οὐχ ὡς ἐναγεῖς, ἀλλʼ οὐχ ὡς καθαροὺς καὶ πάντως ἀμετόχους ἁμαρτήματος, καὶ εἰ τὰ μάλιστα τοῖς τῆς φύσεως ὑπηρε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γῆσαι βουλήμασιν ἔδοξαν, τισαμένης διὰ τούτων τοὺς ἀναιρεθέντας, ὧν ἀφανῶς αὐτὴ δικάσασα παρ' ἑαυτῇ θάνατον κατέγνω.

*De caede in servo perpetrata.*

25. Ταῦτα μὲν ἐπ' ἐλευθέροις καὶ ἀστοῖς. Ἑξῆς δὲ καὶ περὶ οἰκετῶν νομοθετεῖται βιαίως ἀναιρεθέντων. Θεράποντες τύχῃ μὲν ἐλάττονι κέχρηνται, φύσεως δὲ τῆς αὐτῆς μεταποιοῦνται τοῖς δεσπόταις. Τῷ δὲ θείῳ νόμῳ κανὼν τῶν δικαίων ἐστὶν οὐ τὸ τύχης, ἀλλὰ τὸ τῆς φύσεως ἐναρμόνιον. Διὸ προσήκει τοὺς κυρίους μὴ καταχρῆσθαι ταῖς ἐξουσίαις κατὰ τῶν οἰκετῶν, ἀλαζονείαν καὶ ὑπεροψίαν καὶ δεινὴν ὠμότητα ἐπιδεικνυμένους· ταῦτα γὰρ οὐκ ἔστι δείγματα ψυχῆς εἰρηνικῆς, ἀλλ' ὑπὸ ἀκρασίας τὸ ἀνεύθυνον ζηλούσης κατὰ τυραννικὴν δυναστείαν. Ὁ μὲν γὰρ τὴν ἰδίαν οἰκίαν ὥσπερ ἄκραν ἐπιτειχίσας, παρρησίας δὲ τῶν ἔνδον μηδενὶ μεταδιδούς, ἀλλὰ πρὸς ἅπαντας ἠγριωμένος ὑπὸ τῆς ἐμφύτου τάχα δὲ καὶ ἐπιτετηδευμένης μισανθρωπίας, τύραννός ἐστιν ἐν ἐλάττονι παρασκευῇ. Ἐξ ὧν ἐλέγχεται μὴ στησόμενος ἐπὶ τῶν αὐτῶν, εἰ μειζόνων λάβοιτο χρημάτων· διαβήσεται γὰρ εὐθὺς ἐπὶ πόλεις τε καὶ χώρας καὶ ἔθνη, τὴν αὐτοῦ πατρίδα προδουλωσάμενος, εἰς ἔνδειξιν τοῦ μηδενὶ μέλλειν τῶν ἄλλων ὑπηκόων ἠπίως προσφέρεσθαι. Σαφῶς οὖν ὁ τοιοῦτος ἴστω, μὴ τοῦ συνεχῶς καὶ εἰς πολλοὺς ἁμαρτάνειν [*] ἄδειαν ἕξων· ἐναντιώσεται γὰρ ἡ μισοπόνηρος αὐτῷ δίκη, ἡ βοηθὸς καὶ ὑπέρμαχος τῶν ἀδικηθέντων, ἢ λόγον καὶ εὐθύνας αὐτὸν τῆς περὶ τοὺς πεπονθότας συμφορᾶς ἀπαιτήσει, κἂν ἄρα φάσκῃ πληγὰς ἕνεκα νουθεσίας ἐντεῖναι, μὴ διανοηθεὶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνελεῖν. Οὐ γὰρ εὐθὺς βαδιεῖται γεγηθώς, ἀλλ' εἰς δικαστήριον ἀχθεὶς παρ' ἀκριβέσι λογισταῖς τῆς ἀληθείας ἐξετασθήσεται, πότερον ἑκὼν ἀπέκτεινεν ἢ ἄκων. Καὶ ἂν ἐπιβεβουλευκὼς ἀνευρίσκηται γνώμῃ ἀνοσίῳ, θνησκέτω, μηδὲν παρ' ὅσον δεσπότης ἐστὶ κερδαίνων εἰς τὸ σωθῆναι. Ἐὰν δὲ μὴ εὐθὺς ἐκ τῶν πληγῶν οἱ τυπτηθέντες ἀναιρεθῶσιν, ἀλλὰ βιώσωσιν ἡμέραν μίαν ἢ καὶ δύο, μηκέθ' ὁ δεσπότης ὑπόδικος ἔστω φόνου, πλεονέκτημα εἰς ἀπολογίαν πεπορισμένος τὸ μὴ παραχρῆμα τύπτων ἀνελεῖν μήθ' ὕστερον ἔχων κατὰ τὴν οἰκίαν, ἀλλὰ ζῆν ἐάσας ὅσον βιῶναι οἷοί τε ἦσαν χρόνον, εἰ καὶ παντάπασιν ὀλίγον. Χωρὶς τοῦ μηδένα οὕτως ἠλίθιον εἶναι, ὡς λυπεῖν ἕτερον ἐπιχειρεῖν, ἐν οἷς αὐτὸς ἀδικηθήσεται. Κτείνων δέ τις οἰκέτην πολὺ πρότερον βλάπτει ἑαυτόν, ὑπηρεσιῶν ἃς παρὰ ζῶντος εἶχε στερούμενος καὶ τὴν τιμὴν ζημιούμενος, καὶ πλείστην ἴσως. Ἐὰν μέντοι θανάτου ἄξια πεπραχὼς τυγχάνῃ, πρὸς τοὺς δικαστὰς ἀγέτω καὶ δηλούτω τὸ ἀδίκημα, τοὺς νόμους κυρίους ποιῶν τῆς τιμωρίας, ἀλλὰ μὴ ἑαυτόν.

### Κατὰ ζώων ἀλόγων ἃ παρ' αἴτια γίνεται θανάτου.

26. Ἐάν τινα ταῦρος ἀναπείρας ἀποκτείνῃ, καταλευέσθω (Exod. 21, 28). Ἀσφαγῆ γὰρ ἱερείοις καὶ ἄβρωτα ἔστω τούτου τὰ κρέα. Διὰ τί; Ὅτι τροφὴν ἢ προσόψημα τροφῆς ἀνθρώπῳ γίνεσθαι τὰ τοῦ κτείναντος ἄνθρωπον οὐχ ὅσιον. Ἐὰν δὲ ὁ τοῦ κτήνους κύριος ἄγριον εἰδὼς καὶ ἀτίθασσον μήτε καταδήσῃ μήτε κατακλείσας φυλάττῃ, τύχῃ δὲ καὶ παρ' ἑτέρων πεπυσμένος ὅτι οὐκ ἔστι χειροήθης, ἄφετον ἐάσας ἐπινέμεσθαι, ὡς παραίτιος ὑπόδικος ἔστω· καὶ τὸ μὲν ἀναπεῖραν αὐ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τίκα θνησκέτω, ὁ δὲ κύριος προςαναιρείσθω ἢ λύτρα καὶ σῶστρα κατατιθέσθω, τὸ δὲ δικαστήριον ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι διαγνώσεται. Εἰ μέντοι δοῦλος ὁ ἀναιρεθεὶς εἴη, τὴν τιμὴν ἐπανορθούτω τῷ δεσπότῃ. Ἐὰν δὲ μὴ ἄνθρωπον, ἀλλὰ [*] κτῆνος ἀναπείρῃ, τὸ τεθνηκὸς ὁ τοῦ κτείναντος λαβὼν δεσπότης τὸ ὅμοιον ἀποτισάτω, διότι τὸ ἀνήμερον τοῦ ἰδίου προαισθανόμενος οὐκ ἐφυλάξατο. Καὶ ἂν αὐτὸ μέντοι τὸ θρέμμα ἀλλότριον ἀνέλῃ, πάλιν ὅμοιον ἀποτινέτω, χάριν εἰδὼς ἐπὶ τῷ μὴ πλείονα ζημίαν ὑπομένειν, ἄρξας ἐπηρείας.

## Περὶ ὀρυγμάτων.

27. Ὀρύγματα γῆς (Exod. 21, 33) εἰώθασί τινες εὖ μάλα βαθύνειν, ἢ φλέβας πηγαζούσας ἀναστέλλοντες, ἢ πρὸς ὑποδοχὴν ὀμβρίου ὕδατος, εἶθ᾽ ὑπονόμους εὐρύναντες ἀφανεῖς, δέον τὰ στόμια ἢ περιοικοδομῆσαι ἢ περιπωμάσαι, κατά τινα δεινὴν ῥᾳθυμίαν ἢ φρενοβλάβειαν ἐπ᾽ ὀλέθρῳ τινῶν εἴασαν ἀχανῆ. Ἐὰν οὖν τις τῶν ὁδῷ παριόντων μὴ προαισθόμενος κατὰ κενοῦ ἐπιβὰς ἐνεχθῇ καὶ τελευτήσῃ, ἐπιγραφέσθωσαν οἱ βουλόμενοι ὑπὲρ τοῦ τετελευτηκότος πρὸς τοὺς τὸ ὄρυγμα ποιησαμένους, καὶ τιμάτω τὸ δικαστήριον ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. Ἐὰν δὲ θρέμμα κατενεχθὲν ἀποθάνῃ, τὴν ἀξίαν τιμὴν ὡς ζῶντος ἐπανορθούτωσαν τῷ δεσπότῃ, τὸ νεκρὸν αὐτοὶ λαβόντες. Ἀδελφὸν δὲ καὶ συγγενὲς ἀδίκημα δρῶσι τῷ λεχθέντι, ὅσοι κατασκευάζοντες οἰκίας ἰσόπεδα καταλείπουσι τὰ τέγη, περιστεφανοῦν θωρακίοις δέον ὑπὲρ τοῦ μή τινα κατακρημνισθῆναι λαθόντα· φόνον γάρ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, δρῶσι, καὶ ἂν μηδεὶς ὑποσυρεὶς ἀποθάνῃ, τό γε ἐπ᾽ αὐτοῖς ἧκον μέρος. Κο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λαζέσθωσαν γοῦν ἐν ἴσῳ τοῖς ἀχανῆ τὰ στόμια τῶν ὀρυγμάτων καταλείπουσι.

*Homicida morte dignus morte plectitur.*

28. Λύτρα παρ᾽ ἀνδροφόνων, οὓς δέον τεθνάναι, διαγορεύει ὁ νόμος μὴ ἐξεῖναι λαμβάνειν ἐπὶ μειώσει τῆς τιμωρίας ἢ ὑπαλλαγῇ φυγῆς ἀντὶ θανάτου. Αἵματι γὰρ αἷμα καθαίρεται, τῷ τοῦ κτείναντος τὸ τοῦ ἐπιβουλευθέντος· ἐπεὶ κόρον οὐκ ἔχουσιν οἱ πονηροὶ τὰς φύσεις τοῦ πλημμελεῖν, ἀλλ᾽ ἀεὶ μεγαλουργοῦσι προσυπερβάλλοντες, καὶ τὰς κακίας ἐπιτείνουσι καὶ διαίρουσι πρὸς τὸ ἄμετρον καὶ ἀπερίγραφον. Μυρίους μὲν γὰρ θανάτους, εἴπερ οἷόν τε ἦν, ἤνεγκεν ἂν κατ᾽ αὐτῶν ὁ νομοθέτης. Ἐπεὶ δὲ τοῦτο οὐκ ἐνεδέχετο, τιμωρίαν ἄλλην προσδιατάττεται, κελεύων τοὺς ἀνελόντας ἀνασκολοπίζεσθαι. Καὶ τοῦτο προστάξας ἀνατρέχει πάλιν πρὸς τὴν ἑαυτοῦ φιλανθρωπίαν, ἡμερούμενος πρὸς τοὺς ἀνήμερα εἰργασμένους, καί φησι· „Μὴ ἐπιδυέτω ὁ ἥλιος ἀνεσκολοπισμένοις“ (Deut. 21, 23), ἀλλ᾽ ἐπικρυπτέσθωσαν γῇ πρὸ δύσεως καθαιρεθέντες. Ἦν γὰρ ἀναγκαῖον, τοὺς ἅπασι τοῖς μέρεσι τοῦ κόσμου πολεμίους μετεωρίσαντας εἰς τὸ ἐμφανὲς ἐπιδεῖξασθαι μὲν αὐτοὺς ἡλίῳ καὶ οὐρανῷ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ [*] κολασθέντας, πάλιν δὲ εἰς τὸν νεκρῶν χῶρον ὑποσῦραί τε καὶ καταχῶσαι, ὅπως μὴ τὰ ὑπὲρ γῆς μιαίνωσι.

*Ne alter pro altero moritur vel punitur.* (29. 30.)

29. Παγκάλως μέντοι καὶ ἐκεῖνο διατέτακται (Deut. 24, 16), πατέρας ὑπὲρ υἱῶν μὴ ἀποθνήσκειν, μηδ᾽ υἱοὺς ὑπὲρ γονέων, ἀλλ᾽ ἕκαστον τῶν ἄξια θανάτου δε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δρακότων αὐτὸν ἰδίᾳ μόνον ἀναιρεῖσθαι, διὰ τοὺς ἢ βίαν τοῦ δικαίου προτιμῶντας, ἢ πάνυ φιλοστόργους. Οὗτοι μὲν γὰρ διὰ περιττὴν καὶ ὑπερβάλλουσαν εὔνοιαν ἐθελήσουσι πολλάκις ἄσμενοι προσαποθνήσκειν, αὐτοὺς ἐπιδιδόντες ὑπὲρ τῶν ἐνόχων οἱ ἀνυπαίτιοι, μέγα κέρδος νομίζοντες τὸ μὴ ἰδεῖν κολαζομένους ἢ τοὺς γεννήσαντας υἱοί, ἢ καὶ τοὺς παῖδας γονεῖς, ὡς ἀβίωτον καὶ παντὸς ἀργαλεώτερον θανάτου τὸν αὖθις χρόνον βιωσόμενοι. Πρὸς οὓς λεκτέον· „Ἡ εὔνοια ὑμῶν οὐκ ἔχει καιρόν, τὰ δὲ ὅσα μὴ ἐν καιρῷ ψέγεται δεόντως, ἐπεὶ καὶ τὰ καίρια ἐπαινεῖται. Χρὴ μέντοι φιλεῖν τοὺς ἄξια φιλίας δρῶντας, πονηρὸς δὲ οὐδεὶς πρὸς ἀλήθειαν φίλος, συγγενεῖς δὲ καὶ ἐν συγγενέσι φίλους καλουμένους ἠλλοτρίωσαν αἱ μοχθηρίαι πλημμελοῦντας. Συγγένεια γὰρ οἰκειοτέρα τῆς πρὸς αἵματος ἡ πρὸς δικαιοσύνην καὶ πᾶσαν ἄλλην ἀρετὴν ὁμολογία, ἣν ἐκλείπων τις οὐκ ὀθνείοις καὶ ξένοις μόνον, ἀλλὰ καὶ ἐν ἀσπόνδοις ἐχθροῖς ἀναγράφεται. Τί οὖν κατεψευσμένοι ὄνομα εὐνοίας ὅ τι χρηστὸν καὶ φιλάνθρωπόν ἐστιν ὑποδύεσθε, τὰ ἀληθῆ μαλακίαν καὶ ἀνανδρίαν παρακαλυπτόμενοι; Ἢ οὐκ ἄνανδροι, παρ' οἷς οἴκτῳ λογισμὸς ἥττηται; καὶ ταῦθ' ἵνα διπλοῦν ἀδίκημα δράσητε, τοὺς μὲν ὑπαιτίους ῥυόμενοι τῆς τιμωρίας, αὐτοὺς δὲ ἐπὶ μηδενὶ μεμφθέντας τὸ παράπαν οἰόμενοι δεῖν ἀντ' ἐκείνων κολάζειν;"

30. Ἀλλ' οὗτοι μὲν ὑποτίμησιν ἔχουσι τὸ μηδενὸς θηρᾶσθαι ἐπ' ὠφελείᾳ καὶ τὸ λίαν πρὸς τοὺς ἐγγυτάτω γένους φιλόστοργον, ὑπὲρ ὧν τῆς σωτηρίας ἀποθνήσκειν ἄσμενοι διανοοῦνται. Τοὺς δὲ ὠμοθύμους καὶ τὴν φύσιν θηριώδεις τίς οὐκ ἂν προβάλοιτο τῶν, οὐ λέγω μετρίων, ἀλλὰ καὶ τῶν μὴ σφόδρα ἀτιθάσσων τὴν ψυχήν, οἳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ λάθρα τεχνάζουσιν ἢ ἐπιθαῤῥοῦσι φανερῶς, ἑτέροις ἀνθ᾽ ἑτέρων τὰς μεγίστας ἐπανατείνεσθαι συμφοράς, φιλίαν ἢ συγγένειαν ἢ κοινωνίαν ἤ τι ὁμοιότροπον ἐπ᾽ ὀλέθρῳ τῶν οὐδὲν ἠδικημένων προφασιζόμενοι; Καὶ ταῦτα δρῶσιν ἔστιν ὅτε μηδὲν πεπονθότες δεινόν, ἕνεκα δὲ πλεονεξίας ἢ ἁρπαγῆς. Πρώην τις ἐκλογεὺς φόρων ταχθεὶς παρ᾽ ἡμῖν, ἐπειδή τινες τῶν δοξάντων ὀφείλειν διὰ πενίαν ἔφευγον δέει τιμωριῶν ἀνηκέστων, γύναια τούτων [*] καὶ τέκνα καὶ γονεῖς καὶ τὴν ἄλλην γενεὰν ἀπαγαγὼν πρὸς βίαν, τύπτων καὶ προπηλακίζων καὶ πάσαις αἰκίαις αἰκιζόμενος, ἵνα ἢ τὸν φυγόντα καταμηνύσωσιν ἢ τὰ ὑπὲρ ἐκείνου καταθῶσιν, οὐδέτερον δυνάμενοι, τὸ μὲν ὅτι ἠγνόουν, τὸ δὲ ὅτι οὐχ ἧττον τοῦ φυγόντος ἀπόρως εἶχον, — οὐ πρότερον ἀνῆκεν, ἢ βασάνοις καὶ στρέβλαις τὰ σώματα κατατείνων ἀποκτεῖναι κεκαινουργημέναις ἰδέαις θανάτου. Ἄμμου σπυρίδα πλήρη βρόχοις ἐκδησάμενος ἀνῆπτε κατὰ τῶν αὐχένων, βαρύτατον ἄχθος, ἱστὰς ἐν ὑπαίθρῳ κατὰ μέσην ἀγοράν, ἵνα οἱ μὲν ἀθρόαις τιμωρίαις ἀνέμῳ, καὶ ἡλίῳ καὶ τῇ ἀπὸ τῶν παριόντων αἰσχύνῃ, καὶ τοῖς ἐκκρεμαμένοις ἄχθεσι βιαζόμενοι χαλεπῶς ἀπαγορεύσωσιν, οἱ δὲ θεώμενοι τὰς τούτων τιμωρίας προαλγῶσιν. Ὧν ἔνιοι τρανοτέραν τῆς διὰ τῶν ὀφθαλμῶν τὴν διὰ τῆς ψυχῆς λαβόντες αἴσθησιν, ὡς ἐν τοῖς ἑτέρων σώμασιν αὐτοὶ κακούμενοι, τῷ βίῳ προαπετάξαντο ξίφεσιν ἢ φαρμάκοις ἢ ἀγχόναις, μεγάλην ὡς ἐν κακοπραγίαις νομίζοντες ἐπιτυχίαν τὴν ἄνευ βασάνων τελευτήν. Οἱ δὲ μὴ φθάσαντες αὑτοὺς διαχρήσασθαι, καθάπερ ἐν ταῖς τῶν κλήρων ἐπιδικασίαις, κατὰ * στίχον * ἤγοντο οἱ ἀπὸ τοῦ γένους πρῶτοι καὶ μετ᾽ αὐτοὺς δεύτεροι καὶ τρίτοι, μέχρι τῶν ὑστάτων· καὶ ὁπότε μηδεὶς λοι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πὸς εἴη συγγενῶν, διέβαινε τὸ κακὸν καὶ ἐπὶ τοὺς γειτνιῶντας, ἔστι δὲ ὅτε καὶ ἐπὶ κώμας καὶ πόλεις, αἳ ταχέως ἔρημοι καὶ κεναὶ τῶν οἰκητόρων ἐγένοντο, μετανισταμένων καὶ σκεδαννυμένων ἔνθα λήσεσθαι προσεδόκων. Ἀλλ' οὐδὲν ἴσως θαυμαστόν, εἰ φορολογίας ἕνεκα βάρβαροι τὰς φύσεις, ἡμέρου παιδείας ἄγευστοι, πειθαρχοῦντες δεσποτικοῖς προστάγμασι τοὺς ἐτησίους ἀναπράττουσι δασμούς, οὐ μόνον ἐκ τῶν οὐσιῶν, ἀλλὰ καὶ ἐκ τῶν σωμάτων, μέχρι καὶ ψυχῆς τοὺς κινδύνους ἐπιφέροντες ὑπὲρ ἑτέρων ἑτέροις. Ἤδη δὲ καὶ οἱ τῶν δικαίων ὅροι καὶ κανόνες, αὐτοὶ οἱ νομοθέται, πρὸς δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἀπιδόντες, τῶν ἀδικωτάτων ὑπέμειναν γενέσθαι, κελεύσαντες τοῖς μὲν προδόταις τοὺς παῖδας συναναιρεῖσθαι, τοῖς δὲ τυράννοις τὰς ἐγγυτάτω πέντε οἰκίας*). Διὰ τί; φαίην ἄν. Εἰ μὲν γὰρ συνεξήμαρτον, καὶ συγκολαζέσθωσαν· εἰ δὲ μήτε κοινοπράγησαν μήτε ζηλωταὶ τῶν ὁμοίων ἐγένοντο μήτε ταῖς τῶν οἰκείων εὐτυχίαις ἐπαρθέντες ἐνηδυπάθησαν, τίνος χάριν ἀναιρεθήσονται; ἢ δι' ἓν τοῦτο μόνον, ὅτι συγγενεῖς εἰσι; Γένους γὰρ ἢ [*] παρανομημάτων αἱ τιμωρίαι; Χρηστῶν ἴσως ὑμεῖς, ὦ σεμνοὶ νομοθέται, τῶν οἰκείων ἐλέγετε. Μοχθηροὶ δὲ εἴπερ ἐγίνοντο, δοκεῖτέ μοι μηδ' ἂν εἰς νοῦν ποτε βαλέσθαι τὰς τοιαύτας προστάξεις, ἀλλὰ καὶ γράφουσιν ἑτέροις δυσχερᾶναι, διὰ τὴν τοῦ μηδὲν ἀνήκεστον παθεῖν προφυλακὴν τὸν ἐν ἀσφαλεῖ βίῳ διάγοντα μετὰ τῶν κινδυνευόντων σκοπεῖν καὶ ἐν ταῖς ἴσαις κακοπραγίαις συνεξετάζεσθαι. Τὸ μὲν γὰρ ἔχει δέος, ὃ φυλαττόμενός τις οὐδ' ἂν ἕτερον περιίδοι·

---

*) Mang. pro τὰς ... οἰκίας scribi vult: τοὺς ... οἰκείους.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὸ δέ ἐστιν ἄφοβον, ὑφ' οὗ πολλάκις ἀνεπείσθησάν τινες ἀλογεῖν ἀνθρώπων ἀνυπαιτίων ἀσφαλείαις. Ταῦτα οὖν ἐκλογισάμενος ὁ ἡμέτερος νομοθέτης, καὶ τὰ παρ' ἄλλοις ἁμαρτήματα συνιδὼν ὡς φθοροποιὰ τῆς ἀρίστης πολιτείας, ἀπεστράφη καὶ διεμίσησε τοὺς χρωμένους εἴτε ῥᾳθυμίαις, εἴτ' ἀπανθρωπίαις καὶ κακίαις, καὶ οὐδέποτέ τινα τῶν συμβεβηκότων ἐξέδωκεν ἐπὶ τιμωρίᾳ, προςθήκην ποιησάμενος αὐτὸν ἀδικημάτων ἑτέρων. Διόπερ ἄντικρυς ἀπεῖπεν υἱοὺς ἀντὶ γονέων ἢ γονεῖς ἀνθ' υἱῶν ἀναιρεῖσθαι, δικαιώσας ὧν τὰ ἁμαρτήματα, τούτων εἶναι καὶ τὰς τιμωρίας, εἴτε ζημίας χρημάτων, εἴτε καὶ πληγὰς καὶ βιαιοτέρας ὕβρεις, εἴτε τραύματα καὶ πηρώσεις καὶ ἀτιμίας καὶ φυγὰς καὶ ὅσα ἄλλα τῶν ἐπὶ δίκαις· ἑνὸς γάρ, τοῦ μὴ ἕτερον ἀνθ' ἑτέρου κτείνειν, μνησθεὶς καὶ τὰ ἡσυχασθέντα προςπεριέλαβεν.

*Περὶ τοῦ μὴ ἀναισχυντεῖν γυναῖκας.* (31. 32.)

31. Ἀγοραὶ καὶ βουλευτήρια καὶ δικαστήρια καὶ θίασοι καὶ σύλλογοι πολυανθρώπων ὁμίλων καὶ ὁ ἐν ὑπαίθρῳ βίος διὰ λόγων καὶ πράξεων, κατὰ πολέμους καὶ κατὰ εἰρήνην, ἀνδράσιν ἐφαρμόζουσι· θηλείαις δὲ οἰκουρία καὶ ἔνδον μονή, παρθένοις μὲν εἴσω κλισιάδων τὴν μεσαύλιον ὅρον πεποιημέναις, τελείαις δὲ ἤδη γυναιξὶ τὴν αὔλιον. Διττὸν γὰρ εἶδος πόλεων, μειζόνων καὶ βραχυτέρων· αἱ μὲν οὖν μείζους ἄστεα καλοῦνται, οἰκίαι δὲ αἱ βραχύτεραι. Τὴν δὲ ἑκατέρων προστασίαν διειλήχασιν ἄνδρες μὲν τῶν μειζόνων, ἧς ὄνομα πολιτεία, γυναῖκες δὲ τῶν βραχυτέρων, ἧς ὄνομα οἰκονομία. Μηδὲν οὖν ἔξω τῶν κατ' οἰκονομίαν πολυπραγμονείτω γυνή, ζητοῦσα μοναυλίαν, μηδ' οἷα νομὰς κατὰ τὰς ὁδοὺς ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὄψεσιν ἀνδρῶν ἑτέρων ἐξεταζέσθω· πλὴν εἰς ἱερὸν ὁπότε δέοι βαδίζειν, φροντίδα ποιουμένη καὶ τότε μὴ πληθούσης ἀγορᾶς, ἀλλ' ἐπανεληλυθότων οἴκαδε τῶν πλείστων, ἐλευθέρας τρόπον καὶ τῷ ὄντι ἀστῆς, ἐν ἠρεμίᾳ θυσίας [*] ἐπιτελοῦσα καὶ εὐχὰς εἰς ἀποτροπὴν κακῶν καὶ μετουσίαν ἀγαθῶν. Τὸ δὲ λοιδορουμένων ἢ συμπλεκομένων ἀνδρῶν ἐπεκθεῖν τολμᾶν κατὰ πρόφασιν συμμαχίας ἢ βοηθείας γυναῖκας, ἐπίληπτον καὶ οὐ μετρίως ἀναίσχυντον, ἃς οὐδ' ἐν πολέμοις καὶ στρατείαις καὶ τοῖς ὑπὲρ πάσης τῆς πατρίδος κινδύνοις ἐδικαίωσεν ὁ νόμος ἐξετάζεσθαι, τὸ πρέπον ἰδών, ὅπερ ἀκίνητον ἀεὶ καὶ πανταχοῦ φυλάττειν διενοήθη, νομίσας αὐτὸ τοῦτο εἶναι καθ' αὐτὸ νίκης καὶ ἐλευθερίας καὶ πάσης ἄμεινον εὐτυχίας. Ἐὰν μέντοι τις καὶ πυθομένη ὑβρίζεσθαι τὸν ἄνδρα (Deut. 25, 11), πόθῳ τῷ πρὸς ἐκεῖνον ἡττηθεῖσα φιλανδρίας, ὑπὸ τοῦ παραστάντος πάθους ἐξορμῆσαι βιασθῇ, μὴ πλέον τῆς φύσεως ἀρρενούσθω θρασυνομένη, μενέτω δέ, καὶ ἐν οἷς βοηθεῖ, γυνή· πάνδεινον γάρ, εἰ βουλομένη τις ὑπεξελέσθαι τὸν ἄνδρα ὕβρεων ὑβρισθήσεται παρ' αὐτῆς, κατάπλεων ἀποφαινούσης τὸν ἴδιον βίον αἰσχύνης καὶ μεγάλων ὀνειδῶν τῶν ἐπ' ἀνιάτῳ θρασύτητι. Λοιδορηθήσεται γὰρ γυνὴ κατ' ἀγορὰν ῥήματά τε τῶν ἀπηγορευμένων φθέγξεται, ἑτέρου δὲ κακηγοροῦντος οὐκ ἀποδραμεῖται τὰ ὦτα ἐπιφράξασα; Νυνὶ δὲ προβαίνουσί τινες, ὡς μὴ μόνον γλωσσαλγίαις ἐν ἀνδρῶν ὄχλῳ γυναῖκες κακηγορεῖν καὶ προπηλακίζειν, ἀλλὰ καὶ τὰς χεῖρας ἐπιφέρειν, τὰς ὑφάσμασι καὶ ταλασίαις, ἀλλ' οὐ πληγαῖς καὶ ὕβρεσι, καθάπερ παγκρατιαστῶν καὶ πυκτῶν, ἐνασκουμένας. Καὶ τὰ μὲν ἄλλα οἰστὰ καὶ φέρειν ἄν τις δύναιτο· χαλεπὸν δὲ ἐκεῖνο, εἴ τις γυνὴ το-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοῦτον καταθρασύναιτο, ὡς διαδράξασθαι τῶν τοῦ διαφερομένου γεννητικῶν. Μὴ γάρ, παρ' ὅσον ἀνδρὶ βοηθοῦσα δοκεῖ τοῦτο πράττειν, ἀφιέσθω, τῆς δὲ ἄγαν θρασύτητος ἐπεχέσθω τίνουσα δίκην, ὑφ' ἧς αὐτὴ μὲν τὰ ὅμοια ἐξαμαρτάνειν ἐθέλουσα αὖθις οὐκ ἂν δύναιτο, τῶν δὲ ἄλλων ὅσαι προπετέστεραι φόβῳ μετριάσουσιν. Ἔστω δὲ ἡ δίκη χειρὸς ἀποκοπὴ τῆς ἁψαμένης ὧν οὐ θέμις (ib. v. 12). Ἄξιον ἐπαινεῖν καὶ τοὺς τῶν γυμνικῶν ἀγώνων ἀθλοθέτας, οἳ τῆς θέας ἀνεῖρξαν γυναῖκας, ἵνα μὴ γυμνουμένοις ἀνδράσι παρατυγχάνουσαι τὸ δόκιμον αἰδοῦς νόμισμα παρακόπτωσιν, ἀλογοῦσαι φύσεως θεσμῶν, οὓς ὥρισεν ἑκατέρῳ τμήματι τοῦ γένους ἡμῶν. Οὐδὲ γὰρ ἄνδρας ἀποτιθεμένων ἐσθῆτας γυναικῶν εὐπρεπὲς παρατυγχάνειν, ἀλλ' ἑκατέρους τὰς τῶν ἑτέρων ὄψεις ἐκτρέπεσθαι γυμνουμένων, τοῖς τῆς φύσεως βουλήμασιν ἑπομένους. Εἶθ' ὧν ἡ ὄψις ἐπίληπτος, οὐ πολὺ μᾶλλον ὑπαίτιοι χεῖρες; ὀφθαλμοὶ μὲν γάρ, καὶ ἃ μὴ βουλόμεθα, πολλάκις ὁρᾶν ἐπελευθεριάζοντες ὑποβιάζονται, χεῖρες δὲ ἐν τῇ τῶν ὑπηκόων τεταγμέναι τάξει [*] μερῶν, πειθαρχοῦσαι τοῖς ἡμετέροις ἐπιτάγμασιν ὑπηρετοῦσιν.

(*Sensus antecedentis loci altior.*)

32. Ἥδε μὲν αἰτία ἣ παρὰ πολλοῖς εἴωθε λέγεσθαι. Ἑτέρων δὲ ἤκουσα θεσπεσίων ἀνδρῶν, τὰ πλεῖστα τῶν ἐν τοῖς νόμοις ὑπολαμβανόντων εἶναι σύμβολα φανερὰ ἀφανῶν, καὶ ῥητὰ ἀῤῥήτων. Ἦν δὲ τοιάδε. Ψυχῆς, ὥσπερ ἐν ταῖς συγγενείαις, ἡ μέν ἐστιν ἄῤῥην καὶ πρὸς ἀνδρῶν, ἡ δὲ θήλεια καὶ πρὸς γυναικῶν· ἄῤῥην μὲν ἡ μόνῳ θεῷ προσκληροῦσα ἑαυτὴν ὡς πατρὶ καὶ ποιητῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ὅλων καὶ πάντων αἰτίῳ, θήλεια δὲ ἡ ἐκκρεμαμένη τῶν ἐν γενέσει καὶ φθορᾷ, καὶ ἀποτείνουσα καθάπερ χεῖρα τὴν δύναμιν αὐτῆς, ἵνα τυφλῶς τῶν ἐπιτυχόντων ἐφάπτηται, γένεσιν δεξιουμένη τὴν τροπαῖς ἀμυθήτοις χρωμένην καὶ μεταβολαῖς, δέον τὴν ἀμετάβλητον καὶ μακάριον καὶ τρισευδαίμονα θείαν φύσιν. Εἰκότως οὖν τὴν ἐφαψαμένην χεῖρα τῶν διδύμων ἀποκόπτειν (Deut. 25, 12) διείρηται συμβολικῶς, οὐχ ὅπως ἀκρωτηριάζηται τὸ σῶμα στερόμενον ἀναγκαιοτάτου μέρους, ἀλλ' ὑπὲρ τοῦ τῆς ψυχῆς ἀθέους ἐκτέμνειν λογισμούς, ἐπιβάθρᾳ χρωμένους ἅπασιν ὧν γένεσίς ἐστι· δίδυμοι γὰρ σύμβολον σπορᾶς καὶ γενέσεως. Ἑπόμενος δὲ ἀκολουθίᾳ φύσεως καὶ ἐκεῖνο λέξω, ὅτι μονὰς μέν ἐστιν εἰκὼν αἰτίου πρώτου, δυὰς δὲ παθητῆς καὶ διαιρετῆς ὕλης. Ὃς ἂν οὖν δυάδα πρὸ μονάδος τιμήσας δεξιώσηται, μὴ ἀγνοείτω ὕλην ἀποδεχόμενος μᾶλλον ἢ θεόν· ἧς χάριν αἰτίας ἐδικαίωσεν ὁ νόμος ταύτην τὴν ἐπιβολὴν τῆς ψυχῆς ἀποκόπτειν οἷα χεῖρα. Μεῖζον γὰρ οὐκ ἔστιν ἀσέβημα ἢ τῷ παθητῷ τὴν τοῦ δρῶντος ἀνατιθέναι δύναμιν.

*Crimina similia similibus poenis mulctantor. Si quis servo oculum obtuderit.* (33-35.)

33. Μέμψεται δὲ ἄν τις δεόντως τοὺς ἀνόμοια τοῖς ἀδικήμασι τάττοντας ἐπιτίμια κατὰ τῶν εἰργασμένων· ζημίας χρημάτων ἐπ' αἰκίαις, ἢ ἐπὶ τραύμασι καὶ πηρώσεσιν ἀτιμίας, ἢ ἐπ' ἀνδροφονίαις ἑκουσίοις ἐλάσεις ὑπερορίους καὶ τὰς εἰς ἀεὶ φυγὰς ἢ δεσμοὺς ἐπὶ κλοπαῖς. Τὸ γὰρ ἀνώμαλον καὶ ἄνισον ἐχθρὸν πολιτείας ζηλούσης τὴν ἀλήθειαν. Ἰσότητος δὲ ὑφηγητὴς ὁ ἡμέτερος νόμος τὰ ὅμοια κελεύει τοὺς ἁμαρτάνοντας ὑπομένειν οἷς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔδρασαν· ἐκ τῶν οὐσιῶν, ἐὰν περὶ τὰς οὐσίας ἀδικοπραγῶσι τὸν πλησίον· ἐκ τῶν σωμάτων, ἐὰν εἰς τὰ σώματα ἁμαρτάνωσι κατὰ μέρη, ἢ καὶ μέλη καὶ τὰς αἰσθήσεις· καὶ ἂν ἄχρι [*] μέντοι τῆς ψυχῆς ἐπιβουλεύσωσιν, εἰς ψυχὴν τιμωρεῖσθαι κελεύει. Ὑπομένειν γὰρ ἀνθ᾿ ἑτέρων ἕτερα μηδεμίαν ἔχοντα κοινωνίαν, ἀλλὰ τοῖς εἴδεσιν ἀπηρτημένα, καταλυόντων νόμους ἐστίν, οὐ βεβαιούντων. Ταυτὶ δέ φαμεν τῶν ἄλλων οὐχ ὁμοίως ἐχόντων· οὐ γὰρ ταὐτὸν πατρὶ καὶ ἀλλοτρίῳ πληγὰς ἐμφορῆσαι, οὐδ᾿ ἄρχοντα ἢ ἰδιώτην κακῶς εἰπεῖν, οὐδ᾿ ἐργάζεσθαί τι τῶν μὴ ἐφιεμένων ἐν βεβήλοις ἢ ἱεροῖς χωρίοις, οὐδ᾿ ἐν ἑορταῖς καὶ πανηγύρεσι καὶ δημοτελέσι θυσίαις, καὶ πάλιν ἐν ἡμέραις αἷς μηδὲν πρόσεστι τῶν εἰς ἐκεχειρίαν, ἢ καὶ συνόλως ἀποφράσι, καὶ ὅσα ἄλλα τοιουτότροπα διερευνητέον εἰς συναύξησιν ἢ μείωσιν κολάσεως. Πάλιν „Ἐάν τις“ φησιν „ὀφθαλμὸν οἰκέτου ἢ θεραπαίνης ἐκκόψῃ, ἐλευθέρους ἀφιέτω“ (Exod. 21, 26)· διότι ὥσπερ τὴν τοῦ σώματος ἡγεμονίαν ἡ φύσις ἀνῆψε κεφαλῇ, χαρισαμένη καὶ τόπον οἰκειότατον ὡς βασιλεῖ τὴν ἄκραν — ἄνω γὰρ αὐτὴν ἐπ᾿ ἀρχὴν ἀναπέμψασα ἱδρύσατο, καθάπερ ἀνδριάντι βάσιν ὑποθεῖσα τὴν ἀπ᾿ αὐχένος ἄχρι ποδῶν ἅπασαν ἁρμονίαν —, οὕτω καὶ τῶν αἰσθήσεων τὸ κράτος ἀνέδωκεν ὀφθαλμοῖς. Ὑπεράνω γοῦν καὶ τούτοις ὡς ἄρχουσιν ἀπένειμεν οἴκησιν, βουληθεῖσα μὴ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ σημείῳ περισημοτάτῳ καὶ περιφανεστάτῳ τούτους γεραίρειν.

(*Oculos inter et animum cognatio.*)

**34 Τὰς μὲν οὖν χρείας καὶ ὠφελείας, ἃς παρέχονται τῷ γένει ἡμῶν ὀφθαλμοί, μακρὸν ἂν εἴη καταριθμεῖ-**

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σθαι· μίαν δὲ τὴν ἀρίστην λεκτέον. Φιλοσοφίαν ὤμβρησε μὲν οὐρανός, ἐχώρησε δὲ ὁ ἀνθρώπινος νοῦς, ἐξενάγησε δὲ ὄψις· πρώτη γὰρ αὕτη κατεῖδε τὰς λεωφόρους ἀπ' αἰθέρος ὁδούς. Ἀγαθῶν δέ, ὅσα πρὸς ἀλήθειαν ἀγαθά, πηγὴ φιλοσοφία. Ἧς ὁ μὲν ἀρυόμενος εἰς κτῆσιν καὶ χρῆσιν ἀρετῆς ἐπαινετός, ὁ δὲ ἕνεκα πανουργίας καὶ τοῦ *κατασοφίσασθαί* τινα ψεκτός· ἔοικε γὰρ ὁ μὲν ἀνδρὶ συμποτικῷ καὶ ἑαυτὸν καὶ τοὺς συνεστιωμένους εὐφραίνοντι πάντας, ὁ δὲ τῷ ἄκρατον εἰς παροινίαν ἑαυτοῦ τε καὶ τοῦ πλησίον ἐμφορουμένῳ. Ὅτῳ γοῦν τρόπῳ φιλοσοφίαν ἐξενάγησεν ὄψις, ἤδη λεκτέον. Ἀναβλέψασα εἰς αἰθέρα κατεῖδεν ἥλιον καὶ σελήνην καὶ πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, τὴν ἱεροπρεπεστάτην οὐρανοῦ στρατείαν, κόσμον ἐν κόσμῳ· εἶτ' ἀνατολὰς καὶ δύσεις, καὶ χορείας ἐμμελεῖς, καὶ τεταγμένας χρόνων περιόδους, συνόδους, ἐκλείψεις, ἐπιλάμψεις· εἶτ' αὐξήσεις καὶ μειώσεις σελήνης, ἡλίου κινήσεις τὰς κατὰ πλάτος, ἀπὸ μὲν τῶν νοτίων ἐπὶ τὰ βόρεια προσιόντος, ἀπὸ δὲ τῶν βορείων ἐξαναχωροῦντος [*] πρὸς τὰ νότια, εἰς καρπῶν τῶν ἐτησίων γένεσιν, ὡς τὰ πάντα τελεσφορεῖσθαι, καὶ πρὸς τούτοις μυρία ἄλλα θαυμάσια. Καὶ περιαθρήσασα κατά τε γῆν καὶ κατὰ θάλατταν καὶ ἀέρα καὶ τὰ κατὰ τάδε πάντα τῷ νῷ μετὰ σπουδῆς ἐπεδείξατο. Ὁ δὲ ἅπερ οὐχ οἷός τε ἦν δι' αὐτοῦ καταλαβεῖν, δι' ὁράσεως ἰδὼν οὐκ ἐπὶ τῶν ὁραθέντων αὐτὸ μόνον ἔστη, ἀλλ' ἅτε φιλομαθὴς καὶ φιλόκαλος, ἀγάμενος τὴν θέαν, λογισμὸν εἰκότα ἐλάμβανεν, ὅτι ταῦτ' οὐκ ἀπαυτοματισθέντα συνέστη φοραῖς ἀλόγοις, ἀλλὰ διανοίᾳ θεοῦ, ὃν πατέρα καὶ ποιητὴν ὀνομάζειν θέμις· καὶ ὅτι οὐκ ἔστιν ἄπειρα, πεπέρασται δὲ ἑνὸς κόσμου περιγραφῇ, πόλεως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρόπον, τῇ τῶν ἀπλανῶν ἐξωτάτω σφαίρᾳ περιλαμβανόμενα· καὶ ὡς ὁ γεννήσας πατὴρ νόμῳ φύσεως ἐπιμελεῖται τοῦ γενομένου, προνοούμενος καὶ τοῦ ὅλου καὶ τῶν μερῶν. Εἶτα προσεπεσκέψατο, τίς οὐσία τοῦ ὁρατοῦ, καὶ εἰ πάντων ἡ αὐτὴ τῶν κατὰ κόσμον ἢ ἑτέρα ἑτέρων, καὶ ἐκ τίνων ἕκαστα ἐτελέσθη, καὶ τὰς αἰτίας δι' ἃς ἐγένετο, καὶ δυνάμεις αἷς συνέχεται καὶ πότερον αὗται σώματα ἢ ἀσώματοι. Ἡ γὰρ περὶ τούτων καὶ τῶν παραπλησίων ἔρευνα τί ἂν ἄλλο ἢ φιλοσοφία προσαγορεύοιτο; τί δὲ τῷ σκοπουμένῳ ταῦτα θεῖτο ἄν τις οἰκειότερον ὄνομα ἢ φιλόσοφον; Τὸ γὰρ περὶ θεοῦ σκοπεῖν καὶ κόσμου καὶ τῶν ἐν αὐτῷ κοινῶς ζώων τε καὶ φυτῶν, καὶ περὶ νοητῶν παραδειγμάτων καὶ πάλιν αἰσθητῶν ἀποτελεσμάτων, καὶ τῆς καθ' ἕκαστον τῶν γεγονότων ἀρετῆς τε καὶ κακίας, φιλομαθῆ καὶ φιλοθεάμονα καὶ τῷ ὄντι φιλόσοφον διάθεσιν ἐμφαίνει. Μέγιστον δὴ τοῦτο τῶν βροτῶν ἀνθρώπων ἀγαθὸν ὄψις παρέχεται. Δοκεῖ δέ μοι ταύτης ἠξιῶσθαι τῆς προνομίας, ἐπειδὴ τῶν ἄλλων αἰσθήσεων συγγενεστέρα ψυχῇ καθέστηκεν· ἅπασαι μὲν γὰρ τὴν πρὸς διάνοιαν ἔχουσιν οἰκειότητα, αὕτη δὲ καθάπερ ἐν ταῖς οἰκίαις τὴν ἐγγυτάτω γένους πρώτην καὶ ἀνωτάτω τάξιν εἴληχε. Τεκμηριώσαιτο δὲ ἄν τις ἐκ πολλῶν. Τίς γὰρ οὐκ οἶδεν, ὅτι χαιρόντων μὲν ὀφθαλμοὶ γάννυνται καὶ μειδιῶσι, λυπουμένων δὲ συννοίας γέμουσι καὶ κατηφείας; Εἰ δὲ πλεονάσαν καὶ πιέζοι καὶ ἀναθλίβοι τὸ ἄχθος, ἐκδακρύουσι, καὶ κρατούσης μὲν ὀργῆς οἰδοῦσι καὶ ὕφαιμον καὶ πυρωπὸν ἐμβλέπουσιν, ἵλεων δὲ καὶ εὐμενές, εἰ χαλάσαι ὁ θυμός. Καὶ ἐν μὲν τῷ λογίζεσθαι ἢ σκοπεῖν πεπήγασιν αἱ κόραι τρόπον τινὰ συννοοῦσαι· τῶν δὲ εὐηθεστέρων πλάζεται ἀπὸ ἠλιθιότητος καὶ ἡ ὅρασις οὐκ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἠρεμοῦντα. [*] Καὶ συνόλως τοῖς τῆς ψυχῆς πάθεσι συμπάσχουσιν ὀφθαλμοί, καὶ ταῖς ἀμυθήτοις τροπαῖς συμμεταβάλλειν πεφύκασι διὰ τὴν οἰκειότητα· δοκεῖ γάρ μοι μηδὲν οὕτως ὁ θεὸς ἐμφανὲς ἐμφανοῦς ἐργάσασθαι μίμημα, ὡς ὄψιν λογισμοῦ.

*(Hinc poena crimini consentanea.)*

35. Ἐάν τις οὖν εἰς τὴν ἀρίστην καὶ ἡγεμονικωτάτην τῶν αἰσθήσεων ὅρασιν ᾖ ἐπιβεβουλευκὼς καὶ καταφανῆ μὲν ἐλευθέρου ὀφθαλμὸν ἐκκόψας, τὰ αὐτὰ ἀντιπασχέτω· δούλου δέ, μή. Οὐχ ὅτι συγγνώμης ἐστὶν ἄξιος ἢ ἔλαττον ἀδικεῖ, ἀλλ' ὅτι πονηροτέρῳ χρήσαιτο ἂν ὁ πεπονθὼς τῷ δεσπότῃ ἀντιπηρωθέντι, μνησικακήσοντι τῆς συμφορᾶς τὸν ἀεὶ χρόνον, καὶ ἀμυνουμένῳ καθ' ἑκάστην ἡμέραν ὡς ἐχθρὸν ἄσπονδον ἀφορήτοις καὶ βαρυτέροις τῆς δυνάμεως ἐπιτάγμασιν, οἷς πιεζόμενος καὶ τὴν ψυχὴν ἀποῤῥήξει. Προενόησεν οὖν ὁ νόμος τοῦ μήτε τὸν ἐπιβεβουλευκότα ἀθῷον ἀφεθῆναι, μήτε τὸν πεπηρωμένον προσαδικηθῆναι, κελεύσας, ἵνα, εἴ τις ἐκκόψῃ θεράποντος ὀφθαλμόν, ἀνενδοιάστως ἐλευθερίας μεταδιδῷ. Οὕτω γὰρ ὁ μὲν ἀνθ' ὧν ἔδρασε διττὴν ἐνδέξεται ζημίαν, ἅμα τῇ τιμῇ καὶ τὴν ὑπηρεσίαν ἀφαιρεθείς, καὶ τρίτον ἑκατέρου τῶν λεχθέντων χαλεπώτερον, ἀναγκαζόμενος ἐν τοῖς μεγίστοις εὐεργετεῖν ἐχθρόν, ὃν ἴσως ηὔχετο κακοῦν ἀεὶ δύνασθαι· ὁ δὲ ἀνθ' ὧν ὑπέμεινε παρηγορίαν ἕξει διπλῆν, οὐ μόνον ἐλευθερωθείς, ἀλλὰ καὶ ἀργαλέον καὶ ὠμὸν δεσπότην ἐκφυγών.

*Si quis servo dentem excusserit.*

36. Προστάττει δὲ καὶ ἄν τις ὀδόντα θεράποντος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκκόψῃ, ἐλευθερίαν χαρίζεσθαι τῷ θεράποντι. Διὰ τί; Ὅτι ζωὴ μὲν τίμιον, ὄργανα δὲ ζωῆς ἐπεστήσατο ἡ φύσις ὀδόντας, οἷς τὴν τροφὴν οἰκονομεῖσθαι συμβέβηκεν. Ὀδόντες δὲ οἱ *τομεῖς* τοῦ τέμνειν σιτία καὶ ὅσα ἄλλα ἐδώδιμα, διὰ τοῦτο ταύτης τῆς προσηγορίας ἀξιωθέντες· οἱ δὲ μύλαι τοῦ τὰ διατμηθέντα εἰς *λεῖα* λεαίνειν δύνασθαι. Παρ' ἣν αἰτίαν ὁ ποιητὴς καὶ πατήρ, οὐδὲν εἰωθὼς δημιουργεῖν ὃ μὴ πρός τινι τετάχθαι χρείᾳ, τοὺς ὀδόντας οὐχ, ὥσπερ τῶν ἄλλων μερῶν ἕκαστον, κατὰ τὴν πρώτην γένεσιν εὐθὺς εἰργάζετο, διανοηθεὶς ὅτι βρέφει μὲν γαλακτοτροφεῖσθαι μέλλοντι περιττὸν ἄχθος γενήσονται, μαστοῖς δὲ πηγάζουσιν, οἷς ἀρδεύεται ἡ τροφή, χαλεπὴ ζημία κατὰ τὴν ὁλκὴν τοῦ γάλακτος ὀδαξωμένοις. Τὸν ἐπιτήδειον οὖν καιρὸν προϊδόμενος = ἔστι δὲ οὗτος ἡνίκα τὸ βρέφος ἀπότιτθον γίνεται = τὴν ἔκφυσιν τῶν ὀδόντων, ἣν ἐταμιεύσατο πρότερον, ἀνέφηνεν, ἤδη τῆς τελειοτέρας ἀνέχεσθαι τροφῆς ὀργάνων ἂν εἶναι δεομένης, τὴν διὰ τοῦ γάλακτος ἀποστρεφομένης. Ἐὰν οὖν τις αἴξας ἀλαζονείᾳ [*] θεράποντος ὀδόντα ἐκκόψῃ, τὸν ὑπηρέτην καὶ ὑποδιάκονον τῶν ἀναγκαιοτάτων, τροφῆς τε καὶ ζωῆς, ἐλευθερούτω τὸν ἀδικηθέντα, στερόμενος αὐτὸς τῆς ἐκ τοῦ πεπονθότος λατρείας τε καὶ ὑπηρεσίας. Ἰσότιμον οὖν, φησί τις, ὀδοὺς ὀφθαλμῷ; Πρὸς ὃ γέγονεν ἑκάτερον, εἴποιμ' ἄν, ἰσότιμον· πρὸς μὲν τὸ ὁρᾶν τοὺς ὀφθαλμούς, πρὸς δὲ τὰ ἐδώδιμα ὀδούς. Εἰ δὲ καὶ συγκρῖναί τις ἐθελήσει, τιμιώτατον μὲν εὑρήσει τῶν ἐν σώματι μερῶν ὀφθαλμὸν ὑπὸ θεωρὸν ὄντα τοῦ τιμιωτάτου τῶν κατὰ κόσμον, οὐρανοῦ, χρήσιμον δὲ ὀδόντα, ὡς ἀνατροφῆς, τοῦ χρησιμωτάτου πρὸς τὸ ζῆν, ἐργάτην. Καὶ ὁ μὲν τὰς ὄψεις ἀποβαλὼν οὐ κεκώλυται βιοῦν, τῷ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἐκκοπέντι τοὺς ὀδόντας ἐφεδρεύει θάνατος οἴκτιστος. Εἰ δή τις ἐπιβουλεύοι περὶ τὰ μέρη ταῦτα τοῖς οἰκέταις, μὴ ἀγνοείτω λιμὸν ἐν εὐθηνίᾳ καὶ εὐετηρίᾳ κατασκευάζων τούτοις χειροποίητον· τί γὰρ ὄφελος ἀφθονίαν μὲν εἶναι τροφῶν, τὰ δὲ πρὸς τὴν διοίκησιν αὐτῶν ὄργανα σεσυλῆσθαι καὶ ἀποβεβληκέναι, χαλεπῶν ἕνεκα καὶ ἀμειλίκτων καὶ ὠμοθύμων δεσποτῶν; Διὰ τοῦτο καὶ ἑτέρωθι (Deut. 24, 6) παρὰ χρεωστῶν ἀπαγορεύει δανεισταῖς μύλον ἢ ἐπιμύλιον ῥύσιον αἰτεῖν, ἐπειπών, ὅτι ὁ τοῦτο δρῶν ψυχὴν ἐνεχυριάζει· ὁ γὰρ τὰ τοῦ ζῆν ὄργανα ἀφαιρούμενος ἐπ᾽ ἀνδροφονίαν ἵεται, μέχρι καὶ ψυχῆς ἐπιβουλεύειν διανοηθείς.

*Cur impurus sit, qui cadaver hominis defuncti attigerit.*

37. Τοσαύτην δὲ πρόνοιαν ἐποιήσατο τοῦ μηδένα παραίτιόν τινι γενέσθαι θανάτου, ὡς καὶ τοὺς προσαψαμένους νεκροῦ σώματος, ὃ τελευτὴν ἐνδέδεκται τὴν κατὰ φύσιν, οἴεται δεῖν μὴ εὐθὺς εἶναι καθαρούς, μέχρις ἂν περιῤῥανάμενοι καὶ ἀπολουσάμενοι καθαρθῶσιν (Num. 19, 11 ss.). Εἰς μέντοι τὸ ἱερὸν οὐδὲ τοῖς σφόδρα καθαροῖς ἐφῆκεν εἰσιέναι ἐντὸς ἡμερῶν ἑπτά, τρίτῃ καὶ ἑβδόμῃ κελεύσας ἀφαγνίζεσθαι. Ἔτι μέντοι καὶ τοῖς εἰσιοῦσιν εἰς οἰκίαν, ἐν ᾗ τετελεύτηκέ τις, προστάττει μηδενὸς ἅπτεσθαι μέχρις ἂν ἀπολούσωνται, καὶ τὰς ἐσθῆτας αἷς ἀμπίσχοντο προσαποπλύναντες. Σκεύη δὲ καὶ ἔπιπλα καὶ ὅσα ἄλλα ἔνδον εἶναι συμβέβηκε, πάνθ᾽ ὡς ἔπος εἰπεῖν ἀκάθαρτα ἡγεῖται. Ψυχὴ γὰρ ἀνθρώπου τίμιον, ἧς μετανισταμένης καὶ μετοικιζομένης τὰ ἀπολειφθησόμενα πάντα μιαίνεται, στερόμενα θείας εἰκόνος, ἐπειδὴ θεοειδὴς ὁ ἀνθρώπινος νοῦς, πρὸς ἀρχέτυπον ἰδέαν, τὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνωτάτω λόγον, τυπωθείς. Ἔστω δέ, φησίν, ἀκάθαρτα καὶ τὰ ἄλλα ὅσων ἂν ὁ ἀκάθαρτος προςάψηται, μετουσίᾳ τοῦ μὴ καθαροῦ μιαινόμενα. Καθολικωτέραν δὲ ἀπόφασιν ὁ χρησμὸς οὗτος ἔοικε παραδηλοῦν, οὐκ ἐπὶ σώματος αὐτὸ μόνον ἱστάμενος, ἀλλ' ἤδη καὶ τρόπους προςδιερευνώμενος ψυχῆς. Ἀκάθαρτος γὰρ κυρίως ὁ ἄδικος καὶ ἀσεβής, ὅτῳ μήτε τῶν ἀνθρωπίνων μήτε [*] τῶν θείων αἰδώς τις ἔρχεται, πάντα φύρων καὶ συγχέων διά τε τὰς ἀμετρίας τῶν παθῶν καὶ τὰς τῶν κακιῶν ὑπερβολάς, ὥστε, ὧν ἂν ἐφάψηται πραγμάτων, πάντα ἐστὶν ἐπίληπτα τῇ τοῦ δρῶντος συμμεταβάλλοντα μοχθηρίᾳ. καὶ γὰρ κατὰ τὸ ἐναντίον αἱ πράξεις τῶν ἀγαθῶν ἐπαινεταί, βελτιούμεναι ταῖς τῶν ἐνεργούντων ἀρεταῖς, ἐπειδὴ πέφυκέ πως τὰ γινόμενα τοῖς δρῶσιν ἐξομοιοῦσθαι.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΤΩΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ ΕΝ ΕΙΔΕΙ ΝΟΜΩΝ ΕΙΣ ΤΡΙΑ ΓΕΝΗ ΤΩΝ ΔΕΚΑ ΛΟΓΩΝ,

ΤΟ Η̄ ΚΑΙ ΤΟ Θ̄ ΚΑΙ ΤΟ Ῑ, ΤΟ ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΠΙΚΛΕΠΤΕΙΝ ΚΑΙ ΨΕΥΔΟΜΑΡΤΥΡΕΙΝ ΚΑΙ ΜΗ ΕΠΙΘΥΜΕΙΝ ΚΑΙ ΤΩΝ ΕΙΣ ΕΚΑΣΤΟΝ ΑΝΑΦΕΡΟΜΕΝΩΝ.

ΚΑΙ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ Η ΠΑΣΙ ΤΟΙΣ ΛΟΓΙΚΟΙΣ ΕΦΑΡΜΟΖΕΙ Ο ΕΣΤΙ ΤΗΣ ΣΥΝΤΑΞΕΩΣ.

---

# DE SPECIALIBUS LEGIBUS

QUAE

REFERUNTUR AD TRIA DECALOGI CAPITA,

NIMIRUM OCTAVUM, NONUM ET DECIMUM: DE NON COMMITTENDIS FURTI, FALSI TESTIMONII ET CONCUPISCENTIAE CRIMINIBUS.

LIB. IV.

QUIN ET DE IUSTITIA QUAE CUM OMNIBUS IN UNIVERSUM DECALOGI PRAECEPTIS COGNATIONEM HABET.

---

[II, 335.]

## *Περὶ κλοπῆς.*

1. Τὰ μὲν ἐπὶ μοιχείᾳ καὶ ἀνδροφονίᾳ καὶ ὅσα ἑκατέρῳ τούτων ὑποστέλλει νόμιμα, μεθ' ἁπάσης ἀκρι-

θείας, ὥς γε ἐμαυτὸν πείθω, λέλεκται πρότερον. Τὸ δὲ ἑπόμενον τῇ τάξει συνεπισκεπτέον, ὅ τι τρίτον μέν ἐστι τῶν ἐπὶ τῇ δευτέρᾳ στήλῃ, ταῖς δὲ ἐν ἀμφοτέραις ὄγδοον, περὶ τοῦ μὴ κλέπτειν (Exod. 20, 15 [13]). Ὃς ἂν ἄγῃ ἢ φέρῃ τὰ ἑτέρου, μὴ δέον, ἐὰν μὲν βίᾳ καὶ φανερῶς τοῦτο ποιῇ, κοινὸς ἀναγραφέσθω πολέμιος, [*] παρανομίᾳ συνυφαίνων ἀναίσχυντον θράσος· ἐὰν δὲ κρύφα λανθάνειν ἐπιχειρῶν, φωρὸς τρόπον, αἰδῶ προκάλυμμα ποιούμενος τῶν ἁμαρτημάτων [καὶ] τὸ σκότος, ἰδίᾳ κολαζέσθω μόνον ὧν ὑπόδικος ὢν ἐπεχείρησε βλάπτειν, καὶ κατατιθέσθω διπλοῦν τὸ φορίον (Ib. 22, 3), ἄδικον ὠφέλειαν ἀξιώμενος βλάβῃ δικαιοτάτῃ. Κἂν δὲ ἄπορος ὢν ἐκτίνειν ἀδυνατῇ τό γε ἐπιτίμιον, πιπρασκέσθω — θέμις γὰρ ἐλευθερίας στερεῖσθαι τὸν ὑπομείναντα κέρδους παρανομωτάτου δοῦλον εἶναι —, ἵνα μηδὲ ὁ πεπονθὼς κακῶς ἀπαρηγόρητος ἀφεθεὶς διὰ τὴν τοῦ κεκλοφότος ἀχρηματίαν ὀλιγωρεῖσθαι δοκῇ. Ἀλλὰ μηδεὶς ἀπανθρωπίαν καταγνώτω τοῦ πράγματος· ὁ γὰρ πραθεὶς οὐκ εἰς ἅπαν ἔσται δοῦλος, ἀλλ' ἐντὸς ἑπταετίας ἀπαλλάττεται κοινῷ κηρύγματι, καθάπερ ἐν τοῖς περὶ ἑβδομάδος ἐδήλωσα. Καὶ ἀγαπάτω διπλοῦν ἐκτείνων τὸ φορίον ἢ καὶ πιπρασκόμενος, ἀδικῶν οὐκ ὀλίγα· πρῶτον μέν, ὅτι τοῖς οὖσιν οὐκ ἀρκούμενος περιττοτέρων ὀρέγεται, πλεονεξίαν, ἐπίβουλον καὶ δυσίατον πάθος, ἐπιτειχίζων· δεύτερον δέ, ὅτι τοῖς ἀλλοτρίοις προσοφθαλμιῶν καὶ ἐπικεχηνὼς τὰς ἐπὶ νοσφισμῷ πάγας τίθησι, τοὺς κυρίους ὧν ἔχουσιν ἀμειρόμενος· τρίτον δέ, ὅτι καὶ λανθάνειν *ἐπιτηδεύων τὰς* ἐκ τοῦ πράγματος ὠφελείας μόνος ἔστιν ὅτε καρποῦται, τὰ δὲ ἐγκλήματα τρέπει πρὸς τοὺς ἀναιτίους, τυφλὴν ἀπεργαζόμενος τὴν ἔρευναν τῆς

ἀληθείας. Ἔοικε δέ πως καὶ αὐτὸς ἑαυτοῦ κατηγορεῖν, ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος ἐν οἷς ὑφαιρεῖται λάθρα, πάντως αἰσχυνόμενος ἢ εὐλαβούμενος· ὧν τὸ μέν ἐστι σημεῖον τοῦ τὴν πρᾶξιν αἰσχρὰν ὑπειληφέναι — τὰ γὰρ αἰσχρὰ αἰσχύνην ἐπιφέρει —, τὸ δὲ τῆς κολάσεως ἄξιον νομίζεσθαι, δέος γὰρ ἐμποιοῦσιν αἱ κολάσεις.

### *Κατὰ τοιχωρύχων.*

2. Ἐάν τις ἔρωτι τῶν ἀλλοτρίων ἐπιμανεὶς κλέπτειν ἐπιχειρῇ, καὶ μὴ δυνάμενος εὐπετῶς ὑφαιρεῖσθαι τοιχωρυχῇ νύκτωρ, προκάλυμμα ποιούμενος ὧν ἀδικεῖ τὸ σκότος, ἁλοὺς μὲν ἐπ' αὐτοφώρῳ, πρὶν ἥλιον ἀνισχεῖν, ἐν αὐτῷ τῷ διορύγματι πρὸς τοῦ δεσπότου τῆς οἰκίας ἀναιρείσθω· τὸ μὲν προηγούμενον [*] ἔργον ἔλαττον ἐργαζόμενος, κλοπήν, τὸ δὲ ἑπόμενον μεῖζον, ἀνδροφονίαν, *διώκων, τοῖς* ὀρυκτῆρσιν οἷς ἐπιφέρεται σιδηροῖς καὶ ἑτέροις ὅπλοις ἀμύνεσθαι παρεσκευασμένος. Εἰ δὲ ἥλιος ἀνάσχοι, μηκέθ' ὁμοίως αὐτοχειρίᾳ κτεινέσθω, πρὸς δὲ τοὺς ἄρχοντας καὶ δικαστὰς ἀγέσθω, δώσων δίκας, ἃς ἂν ἐπικελεύωσιν αὐτοί. Νύκτωρ μὲν οἴκοι διατριβόντων καὶ τετραμμένων πρὸς ἀνάπαυλαν ἀρχόντων ὁμοῦ καὶ ἰδιωτῶν οὐδεμία τῷ πλημμελουμένῳ καταφυγὴ πρὸς βοήθειαν, ὅθεν αὐτὸς ἔστω κύριος τῆς τιμωρίας, ὑπὸ τοῦ καιροῦ κατασταθεὶς ἄρχων καὶ δικαστής. Μεθ' ἡμέραν *δὲ* ἀναπέπταται δικαστήρια καὶ βουλευτήρια, ἐπλήθυνέν *τε* τῶν συλληψομένων ἡ πόλις· ὧν οἱ μὲν φύλακες τῶν νόμων κεχειροτόνηνται, οἱ δὲ ἄνευ χειροτονίας, μισοπονήρῳ πάθει τὴν ὑπὲρ τῶν ἠδικημένων τάξιν αἱροῦνται, πρὸς οὓς τὸν κλέπτην ἀκτέον. Οὕτως γὰρ τὰς ἐπ' αὐθαδείᾳ καὶ προπετείᾳ φεύγων αἰτίας δημοκρατι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κώτερον αὐτῇ δόξει βοηθεῖν. Κἂν ὑπὲρ γῆς ὄντος ἡλίου τὸν φωρᾶ τις αὐτοχειρίᾳ κτείνῃ πρὸ δίκης, ἔνοχος ἔστω, θυμὸν λογισμοῦ προτιμήσας, καὶ τοὺς νόμους τῆς ἰδίας ἐπιθυμίας ἐν ὑστέρῳ θείς. Μὴ γάρ, ἐπειδὴ νύκτωρ ἠδίκηται, φαίην ἄν, ὦ οὗτος, ὑπὸ κλέπτου, διὰ τοῦτο μεθ' ἡμέραν κλοπὴν αὐτὸς ἀπεργάζου χαλεπωτέραν, οὐ τὴν ἐν τοῖς χρήμασιν, ἀλλὰ τὴν ἐν τοῖς δικαίοις, καθ' ἃ συμβαίνει τὴν πολιτείαν διατετάχθαι;

## Περὶ κλοπῆς προβάτου καὶ βοός.

3. Τὰ μὲν οὖν ἄλλα φωρία εἴρηται διπλῇ καταθεῖναι. Βοῦν δὲ ἢ πρόβατον εἴ τις ὑφέλοιτο, μείζονος ἠξίωσε δίκης, προνομίαν διδοὺς ζῴοις, ἃ καλλιστεύει τῶν ἐν ταῖς ἡμέραις ἀγέλαις οὐ μόνον εὐμορφίᾳ σώματος, ἀλλὰ καὶ ταῖς ἐπὶ τὸν ἀνθρώπινον βίον ὠφελείαις. Ἧς χάριν αἰτίας οὐδὲ ἐπ' ἀμφοῖν τὴν ποσότητα τῶν ἐπιτιμίων ἴσην ὥρισεν, ἀλλὰ τὰς χρείας διαριθμησάμενος, ὧν ἑκάτερον παρέχεται τῶν διῃρημένων. Κελεύει γὰρ τέτταρα μὲν πρόβατα ἀποτίνειν, βοῦς δὲ πέντε τὸν κλέπτην ἀνθ' ἑνὸς τοῦ ὑφαιρεθέντος· ἐπειδὴ πρόβατον μὲν φέρει δασμοὺς τέτταρας, γάλα καὶ τυρὸν καὶ ἔρια καὶ ἐτήσιον ἄρνα· ὁ δὲ βοῦς πέντε, τρεῖς μὲν τοὺς αὐτοὺς ἐν γάλακτι καὶ τυρῷ καὶ γεννήμασι, δύο δὲ ἐξαιρέτους, ἄροτον γῆς καὶ ἀλοητόν, ὧν ὁ μὲν ἐστιν ἀρχὴ σπορᾶς καρπῶν, [*] ὁ δὲ τέλος, εἰς κάθαρσιν τῶν συγκομισθέντων πρὸς ἑτοιμοτέραν τροφῆς χρῆσιν.

## Περὶ ἀνδραποδιστῶν.

4. Κλέπτης ἐστὶ καὶ ὁ ἀνδραποδιστής, ἀλλὰ τοῦ πάντων ἀρίστου, ὅσα ἐπὶ γῆς εἶναι συμβέβηκεν. Τὰ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὖν ἄψυχα καὶ τῶν ζώων ἃ μὴ μεγάλας ὠφελείας παρέχεται τῷ βίῳ, διπλᾶ προστέταχεν ἀποδίδοσθαι παρὰ τῶν φερομένων τοῖς κυρίοις, ὡς ἐλέχθη πρότερον. Καὶ πάλιν τετραπλάσια καὶ πενταπλάσια ἐν ταῖς ἡμερωτάταις ἀγέλαις βοῶν τε καὶ προβάτων. Ἄνθρωπος δέ, ὡς ἔοικε, τὸν καλλιστεύοντα κλῆρον ἔλαχεν ἐν ζώοις, ἀγχίσπορος ὢν θεοῦ καὶ ἐγγενὴς κατὰ τὴν πρὸς λόγον κοινωνίαν, ὃς αὐτόν, καίτοι θνητὸν ὄντα, ἀπαθανατίζει. Διὸ καὶ πᾶς, ᾧτινι ζῆλος ἀρετῆς εἰσέρχεται, τραχύς ἐστιν ὀργὴν καὶ παντελῶς ἀμείλικτος κατ' ἀνδραποδιστῶν, οἳ δουλείαν ἕνεκα κέρδους ἀδικωτάτου τοῖς γένει μὲν ἐλευθέροις, φύσεως δὲ μετέχουσι τῆς αὐτῆς ἐπάγειν τολμῶσιν. Εἰ γὰρ ἐπαίνετον πρᾶγμα δεσπόται ποιοῦσιν, οἰκοτρίβας καὶ ἀργυρωνήτους, πολλάκις οὐκ ἐν μεγάλοις ὀνήσαντας, τῆς κατεχούσης δουλείας ἀπαλλάττοντες ἕνεκα φιλανθρωπίας ᾗ κέχρηνται, πόσης ἄξιοι κατηγορίας τυγχάνειν εἰσὶν οἱ τὸ πάντων ἄριστον κτῆμα, τὴν ἐλευθερίαν, ἀναφαιρούμενοι τοὺς ἔχοντας, ὑπὲρ ἧς ἀποθνήσκειν καλὸν τοῖς γεννηθεῖσιν εὖ καὶ τραφεῖσιν; Ἤδη τινὲς τὴν σύμφυτον μοχθηρίαν συναύξοντες καὶ τὸ ἐπίβουλον αὐτῶν ἦθος τρέποντες εἰς τὸ ἄσπονδον οὐκ ἐπ' ἀλλοδαποῖς μόνον καὶ ἀλλογενέσιν ἀνδραποδισμὸν κατεσκεύασαν, ἀλλὰ καὶ τοῖς ἀπὸ τοῦ αὐτοῦ ἔθνους, ἔστι δὲ ὅτε καὶ δημόταις καὶ φυλέταις, ἀλογήσαντες κοινωνίας νόμων τε καὶ ἐθῶν, οἷς ἐκ πρώτης ἡλικίας ἐνετράφησαν, ἅπερ βεβαιοτάτην ταῖς ψυχαῖς εὔνοιαν ἐνσφραγίζει τῶν μὴ λίαν ἀτιθάσσων καὶ μὴ ἐπιτηδευόντων ὠμότητα· οἳ χάριν κέρδους ἐκνομωτάτου πιπράσκουσιν *ἀνδραποδοκαπήλοις* καὶ οἷς ἂν τύχῃ δουλεύσοντας, ἐπὶ ξένης ἀνεπάκτου, μηδ' ὄναρ τὸ τῆς πατρίδος ἔδαφος ἔτι προσκυνήσοντας ἢ χρηστῆς ἀπο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γευσομένους ἐλπίδος. Ἧττον γὰρ ἂν ἠδίκουν ὑπηρετούμενοι πρὸς τῶν ἀνδραποδισθέντων· νυνὶ δὲ διπλάσιον ἀδίκημα δρῶσιν ἀπεμπολοῦντες, ἀνθ' ἑνὸς δύο δεσπότας καὶ διττὰς δουλείας ἐπιτειχίζοντες ἐφέδρους. Αὐτοὶ μὲν γάρ, ἐπιστάμενοι τὴν παλαιὰν εὐτυχίαν τῶν ὑπηγμένων, ἴσως ἂν μετανοήσειαν ὀψὲ λαβόντες οἶκτον τῶν ἐπταικότων, [*] τὸ τῆς ψυχῆς ἄδηλον καὶ ἀτέκμαρτον καταιδεσθέντες· οἱ δὲ πριάμενοι, δι' ἄγνοιαν τοῦ γένους, ὡς ἐκ πατέρων καὶ προπάππων οἰκετῶν ὀλιγωρήσουσιν, οὐδὲν ἀγωγὸν ἐν ταῖς ψυχαῖς ἔχοντες εἰς ἡμερότητα καὶ φιλανθρωπίαν, ἣν εἰκὸς ἐπὶ τοῖς ἐλευθέροις σώζεσθαι φύσει. Δίκη δὲ ἔστω κατὰ μὲν τῶν ἑτερογενῶς ἀνδραποδισαμένων, ἣν ἂν τιμήσηται τὸ δικαστήριον· κατὰ δὲ τῶν τοὺς *ὁμοφύλους* πρὸς τῷ ἀνδραποδίσασθαι καὶ πεπρακότων θάνατος ἀπαραίτητος. Ἤδη γὰρ οὗτοί γε συγγενεῖς εἰσιν οὐ πόρρω ἀφ' αἵματος, *κατὰ μείζονα περιγραφὴν* γειτνιῶντες.

## Περὶ βλάβης.

5, „Καὶ ἐν ἀγρῷ," καθάπερ εἶπέ τις τῶν πάλαι, „φύονται δίκαι," ἐπειδὴ πλεονεξίαι καὶ ὁ τῶν ἀλλοτρίων ἵμερος οὐκ ἐν ἄστει μόνον, ἀλλὰ καὶ ἔξω πόλεώς ἐστιν, ἅτε μὴ τόπων διαφοραῖς, ἀλλὰ διανοίαις ἀκορίστων καὶ φιλαπεχθημόνων ἀνδρῶν ἐνιδρυμένος. Ἀφ' ὧν καὶ τῶν πόλεων αἱ εὐνομώταται διττοὺς ἐπιμελητὰς καὶ ἄρχοντας αἱροῦνται τῆς κοινῆς εὐκοσμίας καὶ ἀσφαλείας, τοὺς μὲν ἐντὸς τοῦ τείχους, οὓς ἀστυνόμους προσαγορεύουσι, τοὺς δὲ ἐκτός, οἷς ὄνομα οἰκεῖον ἐπιτίθενται· καλοῦσι γὰρ αὐτοὺς ἀγρονόμους. Ἀγρονόμων δὲ τίς ἂν ἦν χρεία, εἰ μὴ καὶ ἐν τοῖς χωρίοις ἦσάν τινες ἐπὶ λύμῃ τῶν πλησίον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

[illegible]

κλοπῆς, ὁ δὲ ἴδιος καὶ ἐξαίρετος διὰ θανάτου. Λέλεκται μὲν οὖν περὶ τοῦ προτέρου, χρὴ δὲ καὶ περὶ τοῦ δευτέρου προσνομοθετεῖν. Ἐὰν οὖν *παρακαταθήκης* θρέμματα τελευτήσῃ, μεταπεμπέσθω τὸν ἐπιτρέψαντα ὁ λαβὼν καὶ ἐπιδεικνύτω, φαύλης ὑπονοίας ῥυόμενος ἑαυτόν. Εἰ δὲ ἔκδημος ὢν τυγχάνοι, καλεῖν μὲν ἑτέρους οὐχ ἁρμόττον, οὓς λανθάνειν ἐσπούδασεν ὁ πιστεύσας, ὀμνύναι δὲ ἀναγκαῖον ἐπανήκοντι περὶ τοῦ μὴ ἐπισκιάζειν εἰρημένῳ θανάτῳ νοσφισμὸν ἄδικον. Ἐὰν δὲ λάβῃ τις μὴ ὡς παρακαταθήκην, ἀλλ' ἕνεκα τοῦ χρήσασθαι δεόμενος, σκεῦος ἢ ζῷον, ἔπειτα εἰ τὰ ἀμφότερα κλαπείη ἢ τὸ ζῷον ἀποθάνοι, συνδιατρίβοντος μὲν τοῦ χρήσαντος ὁ λαβὼν ὑπόδικος οὐκ ἂν γένοιτο, τοῦ μὴ σκήπτεσθαι μάρτυρι χρώμενος ἐκείνῳ, μὴ συνδιατρίβοντος δὲ ἀποτινέτω. Διὰ τί; Ὅτι ἐνδέχεται μὴ παρόντος τοῦ κυρίου τὸν χρησάμενον ἢ πόνοις συνεχέσι ἀποτρῦσαι τὸ ζῷον ὡς ἀποκτεῖναι, ἢ παραρρῖψαι [*] τὸ σκεῦος ὀλιγωρήσαντα τοῦ ἀλλοτρίου, ταμιεύειν δέον καὶ μὴ παρέχειν εὐμάρειαν εἰς ὑφαίρεσιν κλέπταις. Ἀκολουθίαν δέ, εἴ τις ἄλλος, δεινὸς ὢν θεάσασθαι πραγμάτων, ἀπαγορεύσεις ἐπαλλήλους ἑξῆς νομοθετεῖ, στοχαζόμενος εἱρμοῦ καὶ συνῳδὰ τοῖς προτέροις τὰ ἑπόμενα συνυφαίνων. Τὴν δὲ τῶν λέγεσθαι μελλόντων ἁρμονίαν χρησμῷ θεσπισθῆναί φησιν ἐκ προσώπου τοῦ θεοῦ τὸν τρόπον τοῦτον· „Οὐ κλέψετε, οὐ ψεύσεσθε καὶ οὐ συκοφαντήσετε τοὺς πλησίον ὑμῶν. Καὶ οὐκ ὀμεῖσθε ἐπὶ τῷ ὀνόματί μου ἐπ' ἀδίκῳ, καὶ τὸ ἐμὸν ὄνομα οὐ βεβηλώσετε" (Lev. 19, 11 s.) — παγκάλως καὶ σφόδρα παιδευτικῶς. Ὅ τε γὰρ κλέπτης ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενος ἀρνεῖται καὶ ψεύδεται, δεδιὼς τὰς ἐκ τοῦ ὁμολογῆσαι τιμωρίας· ὅ τε ἀρνούμε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νος ἑτέρῳ σπουδάζει προσβάλλειν τὸ ἔγκλημα συκοφαντῶν, καὶ τέχνας ἐπινοεῖ δι' ὧν εὔλογον εἶναι δόξει τὸ συκοφάντημα. Πᾶς τε συκοφάντης εὐθύς ἐστιν ἐπίορκος, ὀλίγα φροντίζων εὐσεβείας. Ἐπειδήπερ ἐλέγχων ἀπορεῖ δικαίων, ἐπὶ τὴν ἄτεχνον λεγομένην καταφεύγει, τὴν δι' ὅρκων, οἰόμενος κατακλήσει θεοῦ πίστιν ἐργάσασθαι τοῖς ἀκούουσιν. Ἀνιερὸς δὲ ὁ τοιοῦτος ὢν καὶ ἀβέβηλος ἴστω, μιαίνων τὸ ἀμίαντον φύσει ἀγαθὸν καὶ θεῖον ὄνομα.

Οὐ ψευδομαρτυρήσεις. (Exod. 20, 16.)

8. Ἔνατον μέν ἐστι τουτὶ τῶν δέκα κεφαλαίων, τῶν δὲ ἐν τῇ δευτέρᾳ στήλῃ τὸ τέταρτον ἀριθμῷ, μυρία δὲ τὸν ἀνθρώπινον βίον ὀνῆσαι δυνάμενον, εἰ φυλάττοιτο, ὡς καὶ τὸ ἐναντίον ἀμελούμενον βλάψαι. Ψεκτὸς μὲν γὰρ ὁ συκοφάντης, ὁ δὲ τὰ ψευδῆ μαρτυρῶν μᾶλλον ὑπαίτιος· ὁ μὲν γὰρ αὑτῷ βοηθῶν, ὁ δὲ ἄλλῳ συμπράττων πονηρός, ἐν δὲ συγκρίσει κακῶν ἀνδρῶν ὁ δι' αὑτὸν ἁμαρτάνων τοῦ δι' ἕτερον ἧττον ἄδικος. Καὶ τὸν μὲν κατήγορον ὑποβλέπεται πᾶς δικαστής, ὡς ὀλίγα φροντίζοντα τῆς ἀληθείας ἕνεκα τοῦ περιγενέσθαι, διὸ καὶ προοιμίων ἐδέησεν εἰς προσοχὴν ἀκροατοῦ τῷ λέγοντι· τοῦ δὲ μαρτυροῦντος ἐφ' αὑτῷ [οὐ] προπεπονθὼς ὕπουλον ἐλευθέρᾳ γνώμῃ καὶ ἀναπεπταμένοις ὠσὶν ἀνέχεται, πίστιν καὶ ἀλήθειαν ὑποδυομένου τὸ πρᾶγμα, τῶν μὲν ὠφελιμωτάτων τὰ ὀνόματα — ὀνομάτων δὲ προσαγωγότατος καθάπερ δελέασιν ἐπὶ θήρᾳ χρῆται ὧν ὀρέγεται καὶ ποθεῖ. Διὸ πολλαχοῦ παραινεῖ τῆς νομοθεσίας, ἀδίκῳ μηδενὶ συναινεῖν, μήτε ἀνθρώπῳ, μήτε τῷ πράγματι (Exod. 23, 1 s.). Προκαλεῖται γὰρ ἡ συναίνεσις ἐφ' ὑγιεῖ μὴ γενομένη τῷ ψευδομαρτυρεῖν, ἐπεὶ καὶ

πᾶς, [*] ὅτῳ προςαντὲς καὶ ἐχθρὸν τὸ ἄδικον, ἀληθείας φίλος. Ἑνὶ μὲν οὖν μοχθηρῷ μὴ συναπονοηθῆναι θαυμαστὸν οὐδέν, εἰς τὰ ὅμοια προκαλουμένῳ, πλήθει δὲ ἐπὶ παρανομίᾳ οἷα κατὰ πρανοῦς ἀθρόᾳ ῥύμῃ φερομένῳ μὴ συνενεχθῆναι, γενναίας ψυχῆς ἐστὶ καὶ φρονήματος ἀνδρείᾳ συγκεκροτημένου. *Ἔνιοι* γὰρ τὰ τοῖς πολλοῖς [δοξοῦντα], καὶ ἂν παρανομώτατα ᾖ, νόμιμα καὶ δίκαια εἶναι νομίζουσιν, κρίνοντες οὐκ εὖ. Φύσει γὰρ ἕπεσθαι καλόν, ἀκολουθίᾳ φύσεως δὲ ἀντίπαλον ὄχλου *φορά*. Ἐὰν οὖν κατὰ θιάσους καὶ πολυανθρώπους ὁμίλους ἐγηγρόμενοί τινες νεωτερίζεσθαι [ἐπιχειροῦσι], *τούτοις* οὐ συναινετέον, ὡς τὸ ἀρχαῖον καὶ δόκιμον τῆς πολιτείας νόμισμα παρακόπτουσιν. Σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ, σὺν ὄχλῳ δὲ ἀμαθία μεῖζον κακόν. Ἀλλὰ τοσαύτῃ τινὲς ὑπερβολῇ χρῶνται μοχθηρίας, ὥστ᾿ οὐ μόνον ἀνθρώπων *γεννητὰ* κατηγοροῦσιν, ἀλλ᾿ *ἐπιμανέντες τῇ μοχθηρίᾳ διαίρουσι καὶ τείνουσι* τὸ ψεῦδος ἄχρι οὐρανοῦ, τῆς μακαρίας καὶ εὐδαίμονος θεοῦ φύσεως καταμαρτυροῦντες. Εἰσὶ δὲ οὗτοι τερατοσκόποι καὶ οἰωνοσκόποι καὶ θυταὶ καὶ ὅσοι ἄλλοι μαντικὴν ἐκπονοῦσιν, τὴν σὺν τέχνῃ ἀτεχνίαν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἐπιτηδεύοντες παράκομμα τῆς ἐντέχνου κατακωχῆς καὶ προφητείας. Προφήτης τε μὲν γὰρ οὐδὲν ἴδιον ἀποφαίνεται τὸ παράπαν, ἀλλ᾿ ἔστιν ἑρμηνεὺς ὑποβάλλοντος ἑτέρου πάνθ᾿ ὅσα προφέρει, καὶ καθ᾿ ὃν χρόνον ἐνθουσιᾷ γεγονὼς ἐν ἀγνοίᾳ, μετανισταμένου μὲν τοῦ λογισμοῦ καὶ παρακεχωρηκότος τὴν τῆς ψυχῆς ἀκρόπολιν, ἐπιπεφοιτηκότος δὲ καὶ ἐνῳκηκότος τοῦ θείου πνεύματος καὶ πᾶσαν τῆς φωνῆς ὀργανοποιΐαν κρούοντος καὶ ἐνηχοῦντος εἰς ἐναργῆ δήλωσιν ὧν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προθεσπίζει. Τῶν δὲ τὴν παράσημον καὶ βωμολόχον μαντικὴν ζηλούντων ἕκαστος ταῖς εἰκασίαις καὶ στοχασμοῖς ἀνοίκειον τάξιν παρατίθησιν τὴν τῆς ἀληθείας, καὶ τοὺς ἀβεβαίους τὸ ἦθος ὑπαγόμενος ῥᾳδίως, καθάπερ ἀνερμάτιστα σκάφη [ἄνεμος] πολὺς ἀντιπνεύσας ἀνωθεῖ καὶ ἀνατρέπει, διακωλύων ὑποδρόμοις ἀσφαλέσι προσσχεῖν τῆς εὐσεβείας· τὰ γὰρ τοπασθέντα προλέγειν οἴεται δεῖν ὡς οὐκ αὐτὸς εὑρών, ἀλλ᾿ ὡς ἀφανῶς αὐτῷ μόνῳ χρησθέντα θεῖα λόγια, πρὸς βεβαιοτέραν πίστιν ἀπάτης μεγάλων καὶ πολυανθρώπων ὁμίλων. Τὸν τοιοῦτον εὐθυβόλῳ ὀνόματι ψευδοπροφήτην προσαγορεύει, κιβδηλεύοντα τὴν [*] ἀληθῆ προφητείαν καὶ τὰ γνήσια νόθοις εὑρέμασι ἐπισκιάζοντα. Χρόνῳ δὲ παντάπασιν ὀλίγῳ διακαλύπτεται τὰ τοιαῦτα στρατηγήματα, τῆς φύσεως οὐκ ἀεὶ κρύπτεσθαι φιλούσης, ἀλλ᾿ ὁπόταν καιρὸς ᾖ, τὸ ἴδιον κάλλος ἀναφαινούσης ἀηττήτοις δυνάμεσιν. Ὡς γὰρ ἐν ταῖς ἡλιακαῖς ἐκλείψεσιν καὶ ἀκτῖνες πρὸς βραχύτατον ἀμαυρωθεῖσαι μικρὸν ὕστερον ἀναλάμπουσιν, ἄσκιον καὶ τηλαυγὲς ἐπιδεικνύμεναι φέγγος, μηδενὸς ἐπιπροσθοῦντος ἡλίῳ τὸ παράπαν, ἀλλ᾿ ὡς ἐν αἰθρίᾳ καθαρᾷ ὁλοστὸν ἀναφαίνοντι· οὕτως καὶ ἂν χρησμολογῶσί τινες, μαντικὴν μὲν ἐψευσμένην τεχνάζοντες, ὑποδυόμενοι δὲ εὐπρεπὲς ὄνομα προφητείας *ἐνθουσιώσης*, καταψευδόμενοι θεοῦ, διελεγχθήσονται ῥᾳδίως. Ἥξει γὰρ πάλιν ἡ ἀλήθεια καὶ ἀναλάμψει φῶς ἀπαστράπτουσα τηλαυγέστατον, ὡς τό γε ἐπισκιάσαν ψεῦδος ἀφανισθῆναι. Πάγκαλον μὲν καὶ ἐκεῖνο προσδιετάξατο, κελευσάμενος „ἑνὸς μαρτυρίαν μὴ προσίεσθαι“ (Num. 35, 30. Deut. 17, 6. 19, 15). Πρῶτον μέν, ὅτι ἐνδέχεται ἕνα καὶ παριδεῖν τι κατ᾿ ἀκούσιον, καὶ παρενθυμηθῆναι καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπατηθῆναι· δόξαι γὰρ αἱ ψευδεῖς μυρίαι καὶ ἀπὸ μυρίων εἰώθασι προςπίπτειν. Δεύτερον δέ, ὅτι κατὰ πλειόνων ἢ καὶ καθ᾽ ἑνὸς ἀδικωτάτῳ χρῆσθαι μάρτυρι· πρῶτον μὲν ὅτι δὴ πρὸς πίστιν ἀξιονικώτεροι ἑνός, τοῦ δὲ ἐπειδὴ κατ᾽ ἀριθμὸν οὐ προφέρει, τὸ δὲ ἴσον πλεονεξίας ἀλλότριον. Τί γὰρ μᾶλλον τῷ μάρτυρι καθ᾽ ἑτέρου διεξιόντι ἢ τῷ κατηγορουμένῳ ὑπὲρ αὐτοῦ λέγοντι συναινετέον; Ἄριστον δέ, ὡς ἔοικεν, ἐπέχειν, ἔνθα μηδὲν ἐνδῇ μηδὲ ὑπερβάλλῃ.

# ΤΑ ΠΕΡΙ ΔΙΚΑΣΤΟΥ.

# DE IUDICE.

*Iudex omnino integer esto.*

1. Οἴεται δεῖν ὁ νόμος ἅπαντας τοὺς συμφερομένους τῇ κατὰ Μωσέα ἱερᾷ πολιτείᾳ παντὸς ἀλόγου πάθους καὶ πάσης κακίας ἀμετόχους εἶναι, διαφερόντως δὲ τοὺς τοῖς ἄλλοις λαχόντας ἢ χειροτονηθέντας δικάζειν. Ἄτοπον γὰρ ἁμαρτήμασιν ἐνόχους εἶναι [*] τοὺς τοῖς ἄλλοις τὰ δίκαια βραβεύειν ἀξιοῦντας, οἷς ἀναγκαῖον καθάπερ ἀπ᾽ ἀρχετύπου γραφῆς ἀπομάττεσθαι τὰ φύσεως



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔργα πρὸς μίμησιν. Ὡς γὰρ ἡ τοῦ πυρὸς δύναμις ἀλεαίνουσα ὃν ἂν προσάψηται, θερμὴ πολὺ πρότερον αὐτὴ καθέστηκεν ἐξ αὑτῆς, καὶ κατὰ τὸ ἐναντίον ἡ τῆς χιόνος τῷ κατεψῦχθαι καὶ τὰ ἄλλα ἐπιψύχει· οὕτως ὀφείλει καὶ δικαστὴς ἀνάπλεως εἶναι δικαιοσύνης ἀκραιφνοῦς, εἴ γε μέλλει τὰ δίκαια τοῖς ἐντευξομένοις ἐπάρδειν, ἵνα ὥσπερ ἀπὸ πηγῆς γλυκείας φέρηται νᾶμα πότιμον τοῖς διψῶσιν εὐνομίας. Τουτὶ δὲ συμβήσεται, ἐάν τις δικάζειν εἰσιὼν ἐν ταὐτῷ νομίζῃ κρίνειν τε καὶ κρίνεσθαι, καὶ ἀναλαμβάνῃ ἅμα τῇ ψήφῳ σύνεσιν μὲν εἰς τὸ μὴ ἀπατᾶσθαι, δικαιοσύνην δὲ εἰς τὴν τῶν κατ᾽ ἀξίαν ἐπιβαλλόντων ἑκάστοις ἀπονομήν, ἀνδρίαν δὲ πρὸς τὸ ἀνένδοτον πρὸς ἱκεσίας καὶ οἶκτον κατὰ τὰς τῶν ἑαλωκότων τιμωρίας. Ὁ γὰρ τούτων ἐπιμελούμενος τῶν ἀρετῶν κοινὸς εὐεργέτης εἰκότως ἂν νομίζοιτο, κυβερνήτου τρόπον ἀγαθοῦ, τοὺς χειμῶνας τῶν πραγμάτων ἐξευδιάζων ἕνεκα σωτηρίας καὶ ἀσφαλείας τῶν τὰ οἰκεῖα ἐπιτετραφότων αὐτῷ.

## Ne verba vana accipito.

2. Κελεύει δὴ πρῶτον ὁ νόμος τῷ δικαστῇ „μὴ παραδέχεσθαι ἀκοὴν ματαίαν" (Exod. 23, 1). Τί δὲ τοῦτ᾽ ἐστίν; Ἔστω, φησίν, ὦ οὗτος, τὰ ὦτά σου κεκαθαρμένα· καθαρθήσεται δέ, ἐὰν νάματι σπουδαίων λόγων συνεχῶς ἐπαντλῆται, τὰς ματαίους καὶ πεπατημένας καὶ χλεύης ἀξίας μυθογράφων ἢ μιμολόγων ἢ τυφλοπλαστῶν τὰ μηδενὸς ἄξια σεμνοποιούντων μακρὰς ῥήσεις μὴ προσιέμενα. Δηλοῦται δὲ ἐκ τοῦ μὴ παραδέχεσθαι ματαίαν ἀκοὴν καὶ ἕτερόν τι τῷ προτέρῳ συνῳδόν. Τοῖς ἀκοῇ μαρτυροῦσι, φησίν, ὁ προσέχων ματαίας καὶ οὐχ ὑγιοῦς προσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχει· διότι ὀφθαλμοὶ μὲν αὐτοῖς ἐντυγχάνουσι τοῖς γινομένοις, ἐφαπτόμενοι τρόπον τινὰ τῶν πραγμάτων καὶ ὅλα δι' ὅλων καταλαμβάνοντες, φωτὸς συνεργοῦντος, ᾧ πάντα αὐγάζεταί τε καὶ διελέγχεται —, ὦτα δέ, ὥς ἔφη τις, οὐκ ἄπο σκοποῦ τῶν προτέρων, ὀφθαλμῶν ἀπιστότερα, πράγμασι μὲν οὐκ ἐντυγχάνοντα, ἑρμηνεῦσι δὲ πραγμάτων λόγοις οὐκ ἀεὶ πεφυκόσιν ἀληθεύειν περιελκόμενα. Διὸ καὶ τῶν παρ' Ἕλλησιν ἔνιοι νομοθετῶν, μεταγράψαντες ἐκ τῶν ἱερωτάτων Μωσέως στηλῶν, εὖ διατάξασθαι δοκοῦσι, μὴ μαρτυρεῖν ἀκοήν· ὡς δέον, ἃ μὲν εἶδέ τις, πιστὰ κρίνειν, ἃ δὲ ἤκουσε, μὴ πάντως βέβαια.

### *Ne munera accipito.*

3. [*] Δεύτερον παράγγελμα κριτῇ „δῶρα μὴ λαμβάνειν" (Exod. 23, 8). „Τὰ γὰρ δῶρα," φησὶν ὁ νόμος, „πηροῖ μὲν ὀφθαλμοὺς βλεπόντων, τὰ δὲ δίκαια λυμαίνεται" (Ib.), τὴν δὲ διάνοιαν οὐκ ἐᾷ διὰ λεωφόρου βαίνειν ἐπ' εὐθείας. Καὶ τὸ μὲν δωροδοκεῖν ἐπ' ἀδίκοις παμπονήρων ἐστὶν ἀνθρώπων ἔργον, τὸ δὲ ἐπὶ δικαίοις ἐφ' ἡμισείᾳ πονηρευομένων. Εἰσὶ γὰρ ὑποπάρυφοί τινες, ἡμιμόχθηροι, δικαιάδικοι, τὴν περὶ τῶν πεπλημμελημένων τεταγμένοι τάξιν κατὰ τῶν πλημμελησάντων, προῖκα δὲ οὐκ ἀξιοῦντες νικῶντας γράφειν, οὓς νικᾶν ἀναγκαῖον, ἀλλὰ τὴν γνῶσιν ὤνιον καὶ ἔμμισθον ἀποφαίνοντες. Εἶτ' ἐπειδάν τις αἰτιᾶται, φασὶ μὴ παρατρέψασθαι τὸ δίκαιον· ἡττηθῆναι μὲν γὰρ οὓς ἁρμόττον ἦν ἡττῆσθαι, νενικηκέναι δὲ οὓς ἐχρῆν περιγενέσθαι· κακῶς ἀπολογούμενοι. Δύο γὰρ δεῖ προσφέρεσθαι τὸν ἀγαθὸν δικαστήν· νομικωτάτην γνῶσιν, καὶ τὸ ἀδέκαστον. Ὁ δὲ ἐπὶ δώροις βραβευτὴς τοῦ δικαίου καλὸν φύσει πρᾶγμα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λέληθεν αἰσχύνων. Ἐπεξαμαρτάνει δὲ καὶ δύο ἕτερα· τὸ μὲν ἐθίζων ἑαυτὸν εἶναι φιλοχρήματον, ὅπερ ὁρμητήριον τῶν μεγίστων παρανομημάτων ἐστί· τὸ δὲ βλάπτων ὃν ἄξιον ἦν ὠφελεῖν, τιμὴν τοῦ δικαίου κατατιθέντα. Διὸ σφόδρα παιδευτικῶς Μωσῆς „δικαίως τὸ δίκαιον“ προστάττει „μεταδιώκειν“ (Deut. 16, 19)· αἰνιττόμενος, ὅτι καὶ ἀδίκως ἔνεστι, διὰ τοὺς ἐπὶ δώροις τοῦ δικαίου βραβευτάς, οὐ μόνον ἐν δικαστηρίοις, ἀλλὰ καὶ πανταχοῦ κατά τε γῆν καὶ θάλατταν, καὶ ἐν ἅπασιν ὀλίγου δέω φάναι τοῖς τοῦ βίου πράγμασιν. Ἤδη γοῦν ὀλιγοχρήματόν τις παρακαταθήκην λαβὼν ἀπέδωκεν, ἐπ᾽ ἐνέδρᾳ μᾶλλον τοῦ λαμβάνοντος ἢ ὠφελείᾳ, ἵνα τὴν ἐν ὀλίγοις πίστιν δέλεαρ καθεὶς ἀγκιστρεύσηται τὴν ἐν μείζοσιν ἀπιστίαν*)· ὅπερ οὐδὲν ἦν ἕτερον ἢ τὸ δίκαιον μὴ δικαίως ἐπιτελεῖν. Δίκαιον μὲν γὰρ ἡ τῶν ἀλλοτρίων ἀπόδοσις, οὐ δικαίως δὲ γίνεται, παρ᾽ ὅσον ἐπὶ θήρᾳ πλειόνων. Αἴτιον δὲ τοιούτων ἁμαρτημάτων ἐστὶν ἐν τοῖς μάλιστα ἡ πρὸς τὸ ψεῦδος οἰκείωσις, ὅπερ ἐκ πρώτης γενέσεως καὶ σπαργάνων αὐτῶν τίτθαι καὶ μητέρες καὶ ὁ ἄλλος τῶν κατ᾽ οἰκίαν ἀνδραπόδων καὶ ἐλευθέρων ὅμιλος ἔργοις καὶ λόγοις αἰεὶ σύντροφον κατασκευάζουσιν, ἁρμοζόμενοι καὶ ἑνοῦντες αὐτὸ τῇ ψυχῇ ὡς μέρος ἐκ φύσεως ἀναγκαῖον, ὅπερ, εἰ καὶ τῷ ὄντι φύσει συνεγεγένητο, ὤφειλεν ἐπιτηδεύσει τῶν καλῶν ἐκτετμῆσθαι. Τί δὲ οὕτως ἐν βίῳ καλὸν ὡς ἀλήθεια Ἣν ὁ πάνσοφος ἐστηλίτευσεν ἱερωτάτῳ χωρίῳ, κατὰ τὴν τοῦ ἀρχιερέως στολήν, [*] ἔνθα τὸ τῆς ψυχῆς ἡγεμονικόν, ἀναθημάτων τῷ καλλίστῳ καὶ διαπρεπεστάτῳ βουληθεὶς αὐτὸν ἐπικοσμῆσαι. Συγγενῆ δὲ δύναμιν ἀληθείᾳ παριδρύσατο, ἣν

*) Mang. legi mavult πίστιν (?).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκάλεσε δήλωσιν· ἀμφοτέρων τῶν ἐν ἡμῖν λόγων εἰκόνας, ἐνδιαθέτου τε καὶ προφορικοῦ. Δεῖται γὰρ ὁ μὲν προφορικὸς δηλώσεως, ᾗ τὰ ἀφανῆ τῶν καθ' ἕκαστον ἡμῶν ἐνθύμια γνωρίζεται τῷ πέλας· ὁ δὲ ἐνδιάθετος ἀληθείας, εἰς τελειότητα βίου καὶ πράξεων, δι' ὧν ἐπ' εὐδαιμονίαν ὁδὸς ἀνευρίσκεται.

*Ne personae servito.*

4. Τὸ τρίτον παράγγελμα τῷ δικαστῇ· τὰ πράγματα πρὸ τῶν κρινομένων ἐξετάζειν, καὶ πειρᾶσθαι πάντα τρόπον ἀφέλκειν αὐτὸν τῆς τῶν δικαζομένων φαντασίας, εἰς ἄγνοιαν καὶ λήθην βιαζόμενον ὧν ἐπιστήμην εἶχε καὶ μνήμην, οἰκείων, φίλων, πολιτῶν, καὶ πάλιν ἀλλοτρίων, ἐχθρῶν, ξένων, ἵνα μήτ' εὔνοια μήτε μῖσος ἐπισκιάσῃ τὴν γνῶσιν τῶν δικαίων. Ἀνάγκη γάρ, οἷα τυφλὸν δίχα βάκτρου προερχόμενον καὶ τοὺς ποδηγετήσοντας οὐκ ἔχοντα οἷς βεβαίως ἐπερείσεται, πταίειν. Ὅθεν προσήκει τὸν ἀγαθὸν δικαστὴν τοὺς μὲν κρινομένους, οἵτινες ἂν ὦσι, παρακαλύπτεσθαι, τὴν δὲ φύσιν τῶν πραγμάτων ἄπλαστον καὶ γυμνὴν ὁρᾶν, μὴ πρὸς δόξαν, ἀλλὰ πρὸς ἀλήθειαν μέλλοντα κρίνειν, καὶ τοιαύτην ἔννοιαν λαβόντα, ὅτι „ἡ μὲν κρίσις τοῦ θεοῦ ἐστίν" (Deut. 1, 17), ὁ δὲ δικαστὴς ἐπίτροπος τῆς κρίσεως. Ἐπιτρόπῳ δὲ οὐκ ἐφίεται τὰ τοῦ κυρίου χαρίζεσθαι, παρακαταθήκην εἰληφότι τὴν πάντων τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἀρίστην παρὰ τοῦ πάντων ἀρίστου.

*Ne miseretor pauperis in iudicio.*

5. Πρὸς δὲ τοῖς λεχθεῖσιν ἤδη καὶ ἄλλο θαυμάσιον εἰσηγεῖται, κελεύων „πένητα κρίσει μὴ ἐλεεῖν" (Exod. 23, 3),

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ πᾶσαν σχεδὸν τὴν νομοθεσίαν πεπληρωκὼς τῶν εἰς ἔλεον καὶ φιλανθρωπίαν διαταγμάτων, καὶ μεγάλας μὲν ἀπειλὰς ἐπανατεινόμενος ὑπερόπταις καὶ ἀλαζόσι, μεγάλα δὲ προθεὶς ἆθλα τοῖς τὰ ἀτυχήματα τῶν πέλας εἰς ἐπανόρθωσιν ἄγειν ἀξιοῦσι, καὶ τὰς περιουσίας οὐκ ἴδια κτήματα νομίζουσιν, ἀλλὰ κοινὰ τῶν ἐν ἐνδείαις. Ὁ γὰρ ἔφη τις οὐκ ἄπο σκοποῦ τῶν προτέρων, ἀληθές ἐστιν, ὅτι παραπλήσιον οὐδὲν ἄνθρωποι θεῷ δρῶσιν ἢ χαριζόμενοι. Τί δὲ αὖ εἴη κρεῖττον ἀγαθὸν ἢ μιμεῖσθαι θεὸν γεννητοὺς τὸν ἀΐδιον; Μήτ' οὖν ὁ πλούσιος ἄργυρον καὶ χρυσὸν οἴκοι συναγαγὼν ἄφθονον θησαυροφυλακείτω, προφερέτω δὲ εἰς μέσον, ἵνα τὸ σκληροδίαιτον τῶν ἀπόρων ἱλαραῖς μεταδόσεσι λιπαίνῃ· μήτ', εἴ τις ἔνδοξος, ὑψηλὸν αἴρων αὐτὸν αὐχείτω φρυαττόμενος, ἀλλ' ἰσότητα τιμήσας μεταδιδότω παῤῥησίας τοῖς ἀδόξοις· [*] ὁ δὲ ῥώμῃ κεχρημένος σώματος ἔρεισμα τῶν ἀσθενεστέρων ἔστω, καὶ μή, καθάπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσι, καταπαγκρατιαζέτω τοὺς ἐλάττους ταῖς δυνάμεσιν, ἀλλὰ φιλοτιμείσθω τῆς ἰδίας ἰσχύος μεταδιδόναι τοῖς ἐξ ἑαυτῶν ἀπειρηκόσιν. Ὅσοι μὲν γὰρ ἀπὸ πηγῶν ἠρύσαντο τῶν σοφίας, φθόνον ὑπερόριον τῆς διανοίας ἀπεληλακότες, ἄνευ προτροπῆς αὐτοκέλευστοι ταῖς τῶν πλησίον ὠφελείαις ἐπαποδύονται, τὰ λόγων νάματα ταῖς ψυχαῖς ἐκείνων δι' ὤτων ἐπαντλοῦντες εἰς μετουσίαν τῆς ὁμοίας ἐπιστήμης. Καὶ ἐπειδὰν ἴδωσιν, ὥσπερ εὔβλαστα καὶ εὐγενῆ μοσχεύματα, νέους εὐφυεῖς, γεγήθασιν, οἰόμενοι κληρονόμους ἀνευρηκέναι τοῦ ψυχικοῦ πλούτου, ὃς μόνος ἀληθείᾳ πλοῦτός ἐστι, καὶ παραλαβόντες γεωργοῦσι τὰς ψυχὰς δόγμασι καὶ θεωρήμασι, μέχρις ἂν στελεχωθεῖσαι καρπὸν τὸν καλοκἀγαθίας ἐνέγκωσι. Τοιαῦτα τοῖς νόμοις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀγάλματα συνύφανται καὶ πεποίκιλται πρὸς εὐπορίαν ἀπόρων, οὓς ἐπὶ μόνης κρίσεως ἐλεεῖν οὐ θεμιτόν. Ἔλεος γὰρ ἐπ' ἀτυχήμασιν· ὁ δὲ ἑκουσίῳ γνώμῃ πονηρευόμενος οὐκ ἀτυχής, ἀλλ' ἄδικος. Τιμωρία δὲ ἐπ' ἀδίκοις, ὡς ἐπὶ δικαίοις τιμαὶ βεβαιούσθωσαν. Ὥστε μηδεὶς μοχθηρός, ἄπορος ὑπάρχων καὶ ὑποστέλλων, ἀχρηματίας οἴκτῳ τὸ δίκην δοῦναι παραχρονέσθω, δεδρακὼς οὐκ ἐλέου — πόθεν; — ἀλλ' ὀργῆς ἄξια. Καὶ ὁ δικάζειν εἰσιών, καθάπερ ἀργυραμοιβὸς ἀγαθός, διαιρείτω καὶ διακρινέτω τὰς φύσεις τῶν πραγμάτων, ἵνα μὴ φύρηται συγχεόμενα τοῖς παρασήμοις τὰ δόκιμα. Πολλὰ μὲν οὖν ἄλλα πρός τε ψευδομάρτυρας καὶ δικαστὰς ἔνεστι λέγειν· ὑπὲρ δὲ τοῦ μὴ μακρηγορεῖν ἰτέον ἐπὶ τὸ τελευταῖον τῶν δέκα λογίων, ὃ κεφαλαιώδει τύπῳ, καθάπερ καὶ τῶν ἄλλων ἕκαστον, κεχρησμῴδηται. Τοῦτο δέ ἐστιν· „Οὐκ ἐπιθυμήσεις."

# ΟΥΚ ΕΠΙΘΥΜΗΣΕΙΣ.

# DE CONCUPISCENTIA.

(1 - 3.)

*Concupiscentia nullus affectus gravior et turpior.*

1. Πᾶν μὲν πάθος ἐπίληπτον, ἐπεὶ καὶ πᾶσα ἄμετρος καὶ πλεονάζουσα ὁρμὴ καὶ τῆς ψυχῆς ἡ ἄλογος καὶ

παρὰ φύσιν κίνησις ὑπαίτιος· ἑκάτερον γὰρ τούτων [οὐκ] ἐστὶν ἕτερον ἢ παλαιὸν πάθος ἐξηπλωμένον. Εἴ τις οὖν μὴ μέτρα ταῖς ὁρμαῖς ὁρίζῃ μηδὲ χαλινόν, ὥσπερ τοῖς ἀφηνιασταῖς ἵπποις, ἐντίθησιν, πάθει χρῆται δυσιάτῳ, καὶ ἔπειτα λήσεται διὰ τὸν ἀφηνιασμὸν ἐξενεχθείς, οἷα ὑπὸ ἁρμάτων ἡνίοχος, εἰς φάραγγας καὶ βάραθρα δυσαναπόρευτα, ἐξ ὧν μόλις ἔστι σώζεσθαι. Τῶν δὲ παθῶν οὕτως οὐδὲν ἀργαλέον ὡς ἐπιθυμία τῶν ἀπόντων ὅσα τῷ δοκεῖν ἀγαθῶν, πρὸς ἀλήθειαν οὐκ ὄντων, χαλεποὺς καὶ ἀφηνύτους [*] ἔρωτας ἐντίκτουσα· *ἀποτείνει* γὰρ καὶ *ἀπελαύνει* μέχρι πορρωτάτω τὴν ψυχὴν εἰς τὸ ἄπορον, φεύγοντος ἔστιν ὅτε τοῦ διωκομένου καταφρονητικῶς, οὐκ ἐπὶ νῶτα, ἀλλὰ ἀντικρύ. Ὅταν γὰρ ἐπιτρέχουσαν αἴσθηται μετὰ σπουδῆς τὴν ἐπιθυμίαν, *ἠρεμῆσαν* ἐπ' ὀλίγον ὑπὲρ τοῦ δελεάσαι καὶ ἐλπίδα συλλήψεως *τῇ ψυχῇ* κατ' αὐτοῦ παρασχεῖν, ἐξαναχωρεῖ μακροτέροις διαστήμασι *κατακερτομοῦν*· ἡ δὲ ἀπολιπομένη καὶ ὑστερίζουσα σφαδάζει Ταντάλιον τιμωρίαν ἐπιφέρουσα κακοδαίμονι τύχῃ. Καὶ γὰρ ἐκεῖνον λόγος ἔχει ποτὸν μὲν ἀρύσασθαι βουλόμενον ἀδυνατεῖν, ὑποφεύγοντος ὕδατος· εἰ δὲ καρπὸν ἐθελήσειεν δρέψασθαι, πάντα ἀφανίζεσθαι, στειρουμένης τῆς περὶ τὰ δένδρα εὐφορίας. Ὥσπερ γὰρ αἱ ἀμείλικτοι καὶ ἀπαραγόρητοι δέσποιναι τοῦ σώματος, δίψα [καὶ] πεῖνα, κατατείνουσιν αὐτό, μᾶλλον ἢ οὐχ ἧττον τῶν ἐκ βασανιστοῦ τροχιζομένων, ἄχρι θανάτου πολλάκις, εἰ μή τις αὐτὰς ἐξηγριωμένας τιθασσεύῃ ποτοῖς καὶ σιτίοις· οὕτως ἡ ἐπιθυμία, κενὴν ἀποδείξασα τὴν ψυχὴν λήθῃ μὲν τῶν παρόντων, μνήμῃ δὲ τῶν μακρὰν ἀφεστηκότων, οἶστρον καὶ μανίαν ἀκάθεκτον ἐγκατασκευάσασα βαρυτέροις μὲν τῶν πρότερον

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*δεσποτῶν, ὁμωνύμους δὲ ἐκείναις ἀπειργάσατο, δίψαν τε καὶ πεῖναν, οὐ τῶν περὶ γαστρὸς ἀπόλαυσιν, ἀλλὰ χρημάτων, δόξης, ἡγεμονιῶν, εὐμορφίας, ἄλλων ἀμυθήτων ὅσα κατὰ τὸν ἀνθρώπινον βίον ζηλωτὰ καὶ περιμάχητα εἶναι δοκεῖ. Καὶ καθάπερ ἡ λεγομένη παρὰ τοῖς ἰατροῖς ἑρπηνώδης νόσος οὐκ ἐφ' ἑνὸς ἵσταται χωρίου, κινεῖται δὲ καὶ περιθέει καί, ὡς αὐτὸ δηλοῖ τὸ ὄνομα, διέρπει πάντη σκιδναμένη καὶ χεομένη, πᾶσαν τὴν κοινωνίαν τῶν τοῦ σώματος μερῶν ἀπὸ κεφαλῆς ἄκρας ἄχρι ποδῶν συλλαμβάνουσα καὶ *συναιροῦσα*· τὸν αὐτὸν τρόπον καὶ ἡ ἐπιθυμία δι' ὅλης ᾄττουσα τῆς ψυχῆς οὐδὲν οὐδὲ τὸ βραχύτατον ἀπαθὲς αὐτῆς ἐᾷ, μιμουμένη τὴν ἐν ἀφθόνῳ ὕλῃ πυρὸς δύναμιν· ἐξάπτει γὰρ καὶ ἀναφλέγει μέχρις ἂν διαφυγοῦσα πᾶσαν αὐτὴν ἐξαναλώσῃ.*

*Concupiscentia fons vitiorum itemque malorum.*

*2. Τοσοῦτον ἄρα καὶ οὕτως κακὸν ὑπερβάλλον ἐστὶν ἐπιθυμία, μᾶλλον δέ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἁπάντων πηγὴ τῶν κακῶν· σῦλαι γὰρ καὶ ἁρπαγαὶ καὶ χρεωκοπίαι, συκοφαντίαι τε καὶ αἰκίαι, καὶ προσέτι φθοραὶ καὶ μοιχεῖαι καὶ ἀνδροφονίαι καὶ πάνθ' ὅσα ἰδιωτικὰ ἢ δημόσια ἢ ἱερὰ ἢ βέβηλα ἀδικήματα πόθεν ἄλλοθεν ἐῤῥύη; Τὸ γὰρ ἐμφανῶς ἂν λεχθὲν ἀρχέκακον πάθος ἐστὶν ἐπιθυμία, ἧς ἓν τὸ βραχύτατον ἔγγονον, ἔρως, οὐχ ἅπαξ, ἀλλ' ἤδη πολλάκις ἀμυθήτων κατέπλησε τὴν οἰκουμένην συμφορῶν, ἃς οὐδὲ ὁ σύμπας τῆς γῆς κύκλος ἐχώρησε· [*] ἀλλὰ διὰ πλῆθος ὥσπερ ὑπὸ χειμάῤῥου φορᾶς εἰς θάλατταν εἰςέπεσον, καὶ πανταχοῦ πάντα πελάγη πολεμίων κατεπλήσθη νηῶν, καὶ ὅσα καινουργοῦσιν οἱ ναυτικοὶ πόλεμοι συνηνέχθη, καὶ ἐπιπεσόντα ἀθρόα πάλιν εἰς νή-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σους καὶ ἠπείρους *ὑπεσύρη*, διαυλοδρομήσαντα, καθάπερ ἐν ταῖς παλιῤῥοίαις, ἀφ' ὧν ἤρξαντο φέρεσθαι. Τρανοτέραν δὲ τοῦ πάθους ἐνέργειαν ληψόμεθα τὸν τρόπον τοῦτον. Ὅσων ἂν ἐπιθυμία προςάψηται, μεταβολὴν ἀπεργάζεται τὴν πρὸς τὸ χεῖρον, οἷα τὰ ἰοβόλα ζῶα καὶ τὰ θανάσιμα τῶν φαρμάκων. Τί δέ ἐστιν ὃ λέγω; Εἰ πρὸς χρήματα γένοιτο, κλέπτας ἀποτελεῖ καὶ βαλαντιοτόμους καὶ λωποδύτας καὶ τοιχωρύχους, χρεωκοπίαις τε καὶ παρακαταθηκῶν ἀρνήσεσι καὶ δωροδοκίαις καὶ ἱεροσυλίαις καὶ τοῖς ὁμοιοτρόποις ἅπασιν ἐνόχους. Εἰ δὲ πρὸς δόξαν, ἀλαζόνας, ὑπερόπτας, ἀβεβαίους καὶ ἀνιδρύτους τὸ ἦθος, φωναῖς τὰ ὦτα πεφρακότας, ταπεινουμένους ἐν ταὐτῷ καὶ πρὸς ὕψος ἐπαιρομένους διὰ τὰς τῶν πληθῶν ἀνωμαλίας ἐπαινούντων καὶ ψεγόντων ἀκρίτῳ φορᾷ, πρὸς ἔχθραν ἢ φιλίαν ἀνεξετάστους, ὡς ῥᾳδίως ἑκάτερον ἀνθυπαλλάττεσθαι, καὶ τὰ ἄλλα ὅσα τούτοις ἀδελφὰ καὶ συγγενῆ. Πρὸς δὲ ἀρχὴν εἰ γένοιτο ἐπιθυμία, στασιώδεις, ἀνίσους, τυραννικοὺς τὰς φύσεις, ὠμοθύμους ἐχθροὺς τῶν πατρίδων, *ἀσθενεστέρων* δεσπότας ἀμειλίκτους, τὴν ἰσχὺν ἴσοις ἀσυμβάτους πολεμίους, δυνατωτέρων κόλακας εἰς τὴν δι' ἀπάτης ἐπίθεσιν. Εἰ δὲ πρὸς σώματος κάλλος, φθορεῖς, μοιχούς, παιδεραστάς, ἀκολασίας καὶ λαγνείας ζηλωτάς, μεγίστων κακῶν ὡς εὐδαιμονικωτάτων ἀγαθῶν. Ἤδε δὲ καὶ ἐπὶ γλῶτταν φθάσασα μυρία ἐνεωτέρισεν· ἔνιοι γὰρ ἐπιθυμοῦσιν ἢ τὰ λεκτέα σιωπᾶν ἢ τὰ ἡσυχαστέα λέγειν, καὶ ἀναφαινομένοις ἕπεται τίμωρος δίκη, καὶ ἐχεμυθοῦσι καὶ τὸ ἐναντίον. Ἁψαμένη δὲ τῶν περὶ γαστέρα παρέχεται γαστριμάργους, ἀκορίστους, ἀσώτους, ὑγρούς, διαῤῥέοντας ζηλωτὰς βίου, χαίροντας οἰνο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φλυγίαις, ὀψοφαγίαις, ἀκράτου καὶ ἰχθύων καὶ ἐδεσμάτων κακοὺς δούλους, περὶ συμπόσια καὶ τραπέζας ἰλυσπωμένους λίχνων τρόπον κνιδίων, ἐξ ὧν τὴν ἀθλίαν καὶ ἐπάρατον συμβαίνει ζωὴν ἀποτελεῖσθαι, παντὸς ἀργαλεωτέραν θανάτου. Ταύτης ἕνεκα τῆς αἰτίας οἱ μὴ χείλεσιν ἄκροις γευσάμενοι φιλοσοφίας, ἀλλὰ τῶν ὀρθῶν δογμάτων αὐτῆς ἐπὶ πλέον ἑστιαθέντες, διερευνησάμενοι φύσιν ψυχῆς καὶ τρίτον εἶδος ἐνιδόντες αὐτῆς, τὸ μὲν λόγου, τὸ δὲ θυμοῦ, τὸ δὲ ἐπιθυμίας· λόγῳ μὲν ὡς ἡγεμόνι τὴν ἄκραν ἀπένειμαν, οἰκειότατον ἐνδιαίτημα, κεφαλήν, ἔνθα καὶ [*] τῶν αἰσθήσεων * αἱ τοῦ νοῦ * καθάπερ βασιλέως δορυφόροι τάξεις παρίδρυνται· θυμῷ δὲ τὰ στέρνα, * τῇ * μὲν ἵνα στρατιώτου τρόπον θώρακα ἀμπεχόμενος, εἰ μὴ καὶ ἀπαθὴς ἐν πᾶσιν, ἀλλὰ καὶ δυσάλωτος ᾖ, τῇ δὲ ἵνα πλησίον τοῦ * νοῦ * παρῳκισμένος ὑπὸ τοῦ γείτονος * ὠφελῆται *, κατεπᾴδοντος * αὐτὸν * φρονήσει καὶ πρᾶα πάθη κατασκευάζοντος· ἐπιθυμίᾳ δὲ * τὸν * περὶ τὸν ὀμφαλὸν καὶ τὸ καλούμενον διάφραγμα χῶρον, ἔδει γὰρ αὐτὴν ἥκιστα μετέχουσαν λογισμοῦ πορρωτάτω τῶν βασιλείων αὐτοῦ διῳκίσθαι, μόνον οὐκ ἐπ' ἐσχατιαῖς, καὶ πάντων ἀπληστότατον καὶ ἀκολαστότατον οὖσαν θρεμμάτων ἐμβόσκεσθαι * τόποις *, ἐν οἷς τροφαὶ καὶ ὀχεῖαι.

*Hinc etiam Moses concupiscentiam vetat, temperantiam iubet.*

3. Πρὸς ὃ μοι δοκεῖ πάντα ἀπιδὼν ὁ ἱερώτατος Μωσῆς ἐκδύσασθαι τὸ πάθος, καὶ μυσαξάμενος ὡς αἴσχιστον καὶ τῶν αἰσχίστων αἴτιον ἀπεῖπεν ἐν τοῖς μάλιστα τὴν ἐπιθυμίαν (Exod. 20, 17 [15]), ὥς τινα τῆς ψυχῆς ἑλέπολιν, ἧς ἀναιρεθείσης ἢ πειθαρχούσης κυ-

βερνήτῃ λογισμῷ πάντα διὰ πάντων εἰρήνης, εὐνομίας, ἀγαθῶν τελείων, ἀναπεπλήσεται πρὸς εὐδαιμονίαν παντελείαν. Φιλοσύντομος δὲ ὢν, καὶ εἰωθὼς ἐπιτέμνειν τὰ ἀπερίγραφα τῷ πλήθει, παραδειγματικῇ διδασκαλίᾳ μίαν τὴν περὶ γαστέρα πραγματευομένην ἐπιθυμίαν ἄρχεται νουθετεῖν τε καὶ παιδεύειν, ὑπολαμβάνων καὶ τὰς ἄλλας οὐκέθ᾽ ὁμοίως ἀφηνιάσειν, ἀλλὰ σταλήσεσθαι τῷ τὴν πρεσβυτάτην καὶ ὡς ἡγεμονίδα μεμαθηκέναι τοῖς σωφροσύνης νόμοις πειθαρχεῖν. Τίς οὖν ἡ διδασκαλία τῆς ἀρχῆς; Συνεκτικώτατα δύω ἐστίν· ἐδωδὴ καὶ πόσις. Ἑκάτερον αὐτῶν οὐκ ἀνῆκεν, ἀλλ᾽ ἐπεστόμισε διατάγμασιν καὶ πρὸς ἐγκράτειαν καὶ πρὸς φιλανθρωπίαν καί, τὸ μέγιστον, πρὸς εὐσέβειαν ἀγωγοτάτοις. Ἀπάρχεσθαι γὰρ ἀπό τε σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ θρεμμάτων καὶ τῶν ἄλλων κελεύει (Num. 18, 12 s.), καὶ τὰς ἀπαρχὰς διανέμειν εἴς τε θυσίας καὶ τοὺς ἱερωμένους, τὰς μὲν ἕνεκα εὐχαριστίας τῆς πρὸς θεὸν ὑπὲρ εὐγονίας καὶ εὐφορίας ἁπάντων, τοὺς δὲ ἕνεκα τῆς περὶ τὸ ἱερὸν ἁγιστείας, μισθὸν ληψομένους τῶν περὶ τὰς ἱερουργίας ὑπηρεσιῶν (Num. 18, 31). Ἐφίεται δὲ τὸ παράπαν οὐδενὶ γεύσασθαί τινος ἢ μεταβαλεῖν, πρὶν διακρῖναι τὰς ἀπαρχάς, ἅμα καὶ πρὸς ἄσκησιν τῆς βιωφελεστάτης ἐγκρατείας· ὁ γὰρ ταῖς περιουσίαις, αἷς ἤνεγκαν αἱ τοῦ ἔτους ὧραι, μαθὼν μὴ ἐπιτρέχειν, ἀλλ᾽ ἐπιμένων ἄχρις ἂν αἱ ἀπαρχαὶ καθοσιωθῶσιν, τὸν ἀφηνιασμὸν τῶν ὁρμῶν ἔοικεν ἀναχαιτίζειν, ἐξευμαρίζων τὸ πάθος.

### Περὶ ζώων.

4. [*] Οὐ μὴν οὐδὲ τῶν ἄλλων μετουσίαν ἀφῆκε καὶ χρῆσιν ἀδεᾶ τοῖς κοινωνοῦσι τῆς ἱερᾶς πολιτείας, ἀλλ᾽ ὅσα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν χερσαίων ἢ ἐνύδρων ἢ πτηνῶν ἐστὶν εὐσαρκότατα καὶ πιότατα, γαργαλίζοντα καὶ ἐρεθίζοντα τὴν ἐπίβουλον ἡδονήν, πάντα ἀνὰ κράτος ἀπεῖπεν, εἰδὼς ὅτι τὴν ἀνδραποδεστάτην τῶν αἰσθήσεων δελεάσαντα γεῦσιν, ἀπληστίαν *ἐργάσεται*, δυσίατον κακὸν ψυχαῖς τε καὶ σώμασιν· ἀπληστία γὰρ τίκτει δυσπεψίαν, ἥτις ἐστὶ νοσημάτων καὶ ἀῤῥωστημάτων ἀρχή τε καὶ πηγή. Χερσαίων μὲν οὖν τὸ ὑῶν γένος ἥδιστον ἀνωμολόγηται παρὰ τοῖς χρωμένοις, ἐνύδρων δὲ τὰ γένη τῶν ἀλεπίδων (Lev. 11, 7. 9. 10). Πρὸς γὰρ ἐγκράτειαν, εἴ κέ τις ἄλλος, ἱκανὸς ὢν ἀλεῖψαι τοὺς εὐφυῶς ἔχοντας, πρὸς ἄσκησιν ἀρετῆς δι' ὀλιγοδείας καὶ εὐκολίας γυμνάζει καὶ συγκροτεῖ, πειρώμενος ἀφελεῖν πολυτέλειαν· οὔτε σκληραγωγίαν, ὡς ὁ Λακεδαιμόνιος νομοθέτης, ἀποδεξάμενος, οὔτε τὸ ἁβροδίαιτον, ὡς ὁ τοῖς Ἴωσι καὶ Συβαρίταις, τὰ περὶ θρύψιν καὶ χλιδὴν εἰσηγησάμενος, ἀλλὰ μέσην ἀτραπὸν ἀμφοῖν ἀνατεμὼν τὸ μὲν σφοδρὸν ἐχάλασε, τὸ δὲ ἀνειμένον ἐπέτεινε, τὰς ἐφ' ἑκατέρων τῶν ἄκρων ὑπερβολὰς ὡς ἐν ὀργάνῳ μουσικῷ κερασάμενος τῇ μέσῃ, πρὸς ἁρμονίαν βίου καὶ συμφωνίαν *ἀνεπίληπτον*· ὅθεν οὐκ ἀμελῶς, ἀλλὰ καὶ πάνυ πεφροντισμένως οἷς χρηστέον ἢ τὸ ἐναντίον διετάξατο. Θηρία ὅσα σαρκῶν ἀνθρωπίνων ἅπτεται, τάχα μὲν ἄν τις ὑπολάβοι δίκαιον εἶναι ταὐτὰ πρὸς ἀνθρώπων πάσχειν οἷς διατίθησι. Μωσῇ δὲ τῆς τούτων ἀπολαύσεως ἀνέχειν δοκεῖ, καὶ προσηνεστάτην καὶ ἡδίστην εὐωχίαν παρασκευάζει, λογιζόμενος τὸ πρέπον ἡμέρῳ ψυχῇ· καὶ γὰρ εἰ τοῖς διατιθεῖσιν ἁρμόττει τὰ παραπλήσια παθεῖν, ἀλλὰ οὐχὶ τοῖς παθοῦσιν ἀντιδιατιθέναι, μὴ λάθωσιν ὑπ' ὀργῆς, ἀγρίου πάθους, θηριωθέντες. Καὶ τοσαύτῃ χρῆται προφυλακῇ τοῦ πράγματος, ὥστε, μακρόθεν

ἀνεῖρξαι βουλόμενος τὴν ἐπὶ τὰ λεχθέντα ὁρμήν, ἀπαγορεύει καὶ τῆς τῶν ἄλλων σαρκοβόρων ἀνὰ κράτος χρήσεως, τὰ ποηφάγα διακρίνας εἰς ἡμέρους ἀγέλας, ἐπεὶ καὶ τὴν φύσιν ἐστὶ τιθασσά, τροφαῖς *ἡμέροις ἃς ἀναδίδωσι γῆ* χρώμενα, καὶ μηδὲν εἰς ἐπιβουλὴν πραγματευόμενα.

### Τετραπόδων ὅσα καθαρά.

5. [*] Δέκα (Deut. 14, 4 s.) δέ ἐστιν ἀριθμῷ· μόσχος, ἀμνός, χίμαρος, ἔλαφος, δορκάς, βούβαλος, τραγέλαφος, πύγαργος, ὄρυξ, καμηλοπάρδαλις. Ἀεὶ γὰρ τῆς ἀριθμητικῆς θεωρίας περιεχόμενος ἦν, ἀκριβῶς κατανενοηκὼς ὅτι πλεῖστον ἐν τοῖς οὖσιν δύναται, οὐδὲν οὐ μικρόν, οὐ μέγα νομοθετεῖ, μὴ προσπαραλαβὼν καὶ ὥσπερ ἐφαρμόσας τὸν οἰκεῖον τοῖς νομοθετουμένοις. Ἀριθμῶν δὲ τῶν ἀπὸ μονάδος τελειότατος ἡ δεκάς καί, ὥς φησι Μωυσῆς, ἱερώτατός τε καὶ ἅγιος, ᾧ τὰ γένη τῶν καθαρῶν ζῴων ἐπισφραγίζεται, βουληθεὶς τὴν τούτων χρῆσιν ἀπονεῖμαι τοῖς μετέχουσιν τῆς κατ᾽ αὐτὸν πολιτείας. Βάσανον (Lev. 11, 3. Deut. 14, 6) δὲ καὶ δοκιμασίαν τῶν δέκα ζῴων ὑπογράφεται κοινῇ κατὰ διττὰ σημεῖα, τό τε διχηλεῖν καὶ τὸ μηρυκᾶσθαι· οἷς γὰρ ἢ μηδέτερον ἢ θάτερον αὐτὸ μόνον πρόσεστιν, ἀκάθαρτα. Ταῦτα δὲ τὰ σημεῖα ἀμφότερα σύμβολα διδασκαλίας καὶ μαθήσεως ἐπιστημονικωτάτης ἐστίν, ᾗ πρὸς τὸ ἀσύγχυτον τὰ βελτίω τῶν ἐναντίων διακρίνεται. Καθάπερ γὰρ τὸ μηρυκώμενον ζῷον, ὅτε διατέμνον τὴν τροφὴν ἐναπερείσηται τῇ φάρυγγι, πάλιν ἐκ τοῦ κατ᾽ ὀλίγον ἀναμάττει καὶ ἐπιλεαίνει, καὶ μετὰ ταῦτα εἰς κοιλίαν διαπέμπεται· τὸν αὐτὸν τρόπον καὶ ὁ παιδευόμενος, δεξάμενος δι᾽ ὤτων τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοφίας δόγματα καὶ θεωρήματα παρὰ τοῦ διδάσκοντος, ἐπὶ πλέον ἔχει τὴν μάθησιν, οὐχ οἷός τε ὢν εὐθὺς συλλαβέσθαι καὶ περιδράξασθαι κραταιότερον, ἄχρις ἂν ἕκαστον ὧν ἤκουσεν ἀναπολῶν μνήμῃ συνεχέσι μελέταις — αἱ δέ εἰσι κόλλα νοημάτων — ἐναποσφραγίσηται τῇ ψυχῇ βεβαίως τὸν τύπον. Ἀλλ' οὐδὲν ὡς ἔοικεν ὄφελος ἡ τῶν νοημάτων βεβαία κατάληψις, εἰ μὴ προσγένοιτο διαστολὴ τούτων καὶ διαίρεσις εἴς τε αἵρεσιν ὧν χρὴ καὶ φυγὴν τῶν ἐναντίων, ἧς τὸ διχηλοῦν σύμβολον. Ἐπεὶ τοῦ βίου διττὴ ὁδός, ἡ μὲν ἐπὶ κακίαν, ἡ δὲ ἐπ' ἀρετὴν ἄγουσα, καὶ δεῖ τῆς μὲν ἀποστρέφεσθαι, τῆς δὲ μηδέποτε ἀπολείπεσθαι.

### Τετραπόδων τὰ μὴ καθαρά.

9. Διὰ τοῦθ' ὅσα ἢ μονώνυχα ἢ πολύσχιδα τὰ μὲν ὅτι ἀκάθαρτα αἰνίττεται μίαν καὶ τὴν αὐτὴν φύσιν ἀγαθοῦ τε καὶ κακοῦ, καθάπερ κοίλου περιφεροῦς καὶ ἀνάντους ὁδοῦ καὶ κατάντους, τὰ δὲ ὅτι πολλὰς ὁδούς, μᾶλλον δὲ ἀνοδίας ἐμφαίνει τῷ [*] βίῳ πρὸς ἀπάτην· οὐ γὰρ ῥᾴδιον ἐν πλήθει τὴν ἀνυσιμωτάτην καὶ ἀρίστην ἀτραπὸν *καταλαβεῖν*.

### Περὶ ἐνύδρων καθαρῶν.

10. Τούτοις ἐπὶ τῶν χερσαίων τοὺς ὅρους θεὶς παρέρχεται καὶ τῶν ἐνύδρων τὰ πρὸς ἐδωδὴν καθαρὰ διαγράφειν, σημειωσάμενος καὶ ταῦτα διττοῖς χαρακτῆρσι· [πτερυγίοις] καὶ λεπίσι (Lev. 11, 9 s. Deut. 14, 10). Τὰ γὰρ ἢ μηδέτερον ἢ θάτερον ἔχοντα παραπέμπει καὶ παραιτεῖται. Τὸ δὲ αἴτιον οὐκ ἄπο σκοποῦ λεκτέον. Ὅσα μὲν ἢ ἀμφοῖν ἀμέτοχα ἢ τοῦ ἑτέρου, κατασύρεται πρὸς τοῦ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ῥοώδους, ἀντέχειν ἀδυνατοῦντα τῇ βίᾳ τῆς φορᾶς· οἷς δὲ ἑκάτερον πρόςεστιν, ἀποστρέφει, μετωπηδὸν ἀνθίσταται, καὶ φιλονεικοῦντα πρὸς τὸν ἀντίπαλον προθυμίαις καὶ τόλμαις ἀηττήτοις γυμνάζεται, ὡς ὠθούμενά τε ἀντωθεῖν καὶ διωκόμενα ἀντεπιτρέχειν, ὁδοὺς ἐν δυςοδίαις ἀναστέλλοντα εὐρείας πρὸς διεξόδους εὐμαρεῖς. Σύμβολα δὲ καὶ ταῦτ' ἐστὶν τὰ μὲν πρότερα φιληδόνου ψυχῆς, τὰ δὲ ὕστερα καρτερίαν καὶ ἐγκράτειαν ποθούσης. Ἡ μὲν γὰρ ἐφ' ἡδονὴν ἄγουσα κατάντης ἐστὶ καὶ ῥάστη, συρμὸν ἀπεργαζομένη μᾶλλον ἢ περίπατον· ἀνάντης δὲ ἡ πρὸς ἐγκράτειαν, ἐπίπονος μέν, ἐν δὲ τοῖς μάλιστα ὠφέλιμος. Καὶ ἡ μὲν ὑποφέρει καὶ ὑπονοστεῖν ἀναγκάζει τῷ πρανεῖ κατάγουσα, μέχρις ἂν εἰς τὰ τῆς ἐσχατιᾶς ἀποβράσῃ· ἡ δὲ εἰς οὐρανὸν ἄγει, τοὺς μὴ προκαμόντας ἀθανατίζουσα, τὸ τραχὺ καὶ δυςαναπόρευτον αὐτῆς ἰσχύσαντας ὑπομεῖναι.

*Περὶ ἑρπετῶν.* (Lev. 11, 20. 22. 42.)

8. Τῆς δὲ αὐτῆς ἰδέας ἐχόμενος τῶν ἑρπετῶν ὅσα ἢ ἄποδα ἢ συρμῷ τῆς γαστρὸς ἰλυσπώμενα, ἢ τετρασκελῆ καὶ πολύποδα, φησὶν εἶναι πρὸς ἐδωδὴν οὐ καθαρά· πάλιν αἰνιττόμενος διὰ μὲν ἑρπετῶν τοὺς ἐπὶ κοιλίαις τὸν αἰθυίης τρόπον ἐμφορουμένους καὶ γαστρὶ τῇ ταλαίνῃ δασμοὺς ἀπαύστως εἰςφέροντας, ἀκράτου, πεμμάτων, ἰχθύων, συνόλως ὅσα σιτοπόνων καὶ ὀψαρτυτῶν τετεχνιτευμέναι περιεργίαι μετὰ παντοίων ἐδεσμάτων δημιουργοῦσιν, ἀναῤῥιπίζουσαι καὶ προςαναφλέγουσαι τὰς ἀπλήστους καὶ ἀκορέστους ἐπιθυμίας· διὰ δὲ τῶν τετρασκελῶν καὶ πολυπόδων τοὺς *μὴ ἑνὸς* πάθους, ἐπιθυμίας, ἀλλὰ συμπάντων κακοὺς δούλους, ὧν γένη μὲν ἐστι τέτταρα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀριθμῷ, μυρία δὲ τοῖς εἴδεσιν. Χαλεπὴ μὲν οὖν καὶ ἡ ἑνὸς δεσποτεία, βαρυτάτη δὲ καὶ ἀφόρητος, ὡς εἰκός, ἡ πλειόνων. Οἷς δὲ τῶν ἑρπετῶν ὑπεράνω σκέλη τῶν ποδῶν ἐστίν, ὥστε πηδᾶν ἀπὸ τῆς γῆς δύνασθαι, ταῦτα ἐν [*] καθαροῖς ἀναγράφει, καθάπερ τὰ τῶν ἀκρίδων γένη καὶ τὸν ὀφιομάχον καλούμενον· πάλιν διὰ συμβόλων ἤθη καὶ τρόπους λογικῆς ψυχῆς διερευνώμενος. Ἡ μὲν γὰρ τοῦ σώματος ὁλκὴ φύσει βρίθουσα τοὺς ὀλιγόφρονας συνεφέλκεται, τῷ πλήθει τῶν σαρκῶν αὐχενίζουσα καὶ πιέζουσα. Μακάριοι δὲ οἷς ἐξεγένετο κραταιοτέρᾳ δυνάμει πρὸς τὴν ῥοπὴν τῆς ὁλκῆς ἀντιβιάσασθαι παιδείας κανόσιν ὀρθῆς, ἄνω πηδᾶν δεδιδαγμένοις ἀπὸ γῆς καὶ τῶν χαμαιζήλων εἰς αἰθέρα καὶ τὰς οὐρανοῦ περιόδους, ὧν ἡ θέα ζηλωτὴ καὶ περιμάχητος τοῖς ἑκουσίως, ἀλλὰ μὴ παρέργως ἥκουσιν.

Περὶ πτηνῶν. (Lev. 11, 13 ss. Deut. 14, 12 ss.)

9. Ἐπεληλυθὼς οὖν τῷ λόγῳ τάς τε τῶν χερσαίων καὶ τὰς τῶν ἐνύδρων ζώων ἰδέας, καὶ νόμοις αὐτὰς ὡς ἐνῆν ἄριστα διακρίνας, ἄρχεται καὶ τὴν λοιπὴν φύσιν τῶν ἐν ἀέρι προσεξετάζειν, μυρία γένη τῶν πτηνῶν· ἀποδοκιμάσας ὅσα ἢ κατ' ἄλλων ἢ κατ' ἀνθρώπων φονᾷ, σαρκοβόρα καὶ ἰοβόλα καὶ συνόλως ἐπιβούλοις κεχρημένα ταῖς δυνάμεσι. Φάττας δὲ καὶ περιστερὰς καὶ τρυγόνας καὶ τὰς γεράνων καὶ χηνῶν καὶ ὁμοιοτρόπων ἀγέλας ἐν τῇ τιθασσῶν καὶ ἡμέρων τάξει καταριθμεῖ, παρέχων τοῖς βουλομένοις τὴν τούτων χρῆσιν ἀδεᾶ. — Οὕτως ἐφ' ἑκάστου τῶν τοῦ κόσμου μερῶν, γῆς, ὕδατος, ἀέρος, γένη παντοίων ζώων, χερσαῖα καὶ ἔνυδρα καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πτηνά, τῆς ἡμετέρας χρήσεως ὑφαιρῶν, καθάπερ ὕλην πυρός, σβέσιν τῆς ἐπιθυμίας ἀπεργάζεται.

*Περὶ θνησιμαίων καὶ θηριαλώτων.*

10. Κελεύει (Lev. 5, 2) μέντοι μήτε θνησιμαῖον μήτε θηριάλωτον προσίεσθαι· τὸ μὲν ὡς οὐ δέον κοινωνεῖν τραπέζας ἀνθρώπων ἀτιθάσσοις θηρίοις, μόνον οὐ συνευωχούμενον ταῖς σαρκοφαγίαις· τὸ δὲ ὡς τάχα μὲν βλαβερὸν καὶ νοσῶδες, ἐναποτεθνηκότος τοῦ ἰχῶρος μετὰ τοῦ αἵματος, τάχα δὲ ἐπεὶ καὶ τελευτῇ προκατεσχημένον ἁρμόττον ἦν ἄψαυστον διαφυλάττειν, αἰδουμένους τὰς φύσεως ἀνάγκας αἷς προκατελήφθη. Τοὺς περὶ τὰ κυνηγέσια δεινούς, ἥκιστα διαμαρτάνοντας, καὶ ἐπ' εὐθήροις ἄγραις ὑψαυχενοῦντας, καὶ μάλιστα ὅταν σὺν τοῖς κυνηγοῖς ἀνδράσιν ὁμοῦ καὶ σκύλαξιν διανέμωσι τὰ μέρη τῶν ἑαλωκότων, ἐπαινοῦσι μὲν οἱ πολλοὶ τῶν παρ' Ἕλλησι καὶ βαρβάροις νομοθετῶν, ὡς οὐκ ἀνδρείους μόνον, ἀλλὰ καὶ κοινωνικοὺς τὸ ἦθος. [*] *Ἐμέμψατο δὲ αὖθις* εἰκότως ὁ τῆς ἱερᾶς εἰσηγητὴς πολιτείας, ἄντικρυς ἀπειρηκὼς θνησιμαίων καὶ θηριαλώτων ἀπόλαυσιν διὰ τὰς εἰρημένας αἰτίας. Εἰ δέ τις τῶν ἀσκητῶν φιλογυμναστὴς γένοιτο καὶ φιλόθηρος, μελέτας καὶ *προαγῶνας* ὑπολαμβάνων εἶναι πολέμων καὶ κινδύνων τῶν πρὸς ἐχθρούς, ὁπότε χρήσαιτο εὐτυχίᾳ τῇ περὶ ἄγραν, †καὶ† τοὺς ἑαλωκότας θῆρας προτιθέτω κυσὶν εὐωχίαν, μισθὸν ἢ γέρας εὐτολμίας καὶ ἀνυπαιτίου συμμαχίας· αὐτὸς δὲ μὴ ψαυέτω, προδιδασκόμενος ἐν ἀλόγοις ζώοις, ἃ χρὴ καὶ περὶ ἐχθρῶν φρονεῖν, οἷς πολεμητέον οὐ διὰ κέρδος ἄδικον, λωποδυτούντων τὰς πράξεις, ἀλλὰ ἤτοι διὰ κακῶν ὧν προπεπόνθασιν ἀμυνομένοις, ἢ

δι' ἃ προςδοκῶσι πείσεσθαι. Ἔνιοι δὲ Σαρδανάπαλλοι τῆς ἀκρασίας τὸ ἄγαν ἁβροδίαιτον αὐτῶν χανδὸν πρὸς τὸ ἀόριστον καὶ ἀτελεύτητον ἀποτείνονται, *καινὰς* ἐπινοοῦντες ἡδονὰς ἄθυτα παρασκευάζουσιν, ἄγχοντες καὶ ἀποπνίγοντες τὴν οὐσίαν τῆς ψυχῆς (Lev. 17, 11), ἣν ἐλεύθερον καὶ ἄφετον ἐχρῆν ἐᾶν, ἐντυμβεύοντες τῷ σώματι τὸ αἷμα. Σαρκῶν γὰρ αὐτὸ μόνον ἀπολαύειν αὐταρκὲς ἦν, μηδενὸς ἐφαπτομένους τῶν συγγένειαν πρὸς ψυχὴν ἐχόντων. Ὅθεν ἐν ἑτέροις τίθησι νόμον περὶ αἵματος μήθ' αἷμα μήτε στέαρ προςφέρεσθαι (Lev. 3, 17)· τὸ μὲν αἷμα δι' ἣν εἶπον αἰτίαν, ὅτι οὐσία ψυχῆς ἐστίν, οὐχὶ τῆς νοερᾶς καὶ λογικῆς, ἀλλὰ τῆς αἰσθητικῆς, καθ' ἣν ἡμῖν τε καὶ τοῖς ἀλόγοις κοινὸν τὸ ζῆν συμβέβηκεν

### *Περὶ ψυχῆς ἀνθρώπου.*

11. — ἐκείνης γὰρ οὐσία πνεῦμα θεῖον καὶ μάλιστα κατὰ Μωσῆν, ὅς ἐν τῇ κοσμοποιΐᾳ φησίν, ἀνθρώπῳ τῷ πρώτῳ καὶ ἀρχηγέτῃ τοῦ γένους ἡμῶν ἐμφυσῆσαι πνοὴν ζωῆς τὸν θεὸν εἰς τὸ τοῦ σώματος ἡγεμονικώτατον, τὸ πρόςωπον, ἔνθα αἱ δορυφόροι τοῦ νοῦ καθάπερ μεγάλου βασιλέως, αἰσθήσεις, παρίδρυνται, τὸ δὲ ἐμφυσώμενον δῆλον ὡς αἰθέριον ἦν πνεῦμα, καὶ εἰ δή τι αἰθερίου πνεύματος κρεῖττον, ἅτε τῆς μακαρίας καὶ τριςμακαρίας φύσεως ἀπαύγασμα —· τὸ δὲ στέαρ, διότι πιότατον, πάλιν εἰς διδασκαλίαν ἐγκρατείας καὶ ζῆλον αὐστηροῦ βίου· τὰ μὲν ῥᾷστα καὶ κατὰ χειρὸς μεθίεμεν, οὐ φροντίδας δὲ καὶ πόνους ἐθελοντὶ ἕνεκα κτήσεως ἀρετῆς ὑπομένοντες. Ἧς χάριν αἰτίας ἀπὸ παντὸς ἱερείου δύο ταῦτα ἐξαίρετα ὁλόκαυτα, ὥςπερ τινὲς ἀπαρχαί, στέαρ τε καὶ αἷμα· τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[*] μὲν ὡς σπονδὴ τῷ βωμῷ προςχεόμενον, τὸ δὲ ὡς ὕλη φλογὸς ἐπιφερόμενον ἀντ' ἐλαίου διὰ τὴν πιότητα τῷ καθοσιωμένῳ καὶ ἱερῷ πυρί. Μέμφεταί τινας τῶν καθ' αὑτὸν γεγονότων ὡς γαστριμάργους καὶ τὸ καθηδυπαθεῖν ὡς εὐδαιμονικὸν ἐν τοῖς μάλιστα εἶναι ὑπολαμβάνοντας, οἷς οὐκ ἀπέχρη κατὰ πόλεις αὐτὸ μόνον τρυφᾶν, ἐν αἷς αἱ χορηγίαι καὶ παρασκευαὶ τῶν ἐπιτηδείων ἄφθονοι, ἀλλὰ καὶ ἐρημίαις ἀβάτοις καὶ ἀτριβέσιν, ἀξιοῦντες ἐν ταύταις ἀγορὰς ἔχειν ἰχθύων καὶ κρεῶν καὶ τῶν ἐν εὐετηρίᾳ πάντων. Εἶτ' ἐπειδὴ σπάνις ἦν, συνιστάμενοι κατεβόων καὶ κατηγόρουν καὶ ἐδυςώπουν ἀναισχύντῳ θράσει τὸν ἄρχοντα καὶ οὐ πρότερον ἐπαύσαντο νεωτερίζοντες ἢ τυχεῖν μὲν ὧν ὠρέγοντο, τυχεῖν δὲ ἐπ' ὀλέθρῳ — δυοῖν ἕνεκα· τοῦ τε ἐπιδείξασθαι, ὅτι πάντα θεῷ δυνατὰ πόρον ἐξ ἀμηχάνων καὶ ἀπόρων ἀνευρίσκοντι, καὶ τοῦ τιμωρήσασθαι τοὺς γαστρὸς ἀκράτορας καὶ ἀφηνιαστὰς ὁσιότητος. Ἀπὸ γὰρ τῆς θαλάττης ἀρθὲν ὀρτυγομήτρας νέφος ἐγχεῖται παρὰ τὴν ἕω, καὶ τὸ μὲν στρατόπεδον καὶ τὰ πέριξ ἐφ' ἡμερήσιον ἀνδρὸς εὐζώνου πανταχόθεν ἐν κύκλῳ ὑπεσκίαστο (Ex. 16, 13. Num. 11, 31), τὸ δὲ ὕψος τῆς τῶν ζώων πτήσεως *ἐν* διπήχει συναριθμουμένῳ διαστήματι τῆς γῆς ἀφειστήκει πρὸς εὐμαρῆ σύλληψιν. Εἰκὸς μὲν οὖν τὸ τεράστιον τοῦ μεγαλουργηθέντος καταπλαγέντας ἀρκεσθῆναι τῇ θέᾳ, καὶ γεμισθέντας εὐσεβείας καὶ ταύτῃ τραφέντας ἀποσχέσθαι κρεωφαγίας· οἱ δὲ μᾶλλον ἢ πρότερον ἐπιθυμίαν ἐγείροντες ὡς ἐπὶ μέγιστον ἀγαθὸν ἵεντο καὶ τὰ ζῷα ταῖς ἀμφοτέραις χερσὶν ἐφελκόμενοι τοὺς κόλπους ἐπλήρουν (Num. 11, 32). Εἶτα ἐναποτιθέμενοι ταῖς σκηναῖς ἐφ' ἑτέρων σύλληψιν ἐξίεσαν — αἱ γὰρ ἄγαν πλεονεξίαι μέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τρον οὐκ ἔχουσιν — καὶ σκευάζοντες πᾶσαν ἰδέαν ἀπλήστως ἐνεφοροῦντο, μέλλοντες, οἱ κενοὶ φρενῶν, ὑπὸ τῆς πλησμονῆς ἀπόλλυσθαι. Καὶ δῆτα οὐκ εἰς μακρὰν καθάρσεσι χολῆς ἐφθάρησαν (ibid. v. 20), ὡς καὶ τὸ χωρίον ἀπὸ τοῦ περὶ αὐτοὺς πάθους τὴν ἐπωνυμίαν λαβεῖν. Ἐκλήθη γὰρ „Μνήματα τῆς ἐπιθυμίας“ (ib. v. 34), ἧς οὐκ ἔστιν ἐν ψυχῇ, καθάπερ ἐδίδαξεν ὁ λόγος, μεῖζον κακόν. Διὸ παγκάλως ἐν ταῖς παραινέσεσι Μωσῆς φησίν· „Οὐ ποιήσει ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ“ (Deut. 12, 8), τόδε ἐστὶν ἴσον τῷ „Μηδεὶς τῇ ἐπιθυμίᾳ τῇ αὐτοῦ χαριζέσθω· εὐαριστείτω γάρ τις θεῷ, κόσμῳ φύσει, νόμοις, σοφοῖς ἀνδράσι, φιλαυτίαν παραιτούμενος, εἰ μέλλει καλὸς κἀγαθὸς γενήσεσθαι.“

*Conclusio.*

12. Τοσαῦτα καὶ τῶν εἰς ἐπιθυμίαν ἀναφερομένων ἀποχρώντως κατὰ τὴν δύναμιν εἴρηται πρὸς συμπλήρωσιν τῶν δέκα λογίων καὶ τῶν τούτοις ὑποστελλόντων· [*] εἰ γὰρ δεῖ τὰ μὲν φωνῇ θείᾳ χρησμῳδηθέντα κεφάλαια γένη νόμων ἀποδεῖξαι, τοὺς δὲ κατὰ μέρος πάντας οὓς διερμήνευσε Μωσῆς ὑποστέλλων τὰ εἴδη, πρὸς δὲ τὸ *ἀσύγχυτον* τῆς ἀκριβοῦς καταλήψεως, φιλοτεχνίας ἐδέησεν, ᾗ χρησάμενος ἑκάστῳ τῶν γενῶν ἐξ ἁπάσης τῆς νομοθεσίας τὰ οἰκεῖα προσένειμα καὶ προσέφυσα. Τούτων μὲν δὲ ἅλις. Οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι, ὥσπερ ἰδίᾳ ἑκάστῳ τῶν δέκα συγγενῆ τινὰ τῶν ἐπὶ μέρους, ἃ πρὸς ἕτερον γένος οὐδεμίαν ἔχει κοινωνίαν, οὕτως ἔνια κοινὰ πάντων συμβέβηκεν οὐχ ἑνὶ ἢ δυσίν, ὡς ἔπος εἰπεῖν, τοῖς δέκα λογίοις ἐφαρμόττοντα. Ταῦτα δὲ εἰσὶν αἱ κοινωφελεῖς ἀρεταί· καὶ γὰρ ἕκαστος ἰδίᾳ τῶν δέκα χρησμῶν

καὶ κοινῇ πάντες ἐπὶ φρόνησιν καὶ δικαιοσύνην καὶ θεοσέβειαν καὶ τὸν ἄλλον χορὸν τῶν ἀρετῶν ἀλείφουσιν καὶ προτρέπουσι, βουλαῖς μὲν ἀγαθαῖς ὑγιαίνοντας λόγους, λόγοις δὲ σπουδαίας πράξεις συνείροντες, ἵνα τὸ ψυχῆς ὄργανον εὐαρμόστως ὅλον δι' ὅλων *συνηχῇ* πρὸς ἐμμέλειαν βίου καὶ συμφωνίαν ἀνεπίληπτον. Περὶ μὲν οὖν τῆς ἡγεμονίδος τῶν ἀρετῶν, εὐσεβείας καὶ ὁσιότητος, ἔτι δὲ καὶ φρονήσεως καὶ σωφροσύνης εἴρηται πρότερον, νυνὶ δὲ περὶ τῆς ἐπιτηδευούσης ἀδελφὰ καὶ συγγενῆ ταύταις δικαιοσύνης λεκτέον.

# ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

# DE IUSTITIA.

## I.

*Iustitia cordi imprimenda, manui alliganda, prae oculis vibranda.*

1. Ἓν τὸ δικαιοσύνης οὐ βραχὺ μέρος *ἦν* τὸ πρὸς δικαστήρια καὶ δικαστήν, οὗ πρότερον ἐποίησα μὲν ὑπόμνησιν, ἡνίκα τὰ τῶν μαρτυρίων ἐπὶ πλέον ἀπομηκύνων διεξῄειν ἕνεκα τοῦ μηδὲν *παραλειφθῆναι* τῶν ἐμφερο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μένων. Οὐκ εἰωθὼς δὲ παλιλλογεῖν, εἰ μή πού τις ἀνάγκη γένοιτο βιαζομένων τῶν καιρῶν, ἐκεῖνο μὲν ἐάσω, πρὸς δὲ τὰ ἄλλα μέρη τρέψομαι, τοσοῦτον προειπών. Τὰ δίκαια, φησὶν ὁ νόμος (Deut. 6, 6. 8), ἐντιθέναι δεῖ τῇ καρδίᾳ, καὶ ἐξάπτειν εἰς σημεῖον ἐπὶ τῆς χειρός, καὶ εἶναι σειόμενα πρὸ ὀφθαλμῶν· αἰνιττόμενος διὰ τοῦ προτέρου, ὅτι χρὴ μὴ ὠσὶν ἀπίστοις παρακατίθεσθαι τὰ δίκαια — πίστις γὰρ ἀκοαῖς οὐκ ἔνεστιν —, ἀλλὰ τῷ ἡγεμονικωτάτῳ, πάντων ἀρίστῳ [*] ἀναθημάτων τυποῦν ταῦτά καὶ *χαράττειν* σφραγῖσι δοκίμοις· διὰ τοῦ δὲ δευτέρου τὸ μὴ μόνον ἐννοίας λαμβάνειν τῶν καλῶν, ἀλλὰ καὶ τὰ δόξαντα πράττειν ἀνυπερθέτως. Ἡ γὰρ χεὶρ πράξεως σύμβολον, ἧς ἐξάπτειν καὶ ἐξαρτᾶν τὰ δίκαια προστάττει, σημεῖον ἔσεσθαι τοῦτο φάσκων, καί τινος ἄντικρυς οὐ διείρηκε, διὰ τὸ *μὴ ἑνός*, ὥς γ᾽ ἐμοὶ δοκεῖ, πολλῶν δὲ γενέσθαι καὶ σχεδὸν ἁπάντων ἐν οἷς ὁ ἀνθρώπινος βίος. Διὰ δὲ τοῦ τρίτου τὸ ἀεὶ καὶ πανταχοῦ φαντασιοῦσθαι τὰ δίκαια, καθάπερ ἐγγὺς ὄντα ὀφθαλμῶν. Σάλον δὲ ἐχέτω ταῦτα κινούμενον, φησίν, οὐχ ἵνα ἀβέβαιον καὶ ἀνίδρυτον, ἀλλ᾽ ἵνα τῇ κινήσει τὴν ὄψιν ἐκκαλῇ πρὸς ἀρίδηλον θέαν· ὁράσεως γὰρ ἐπαγωγὸν ἡ κίνησις ἐξερεθίζουσα καὶ ἀνεγείρουσα, μᾶλλον δὲ ἀκοιμήτους καὶ ἐγρηγορότας κατασκευάζουσα ὀφθαλμούς. Ὅτῳ δὲ ἐξεγένετο τυπώσασθαι μὲν τῷ τῆς ψυχῆς ὄμματι μὴ ἡσυχάζοντα, ἀλλὰ κινούμενα καὶ ταῖς κατὰ φύσιν ἐνεργείαις χρώμενα, τέλειος ἀνὴρ ἀναγεγράφθω, μηκέτι ἐν τοῖς γνωρίμοις καὶ μαθηταῖς ἐξεταζόμενος, ἀλλ᾽ ἐν διδασκάλοις καὶ ὑφηγηταῖς· καὶ παρεχέτω τοῖς ἐθέλουσιν ἀφύεσθαι τῶν νέων ὥσπερ ἀπὸ πηγῆς τῶν λόγων καὶ δογμάτων ἄφθονον νᾶμα (Deut. 6, 7). Καὶ [ἂν] τῶν ἀτολμοτέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρων τις ὑπ' αἰδοῦς μέλλει καὶ βραδύνει προσέρχεσθαι μανθανόμενος, αὐτὸς ἰὼν ἐπαντλείτω καὶ *ἐποχετευέτω* ταῖς ἀκοαῖς ἀθρόας ὑφηγήσεις, ἄχρις ἂν αἱ δεξαμεναὶ τῆς ψυχῆς γεμισθῶσι. Προδιδασκέτω δὴ τὰ δίκαια συγγενεῖς καὶ φίλους καὶ πάντας νέους (Ibid.) οἴκοι καὶ ἐν ὁδῷ, καὶ πρὸς κοίτην ἰόντας καὶ ἀνισταμένους, ἵνα ἐν πάσαις μὲν σχέσεσι καὶ κινήσεσιν, ἐν πᾶσι δὲ χωρίοις ἰδίοις τε καὶ δημοσίοις, μὴ μόνον ἐγρηγορότες, ἀλλὰ καὶ κοιμώμενοι, φαντασίαις τῶν δικαίων ἐνευφραίνωνται. Τέρψις γὰρ οὐκ ἔστιν ἡδίων ἢ τὴν ψυχὴν ὅλην δι' ὅλων πεπληρῶσθαι δικαιοσύνης, ἐμμελετῶσαν αὐτῆς τοῖς ἀιδίοις δόγμασι καὶ θεωρήμασιν, οὐκ ἔχουσαν ἔρημον τόπον εἰς ὃν ἀδικία παρελεύσεται. Κελεύει δὲ καὶ γράψαντας αὐτὰ *πρόσθεν τῶν φλιῶν* οἰκίας ἑκάστης προτιθέναι καὶ πυλῶν τῶν ἐν τοῖς τείχεσι, ἵνα οἱ μὲν ἐκδημοῦντες καὶ ἐνδημοῦντες, ἀστοὶ καὶ ξένοι, τοῖς πρὸ τῶν πυλῶν γράμμασιν ἐστηλιτευμένοις ἐντυγχάνοντες, ἄληστον ἔχωσι τὴν τῶν λεκτέων καὶ πρακτέων μνήμην, ἑκάτεροι φροντίζοντες τοῦ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, εἰς δὲ τὰς οἰκίας εἰσιόντες καὶ πάλιν ἐξιόντες, ἄνδρες ὁμοῦ καὶ γυναῖκες καὶ τέκνα καὶ θεράποντες, [*] τὰ ἁρμόττοντα καὶ ἐπιβάλλοντα δρῶσιν ὑπέρ τε ἀλλήλων καὶ ὑπὲρ ἑαυτῶν.

## Ὅτι οὐ δεῖ προστιθέναι ἢ ἀφαιρεῖν.

2. Θαυμασιώτατον δὲ κἀκεῖνο διαγορεύει, τὸ μηδὲν προστιθέναι ἢ ἀφαιρεῖν, ἀλλ' ἐν ἴσῳ καὶ ὁμοίῳ διαφυλάττειν ἀκίνητα τὰ ἐξ ἀρχῆς ὁρισθέντα νόμιμα· συμβαίνει γὰρ ὡς ἔοικε τὴν μὲν πρόσθεσιν [εἶναι] τῶν ἀδίκων. Οὐδὲν γὰρ ἔστιν ὃ παραλέλειπται τῷ σοφῷ νο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μοθέτῃ πρὸς ὁλοκλήρου καὶ παντελοῦς μετουσίαν δικαιοσύνης. Αἰνίττεται μέντοι καὶ ταῖς ἄλλαις ἀρεταῖς ἀκρότητας· ἑκάστη γὰρ αὐτῶν ἀνελλιπής ἐστι καὶ πλήρης, τὸ ἐντελὲς ἔχουσα ἐξ αὑτῆς, ὥστε εἰ γένοιτο πρόσθεσίς τις καὶ ἀφαίρεσις, ὅλην δι' ὅλου τρέπεσθαι καὶ μεταβάλλεσθαι πρὸς τὴν ἐναντίαν ἕξιν. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. Τὴν ἀνδρείαν ἀρετὴν περὶ τὰ δεινὰ πραγματευομένην ἴσασιν οἱ μὴ παντελῶς ἄμουσοι καὶ ἀχόρευτοι, κἂν ἐπὶ βραχὺ παιδείας προσάψωνται, τῶν ὑπομενητέων οὖσαν ἐπιστήμην. Ἀλλ' ἐάν τις εἴξας ἀμαθίᾳ τῇ δι' ἀλαζονείαν, ὡς δὴ περιττὸς καὶ ἱκανὸς ἐπανορθοῦσθαι τὰ ἀνεπιδεᾶ, προστιθέναι ἢ ἀφαιρεῖν τι τολμᾷ, σύμπασαν ἀλλάσσει τὴν εἰκόνα, μετατυπώσας αἰσχρὸν ἀντὶ καλοῦ χαρακτῆρος· ἀπεργάσεται γὰρ τῇ μὲν προσθέσει θρασύτητα, τῇ δὲ ἀφαιρέσει δειλίαν, μηδ' ὄνομα τῆς βιωφελεστάτης ἀνδρείας καταλιπών. Τὸν αὐτὸν μὲν τρόπον καὶ ἂν τῇ βασιλίδι τῶν ἀρετῶν, εὐσεβείᾳ, προσθῇ τις ὅ τι οὖν μικρὸν ἢ μέγα, ἢ τὸ ἐναντίον ἀφέλῃ, καθ' ἕτερον ἀπαλλάξει καὶ μεταμορφώσει τὸ εἶδος· γεννήσει γὰρ ἡ μὲν πρόσθεσις δεισιδαιμονίαν, ἡ δὲ ἀφαίρεσις ἀσέβειαν — ἀφανισθείσης αὖ τῆς εὐσεβείας, ἧς ἀνίσχειν καὶ ἐπιλάμπειν εὐκταῖον ἀγαθόν, ἐπειδὴ τοῦ μεγίστου τῶν ἀγαθῶν αἰτία καθέστηκεν, ἐπιστήμην ἐμποιοῦσα θεραπείας θεοῦ, ἣν πάσης ἀρχῆς καὶ ἡγεμονίας ἀρχικωτέραν καὶ βασιλικωτέραν εἶναι νομιστέον. Παραπλήσια δὲ τοῖς εἰρημένοις καὶ περὶ τῶν ἄλλων ἀρετῶν ἑκάστης ἔστι λέγειν· ἀλλ' ἐπιτέμνειν εἰωθὼς τὰ μήκη τῶν λόγων ἀρκεσθήσομαι τοῖς εἰρημένοις, ἃ καὶ τῶν ἡσυχαζομένων ἱκανὰ μηνύματα γένοιτο ἄν.

*Περὶ τοῦ μὴ παρακινεῖν ὅρια.* (Deut. 19, 14.)

3. Ἔτι δὲ τοῦτο προςδιατέτακται κοινωφελὲς παράγγελμα, „μὴ μετακινεῖν ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πρότεροί σου“. Τοῦτο δὲ ὡς ἔοικεν οὐ περὶ κλήρων αὐτὸ μόνον καὶ γῆς ὅρου νομοθετεῖται, πρὸς πλεονεξίας ἀποκοπήν, ἀλλὰ καὶ πρὸς [*] φυλακὴν ἀρχαίων ἐθῶν. Ἔθη γὰρ ἄγραφοι νόμοι, δόγματα παλαιῶν ἀνδρῶν οὐ στήλαις ἐγκεχαραγμένα καὶ χαρτιδίοις ὑπὸ σητῶν ἀναλισκομένοις, ἀλλὰ ψυχαῖς μετειληφότων τῆς αὐτῆς πολιτείας. Ὀφείλουσι γὰρ παῖδες παρὰ γονέων τῶν οὐσιῶν κληρονομεῖν ἔθη πάτρια, οἷς ἐνετράφησαν καὶ ἐξ αὐτῶν σπαργάνων συνεβίωσαν, καὶ μὴ καταφρονεῖν παρ᾽ ὅσον ἄγραφος αὐτῶν ἡ παράδοσις. Ὁ μὲν γὰρ τοῖς ἀναγραφεῖσι νόμοις πειθαρχῶν οὐκ ἂν δεόντως ἐπαινοῖτο, νουθετούμενος ἀνάγκῃ καὶ φόβῳ κολάσεως· ὁ δὲ τοῖς ἀγράφοις ἐμμένων, ἑκουσίαν ἐπιδεικνύμενος τὴν ἀρετήν, ἐγκωμίων ἄξιος.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# II.
# ΠΕΡΙ
# ΚΑΤΑΣΤΑΣΕΩΣ ΑΡΧΟΝΤΩΝ.

# DE
# CONSTITUTIONE (S. CREATIONE) PRINCIPUM.

*Principes non sorte eligendi.*

1. Ἔνιοι τὰς κληρωτὰς εἰσηγήσαντο ἀρχάς, — ἀλυσιτελῶς τοῖς πλήθεσιν· εὐτυχίαν γάρ, ἀλλ' οὐκ ἀρετὴν ὁ κλῆρος ἐμφαίνει. Πολλοὶ γοῦν πολλάκις τῶν ἀναξίων ἔλαχον, οὓς ἀνὴρ ἀγαθὸς λαβόμενος ἡγεμονίας ἀποδοκιμάσαι ἂν καὶ ἐν ὑπηκόοις ἐξετάζεσθαι· καὶ γὰρ οἱ μικροὶ λεγόμενοι παρά τισιν ἄρχοντες, οὓς δεσπότας ὀνομάζουσιν, οὐ πάντας ὅσους ἂν οἷοί τε ὦσιν οἰκότριβας ἢ ἀργυρωνήτους ἀπάγονται, μόνους δὲ τοὺς καταπειθεῖς γινομένους, ἀγεληδὸν ἔστιν ὅτε πιπράσκοντες τοὺς ἀνιάτως ἔχοντας τὸ ἦθος, ὡς καὶ δουλεύειν ἀγαθοῖς ἀνδράσιν οὐκ ἀξίους ὄντας. Οὐ τοίνυν προσήκει δεσπότας καὶ ἡγεμόνας ὅλων πόλεων καὶ ἐθνῶν ἀποφαίνειν, τοὺς κλήρῳ λαχόντας, ὀλίσθῳ τινὶ τύχης, ἀβεβαίου καὶ ἀϊδρύτου πράγματος. Ἀλλ' εἰς μὲν τὴν τῶν καμνόντων ἐπιμέλειαν κλῆρος τὸ μηδέν· ἰατροὶ γὰρ οὐ κλήρῳ λαγχάνουσιν, ἀλλὰ πείρᾳ δοκιμάζονται. Καὶ πρὸς εὔπλοιαν καὶ σωτηρίαν τῶν θαλαττευόντων οὐχ ὁ λαχὼν κυβερνᾶν εὐθὺς ἐπὶ πρύμναν παραπέμπεται, δι' ἀνεπιστημοσύνης ἐργασόμενος ἐν εὐδίᾳ καὶ γαλήνῃ χει-

ροποίητα ναυάγια, ἀλλ' ὅςτις ἂν ἐκ πρώτης ἡλικίας τὴν κυβερνητικὴν τέχνην ἐπιμελῶς φαίνηται δεδιδαγμένος. Οὗτός ἐστιν ὁ πολλάκις μὲν πεπλευκώς, τὰ δὲ σύμπαντα ἢ πλεῖστα πελάγη περαιωσάμενος, ἐμπόριά τε καὶ λιμένας καὶ ὑφόρμους καὶ ὑποδρόμους τοὺς ἔν τε ταῖς νήσοις καὶ ἠπείροις [*] ἐπιμελῶς ἐξητακώς, καὶ μᾶλλον ἢ οὐχ ἧττον τῶν κατὰ γῆν ὁδῶν τὰς διὰ θαλάσσης ἀτραποὺς ἐπιστάμενος ἐκ τῆς ἀκριβοῦς θέας τῶν οὐρανίων. Παρατηρήσας γὰρ τὰς χορείας τῶν ἀστέρων καὶ ἐπακολουθήσας αὐτῶν ταῖς τεταγμέναις κινήσεσιν ἐν ἀνοδίαις ἴσχυσεν ἀπλανεῖς καὶ λεωφόρους ὁδοὺς ἀνατεμεῖν, ἵνα — τὸ πάντων ἀπιστότατον πραγμάτων — ἡ χερσαία φύσις διὰ πλωτῆς οἵα τε ᾖ διαπεραιοῦσθαι. Πόλεις δὲ τίς μεγάλας καὶ πολυανθρώπους, μεστὰς οἰκητόρων, καὶ πολιτείας ἐγχειρίζεσθαι μέλλων, καὶ πραγμάτων ἰδιωτικῶν καὶ δημοσίων καὶ ἱερῶν ἐπιμέλειαν, ἣν οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν εἶναι, πρὸς ἄστατον κλήρου φορὰν ταλαντεύει, τὴν ἀκριβῆ βάσανον τῆς ἀληθείας φυγών; Ἀληθείας δὲ βάσανος αἱ σὺν λόγῳ πίστεις.

*Princeps e popularibus eligendus.* (2. 3.)

2. Ταῦτα οὖν ὁ πάνσοφος Μωσῆς τῇ ψυχῇ θεασάμενος κληρωτῆς μὲν ἀρχῆς οὐδὲ μέμνηται, τὰς δὲ χειροτονητὰς διενοήθη εἰσηγεῖσθαι. Φησὶν οὖν· „Καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα οὐκ ἀλλότριον, ἀλλ' ἐκ τῶν σῶν ἀδελφῶν" (Deut. 17, 15), δηλῶν ἐθελούσιον αἵρεσιν καὶ δοκιμασίαν ἀνεπίληπτον ἄρχοντος, ὃν σύμπασα ἡ πληθὺς ὁμογνωμονοῦσα ποιήσεται. Προσεπιψηφιεῖται δὲ τὴν αἵρεσιν ἐπισφραγιζόμενος καὶ ὁ τῶν κοινωφελῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἁπάντων βεβαιωτὴς Θεός, ἐκλογήν τινα τοῦ γένους ὑπολαβὼν εἶναι τὸν ἄνθρωπον, ὡς ὄψιν ἐν σώματι.

3. Τὰς δὲ αἰτίας τοῦ μὴ δεῖν ἀλλότριον αἱρεῖσθαι πρὸς ἀρχὴν διττὰς ἐπιγράφει· τὴν μέν, ἵνα μὴ πλῆθος ἀργυρίου καὶ χρυσίου καὶ θρεμμάτων συναγάγῃ, πολὺν πλοῦτον καὶ παντάδικον ἐκ τῆς πενίας τῶν ὑπηκόων θησαυρισάμενος· τὴν δέ, ἵνα μὴ τὸ ἔθνος ἐκ τῆς οἰκείας χώρας ἀναστήσας ἕνεκα τῶν ἰδίων πλεονεξιῶν ἀναγκάζῃ μετανίστασθαι πλάνον ἀνήνυτον ὧδε καὶ ἐκεῖσε φορούμενον, ὑποβαλὼν ἀτελεῖς ἐλπίδας μειζόνων ἀγαθῶν κτήσεως, εἰς ἀφαίρεσιν ὧν ἤδη βεβαίως ἐκαρποῦτο. Προσεπέλαβε γάρ, ὡς εἰκός, τὸν ὁμόφυλον καὶ συγγενῆ, μετέχοντα τῆς πρὸς τὴν ἀνωτάτω συγγένειαν οἰκειότητος — ἡ δὲ ἀνωτάτω συγγένειά ἐστι πολιτεία μία καὶ νόμος ὁ αὐτὸς καὶ εἷς Θεός, ᾧ πάντες οἱ ἀπὸ τοῦ ἔθνους προςκεκλήρωνται —, μηδέποτε τὰ παραπλήσια τοῖς λεχθεῖσι διαμαρτεῖν, ἀλλ' ἔμπαλιν, ἀντὶ μὲν τοῦ μεθορμίζειν τοὺς οἰκήτορας, καὶ τοῖς ἐν τῇ ξένῃ σποράσιν ἀσφαλῆ κάθοδον παρέξειν, ἀντὶ δὲ τοῦ καὶ τὰ τῶν ἄλλων ἀφαιρεῖσθαι χρήματα προσεπιδώσειν τοῖς δεομένοις, τὴν ἰδίαν οὐσίαν ἀποφήναντα κοινήν.

*Princeps in usum suum propria manu Deuteronomium scribat.*

4. [*] Ἀφ' ἧς δὲ ἂν ἡμέρας παρέλθῃ τις ἐπὶ τὴν ἀρχήν, κελεύει (Deut. 17, 18 ss.) τὴν ἐπινομίδα γράψαι αὐτοχειρίᾳ, κεφαλαιώδη τύπον περιέχουσαν ἁπάντων τῶν νόμων, βουλόμενος ἔγκολλα τῇ ψυχῇ τὰ διατεταγμένα γενέσθαι. Τοῦ μὲν γὰρ ἀναγινώσκοντος ὑποῤῥεῖ τὰ νοήματα τῇ φορᾷ παρασυρόμενα, τῷ δὲ γράφοντι κατὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σχολὴν ἐνσφραγίζεται καὶ ἐνιδρύεται, τῆς διανοίας ἐνευκαιρούσης ἑκάστῳ καὶ ἐπερειδούσης ἑαυτήν, καὶ μὴ μετιούσης ἐφ' ἕτερον, πρὶν ἢ περιδράξασθαι τοῦ προτέρου βεβαίως. Ὅταν μέντοι γράψῃ, πειράσθω καθ' ἑκάστην ἡμέραν ἐντιγχάνειν καὶ ἀναγινώσκειν, ὑπέρ τε συνεχοῦς καὶ ἀδιαστάτου μνήμης καλῶν καὶ συμφερόντων ἅπασι διαταγμάτων, καὶ ὑπὲρ τοῦ βέβαιον ἔρωτα καὶ πόθον αὐτῶν αὐτῷ ἐγγενέσθαι, τῆς ψυχῆς ἀεὶ διδασκομένης καὶ ἐξεθιζομένης ἐνομιλεῖν νόμοις ἱεροῖς· αἱ γὰρ μακροχρόνιοι συνήθειαι φιλίαν ἄδολον καὶ καθαρὰν οὐ πρὸς ἀνθρώπους μόνον, ἀλλὰ καὶ πρὸς ἰδέας ἀξιεράστους γραμμάτων ἀποτελοῦσι. Τουτὶ δὲ συμβήσεται, ἐὰν μὴ ἑτέρου γράμμασι καὶ ὑπομνήμασιν ὁ ἄρχων, ἀλλ' οἷς αὐτὸς ἔγραψεν ἐντυγχάνῃ· τὰ γὰρ ἴδιά πως ἑκάστοις γνωριμώτερα καὶ πρὸς ἀναλήψεις ἑτοιμότερα. Καὶ ἄλλως ἀναγινώσκων ἀναλογισμὸν ἕξει τοιοῦτον· „Ἐγὼ ταῦτα ἔγραψα ὁ τοσοῦτος ἄρχων, μὴ προςχρησάμενος ὑπηρέτῃ ἑτέρῳ μυρίων ὄντων. Ἆρα ὅπως βίβλον ἀποπληρώσω, καθάπερ οἱ μισθοῦ γράφοντες, ἢ οἱ γυμνάζοντες ὀφθαλμούς τε καὶ χεῖρας, τοὺς μὲν εἰς ὀξυωπίαν, τὰς δὲ ἵνα ὦσιν ὀξυγράφοι; Πόθεν; Οὐκ ἔστιν. Ἀλλ' ὅπως αὐτὰ ἐν βίβλῳ γράφων εὐθὺς εἰς τὴν ψυχὴν μεταγράφω, καὶ ἐναπομάττομαι τῇ διανοίᾳ θειοτέρους καὶ ἀνεκπλύντους χαρακτῆρας. Οἱ μὲν οὖν ἄλλοι βασιλεῖς βακτηρίας ἔχοντες σκηπτροφοροῦσιν, ἐμοὶ δὲ τὸ σκῆπτρον ἡ βίβλος ἔσται τῆς ἐπινομίδος, καύχημα καὶ κλέος ἀνανταγώνιστον, ἐπίσημον ἡγεμονίας ἀνεπιλήπτου, πρὸς ἀρχέτυπον τὴν θεοῦ βασιλείαν ἀπεικονισθείσης. Ἀεὶ δὲ ἐπερειδόμενος καὶ σκηριπτόμενος τοῖς ἱεροῖς νόμοις κτήσομαι δύο τὰ πάντων ἄριστα. Ἓν μὲν ἰσότητα, ἧς μεῖζον ἀγα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

θὸν οὐκ ἔστιν εὑρεῖν. Ἀλαζονεία γὰρ καὶ τὸ ὑπέραυχον ὀλιγόφρονος ψυχῆς τὸ μέλλον οὐ προορωμένης. Ἰσότης μὲν οὖν τὴν ἐκ τῶν ὑπηκόων εὔνοιαν καὶ ἀσφάλειαν ἀμοιβὰς δικαίας ἀντεκτινόντων ἀπεργάσεται, τὸ δὲ ἄνισον κινδύνους σφαλερωτάτους. Τούτους μὲν οὖν ἀποδράσομαι, μισήσας τὴν χορηγὸν σκότους καὶ πολέμων ἀνισότητα· βίον δὲ ἀνεπιβούλευτον ἕξω, τὴν ἀστασίαστον ἰσότητα τιμήσας, ἣ γεννᾷ φῶς καὶ εὐστάθειαν. Ἕτερον δὲ περιποιήσομαι, τὸ [5] μὴ ἐπὶ θάτερα καθάπερ ἐπὶ τρυτάνης ἀντιῤῥέπειν, ἐκτρέπων καὶ πλαγιάζων τὰ διατεταγμένα. Πειράσομαι δὲ ἄγειν αὐτὰ διὰ λεωφόρου τῆς μέσης, ὀρθαῖς καὶ ἀρτίοις βάσεσι χρησάμενος πρὸς μετουσίαν ἀπταίστου βίου.“ Βασιλικὴν δὲ εἴωθεν ὀνομάζειν Μωσῆς ὁδὸν τὴν μέσην, ὑπερβολῆς καὶ ἐλλείψεως οὖσαν μεθόριον, καὶ ἄλλως ἐπειδὴ τὸ μέσον ἐν τριάδι τὴν ἡγεμονίδα τάξιν εἴληφεν, ἁρμοζόμενον τὰ παρ' ἑκάτερα εἰς ἕνωσιν ἀδιαλύτῳ δεσμῷ, ὑφ' ὧν καὶ δορυφορεῖται τρόπον βασιλέως. Νομίμου δὲ ἄρχοντος ἰσότητα τιμῶντος ἀδέκαστον, τὰ δίκαια κρίνοντος δικαίως, ἐμμελετῶντος ἀεὶ τοῖς νόμοις, ἆθλον εἶναί φησι τὴν μακροχρόνιον *ἡγεμονίαν*· οὐχ ἵνα πολυετῆ ζωὴν αὐτῷ χαρίσηται μετὰ τοῦ τὰ κοινὰ πρυτανεύειν, ἀλλ' ἵνα ἀναδιδάξῃ τοὺς ἀγνοοῦντας, ὅτι νόμιμος ἄρχων, κἂν τελευτήσῃ, βίον ζῇ μακραίωνα διὰ τῶν πράξεων, ἃς ἀθανάτους καταλέλοιπε, μνημεῖα καλοκἀγαθίας ἀκαθαίρετα.

*Ad negotia administranda bonae notae socios sibi asciscito.*

6. Προσήκει δὲ τῷ τῆς ἀνωτάτω καὶ μεγίστης ἀρχῆς ἀξιωθέντι αἱρεῖσθαι διαδόχους, οἳ συνάρξουσι καὶ συνδικάσουσι καὶ τὰ ἄλλα ὅσα κοινωφελῆ συνδιοικήσουσιν. Εἰς



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ οὐκ ἂν ἐξαρκέσαι, καὶ ἂν προθυμότατος ᾖ καὶ πάντ ἐῤῥωμενέστατος ἑκάτερον, σῶμα καὶ ψυχήν, πρὸς τὰ μ γέθη καὶ πλήθη τῶν πραγμάτων, ἀπειρηκὼς ἐπὶ τῇ φο τῶν ἐπεισχεομένων καθ᾽ ἑκάστην ἡμέραν ἀλλαχόθεν ἄλλω εἰ μὴ τοὺς συλληψομένους ἔχοι πάντας ἀριστίνδην ἐπ λελεγμένους φρονήσει, δυνάμει, δικαιοσύνῃ, θεοσεβεί τῷ μὴ μόνον ἐκτρέπεσθαι, ἀλλὰ καὶ μισεῖν ὡς ἐχθρ καὶ μέγιστον κακὸν ἀλαζονείαν. Βοηθοὶ γὰρ οὗτοι κ παραστάται γένοιντο ἂν ἀνδρὶ καλῷ καὶ ἀγαθῷ τὰ κο νὰ ἐπηχθισμένῳ συνεπικουφίζειν καὶ ἐπελαφρίζειν ἐπιτη δειότατοι. Καὶ ἄλλως, ἐπειδὴ τῶν ὑποθέσεων αἱ μ εἰσι μείζους, αἱ δὲ βραχύτεραι, τὰς μὲν ἐλάττους, ἵνα μ περὶ μικρὰ τρίβηται, τοῖς ὑπάρχοις ἐνδίκως ἂν ἐπιτρέψα τῶν δὲ μειζόνων αὐτὸς αὖ γένοιτο ἀναγκαίως ἐξεταστὴ ἀκριβέστατος. Μεγάλας δὲ ὑποληπτέον ὑποθέσεις, οὐ ἅς οἴονταί τινες, ὅταν ἔνδοξοι πρὸς ἐνδόξους διαφέρων ται καὶ πλούσιοι πρὸς πλουσίους καὶ ἡγεμόνες πρὸς ἡγε μόνας, ἀλλ᾽ ἔμπαλιν ὅταν ἰδιῶται καὶ ἄποροι κα ἄδοξοι πρὸς δυνατωτέρους, οἷς πρὸς τὸ μηδὲν ἀνήκεστο παθεῖν μία ἐλπὶς ὁ δικαστής. Ἑκατέρου δὲ τῶν εἰρημέ νων σαφῆ παραδείγματα εὑρεῖν ἔστιν ἐν τοῖς ἱεροῖς νό μοις, ἃ μιμεῖσθαι καλόν. Ἦν γάρ ποτε χρόνος, ἐν ᾧ μόνος αὐτὸς ἐβράβευε τὰ περὶ δίκας Μωσῆς, ἕωθεν εἰς νύκτα πονούμενος. Ἀλλ᾽ [*] αὖθις ἀφικόμενος ὁ πεν-θερὸς καὶ συνιδὼν ὅσῳ βάρει πιέζεται πραγμάτων (Exod. 18, 14), ἐπισυῤῥεόντων ἀεὶ τῶν τὰς ἀμφισβητήσεις ἐχόντων, ἄριστα συνεβούλευεν ἑλέσθαι διαδόχους, ἵνα οἱ μὲν τὰ βραχύτερα κρίνωσιν, αὐτὸς δὲ ἐφεδρεύῃ τοῖς μεί-ζοσι, καιροὺς εἰς ἀνάπαυλαν αὑτῷ διδούς. Πεισθεὶς δὲ τοῖς λεγομένοις — καὶ γὰρ ἦν συμφέροντα — τοὺς δο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κιμωτάτους ἐξ ἅπαντος τοῦ πλήθους ἑλόμενος ὑπάρχους ἅμα καὶ δικαστὰς καθίστησι, κελεύσας τὰς μείζους κρίσεις ἐπ' αὐτὸν ἀνάγειν. Ταύτην τὴν τάξιν ἀνάγραπτον αἱ ἱεραὶ βίβλοι περιέχουσιν, εἰς τὴν τῶν καθ' ἑκάστην γενεὰν ἀρχόντων διδασκαλίαν, ἵνα πρῶτον μὲν μὴ ἀποδοκιμάζωσι συμβούλους ὡς ἱκανοὶ πάντα περιαθρεῖν, Μωσέως οὐκ ἀποδοκιμάσαντος τοῦ πανσόφου καὶ θεοφιλοῦς, ἔπειτα δὲ ἵνα δευτέρους καὶ τρίτους ἡγεμόνας αἱρῶνται, φροντίζοντες τοῦ μή, περὶ μικρὰ τριβόμενοι, τῶν ἀναγκαιοτέρων ἀμελεῖν. Ἀμήχανον γὰρ ἐφ' ἅπαντα φθάνειν φύσιν ἀνθρωπίνην.

*Inprimis proselytorum, orphanorum, viduarum causam agito.*

6. Ἓν μὲν δὴ τῶν παραδειγμάτων μεμήνυται. Τοῦ δὲ δευτέρου τὴν πίστιν ἐφαρμοστέον. Μεγάλας ἔφην εἶναι δίκας τὰς τῶν ταπεινοτέρων· ἀσθενὲς δὲ καὶ ταπεινὸν χήρα καὶ ὀρφανὸς καὶ ἐπήλυτος. Τούτοις χρὴ δικάζειν τὸν ἀνωτάτω βασιλέα καὶ τὴν ἐφ' ἅπασιν ἐπιτρεπόμενον ἀρχήν, ἐπεὶ κατὰ Μωσέα καὶ ὁ τῶν ὅλων ἡγεμὼν Θεὸς οὐκ ἀπεσκοράκισεν αὐτοὺς τῆς ὑφ' αὐτοῦ δικαιονομίας. Ὑμνήσας γὰρ τὰς τοῦ Ὄντος ἀρετὰς ὁ ἱεροφάντης τὸν τρόπον τοῦτον· „Ὁ Θεὸς ὁ μέγας, ὁ κραταιός, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν,“ (Deut. 10, 17) ἐπιλέγει τίσιν ἡ κρίσις· οὐ σατράπαις καὶ τυράννοις καὶ τῆς γῆς καὶ θαλάττης ἐναψαμένοις τὸ κράτος, ἀλλ' ἐπηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ. Τῷ μέν, ὅτι τοὺς συγγενεῖς, οὓς μόνους εἰκὸς ἔχειν συναγωνιστάς, ἐχθροὺς ἀσυμβάτους εἰργάσατο ἑαυτῷ, μεταναστὰς εἰς ἀλήθειαν καὶ τὴν ἑνὸς τιμίου τιμὴν ἀπὸ μυθικῶν πλασμάτων καὶ πολυαρχίας, ἃ γονεῖς καὶ πάπ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ποι καὶ πρόγονοι καὶ πάντες οἱ ἀφ᾽ αἵματος τοῦ στειλαμένου τὴν καλὴν ἀποικίαν ταύτην ἐξετίμησαν. Τῷ δέ, ἐπεὶ πατρὸς καὶ μητρὸς τῶν ἐκ φύσεως βοηθῶν καὶ ὑπερμάχων ἐστέρηται, δυνάμεως τῆς μόνης εἰς συμμαχίαν ἀναγκαίας ἐρημωθείς. Τῇ δέ, ὅτι τὸν διαδεξάμενον ἄνδρα τὴν γονέων ἐπιμέλειαν καὶ προστασίαν ἀφῄρηται· γυναικὶ γὰρ ἀνὴρ εἰς κηδεμονίαν, ὅπερ γονεῖς παρθένῳ. Σχεδὸν δὲ καὶ τὸ σύμπαν Ἰουδαίων ἔθνος ὀρφανοῦ λόγον ἔχει, συγκρινόμενον τοῖς ἁπανταχῆ πᾶσι. Τὰ μὲν γάρ, ὁπότε μὴ θεήλατοι κατασκήπτοιεν συμφοραί, διὰ [*] τὰς ἐν τοῖς ἔθνεσιν ἐπιμιξίας οὐκ ἀπορεῖ βοηθῶν κοινοπραγούντα· τῷ δὲ ἥκιστά τις συναγωνίζεται νόμοις ἐξαιρέτοις χρωμένῳ. Σεμνοὶ δὲ εἰσὶν ἐξ ἀνάγκης, ἅτε πρὸς τὴν ἄκραν ἀρετὴν ἀλείφοντες· τὸ δὲ σεμνὸν αὐστηρόν· τοῦτο δὲ ὁ πολὺς ὅμιλος τῶν ἀνθρώπων ἀποστρέφεται, διὰ τὴν ἡδονῆς ἀποδοχήν. Ἀλλ᾽ ὅμως τῆς ὀρφανίας αὐτοῦ καὶ ἐρημίας ἔλεον καὶ οἶκτόν φησι Μωσῆς ἀεὶ λαμβάνειν τὸν ἡγεμόνα τῶν ὅλων ᾧ προσκεκλήρωται, διότι τοῦ σύμπαντος ἀνθρώπων γένους ἀπενεμήθη οἷά τις ἀπαρχὴ τῷ ποιητῇ καὶ πατρί. Τὸ δὲ αἴτιον αἱ τῶν ἀρχηγετῶν τοῦ ἔθνους περιμάχητοι δικαιοσύναι καὶ ἀρεταί, αἳ καθάπερ φυτὰ ἀθάνατα διαμένουσιν ἀειθαλέα καρπὸν φέρουσαι, τοῖς ἀπογόνοις σωτήριον καὶ πρὸς πάντα ὠφέλιμον, καὶ ἂν αὐτοὶ τύχωσι διαμαρτάνοντες ἰάσιμα, ἀλλὰ μὴ παντελῶς ἀνίατα. Μὴ μέντοι νομίσας τις ἀγαθὸν εἶναι τέλειον τὴν εὐγένειαν, ὀλιγωρείτω καλῶν πράξεων, λογιζόμενος, ὅτι μείζονος ὀργῆς ἄξιος τυγχάνειν ἐστὶν ὁ γεννηθεὶς μὲν ἐκ τῶν ἀρίστων, αἰσχύνην δὲ ἐπιφέρων τοῖς γεννήσασι διὰ τὴν τῶν τρόπων κακίαν. Ἔχων γὰρ οἰκεῖα παραδείγματα καλοκἀγαθίας ἃ μιμή-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σεται, καὶ μηδὲν ἀποματτόμενος εἰς ὑγιαίνοντος βίου κατόρθωσιν, ἐπίληπτος.

*Ne dolose in populo versetur.*

7. Ἀπαγορεύει δὲ ὁ νόμος τῷ τὴν προστασίαν καὶ ἐπιμέλειαν τῶν κοινῶν ἀπειληφότι δικαιοτάτην ἀπαγόρευσιν, „μὴ πορεύεσθαι δόλῳ ἐν τῷ ἔθνει" (Lev. 19, 16)· ψυχῆς γὰρ ἀνελευθέρου καὶ πάνυ δουλοπρεποῦς ἐπίβουλα ἤθη, συσκιαζούσης ὑποκρίσει τὸ ἔργον. Τὸν γὰρ ἄρχοντα οὕτω χρὴ προεστάναι τῶν ὑπηκόων ὡς πατέρα παίδων, ἵνα καὶ αὐτὸς ὡς ὑπὸ γνησίων υἱῶν ἀντιτιμᾶται· διότι κοινοὶ πόλεων καὶ ἐθνῶν γονεῖς, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἄρχοντές εἰσιν οἱ ἀγαθοί, τὴν ἴσην, ἔστι δὲ ὅτε καὶ περιττοτέραν εὔνοιαν ἐπιδεικνύμενοι. Τοὺς δὲ ἐπὶ λύμῃ καὶ ζημίᾳ τῶν ὑπηκόων μεγάλας περιβαλλομένους δυναστείας οὐκ ἄρχοντας, ἀλλ' ἐχθροὺς προσαγορευτέον, τὰ πολεμίων ἀσυμβάτων δρῶντας. Οὐ μὴν ἀλλὰ καὶ οἱ δολερῶς ἀδικοῦντες πονηρότεροι τῶν φανερῶς ἐναντιουμένων εἰσίν, εἴ γε τοὺς μὲν ἔνεστι ῥᾳδίως ἀμύνασθαι γυμνὴν ἀπαμπίσχοντας τὴν δυσμένειαν· τῶν δὲ ἐστὶ δύσληπτος καὶ δυσθήρατος ἡ μοχθηρία, καθάπερ ἐν θεάτρῳ σκευὴν ἀλλοτρίαν ἀναλαμβανόντων, εἰς ἀπόκρυψιν τῆς ἀληθοῦς ὄψεως. Φθάνει δὲ τὸ τῆς ἀρχῆς εἶδος, καὶ διαδέδυκεν, ὀλίγου δέω φάναι, πρὸς ἅπαντα τὰ τοῦ βίου μέρη, διαφέρον αὐτὸ μόνον μεγέθει καὶ τῷ ποσῷ. Ὅπερ γὰρ πόλεως βασιλεύς, τοῦτο καὶ κώμης ὁ πρῶτος, καὶ οἰκίας ὁ δεσπότης, καὶ νοσούντων ἰατρός, καὶ [*] στρατοπέδου μὲν στρατηγός, ναύαρχος δὲ ἐπιβατικοῦ καὶ πληρωμάτων, καὶ πάλιν φορτίδων μὲν καὶ ὁλκάδων ναύκληρος, κυβερνήτης δὲ πλωτήρων· οἳ πάντες δύνανται

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀμφῶ, τό τε εὖ καὶ τὸ χεῖρον. Βούλεσθαι δὲ ὀφείλουσι τὸ ἄμεινον. Τὸ ἄμεινον δὲ ἐστὶν ὠφελεῖν, ἀλλὰ μὴ βλάπτειν, ὅσους ἂν οἷόν τε ᾖ. Τὸ γὰρ ἕπεσθαι θεῷ τοῦτο ἔστιν, ἐπεὶ καὶ ἐκείνῳ δύναμις μὲν ἐστι δρᾶν ἑκάτερα, βούλεται δὲ μόνα τὰ ἀγαθά. Μηνύει δὲ ἡ τοῦ κόσμου γένεσίς τε καὶ διοίκησις· τὰ γὰρ μὴ ὄντα ἐκάλεσεν εἰς τὸ εἶναι, τάξιν ἐξ ἀταξίας, καὶ ἐξ ἀποίων ποιότητας, καὶ ἐξ ἀνομοίων ὁμοιότητας, καὶ ἐξ ἑτεροτήτων ταὐτότητας, καὶ ἐξ ἀκοινωνήτων καὶ ἀναρμόστων κοινωνίας καὶ ἁρμονίας, καὶ ἐκ μὲν ἀνισότητος ἰσότητα, ἐκ δὲ σκότους φῶς ἐργασάμενος. Ἀεὶ γάρ ἐστιν ἐπιμελὲς αὐτῷ καὶ ταῖς εὐεργέτισιν αὐτοῦ δυνάμεσι τὸ πλημμελὲς τῆς χείρονος οὐσίας μεταποιεῖν καὶ μεθαρμόζεσθαι πρὸς τὴν ἀμείνω.

*Ne pudeat eum nescire quae nesciat.*

8. Ταῦτα οὖν μιμεῖσθαι προσήκει τοὺς ἀγαθοὺς ἄρχοντας, εἴ γέ τις αὐτοῖς φροντὶς ἐξομοιώσεως τῆς πρὸς θεόν. Ἐπεὶ δὲ ὑποῤῥεῖ μυρία καὶ λανθάνει τὸν ἀνθρώπινον νοῦν, ἅτε ἐνδεδεμένον αἰσθήσεων ὄχλῳ τοσούτῳ, παραγαγεῖν καὶ ἀπατῆσαι ψευδέσι δόξαις ἱκανωτάτῳ, μᾶλλον δὲ ἐντετυμβευμένον θνητῷ σώματι, ὃ κυρίως ἂν τις σῆμα καλέσειε, μηδεὶς αἰδείσθω δικαστὴς ὁμολογῶν ἀγνοεῖν, ὅπερ ἀγνοεῖ. Πρῶτον γὰρ ὁ ψευδόμενος αὐτὸς αὑτοῦ γενήσεται χείρων, ἀλήθειαν ὑπερόριον τῆς ψυχῆς πεφυγαδευκώς· ἔπειτα δὲ μυρία βλάψει τοὺς κρινομένους, τυφλὴν γνῶσιν ἀποφαινόμενος, τῷ μὴ βλέπειν τὰ δίκαια. Ὅταν οὖν ἀμαυρὰν ποιῆται τὴν ἀντίληψιν τῶν πραγμάτων, ἀσάφειαν καὶ πολὺ σκότος ἀπεργαζομένων, παραιτείσθω τὰς κρίσεις καὶ ἀναπεμπέτω πρὸς ἀκριβεστέρους δικαστάς. Οὗτοι δὲ τίνες ἂν εἶεν ἢ ἱερεῖς

καὶ ὁ τῶν ἱερέων ἔξαρχος καὶ ἡγεμών; Οἱ γὰρ λειτουργοὶ θεοῦ οἱ γνήσιοι τὴν διάνοιαν ἐπιμελῶς ἠκόνηνται, τὸ παρὰ μικρὸν οὐ μικρὸν σφάλμα ἡγούμενοι, διὰ τὰς ἐν ἅπασιν ὑπερβολὰς τοῦ θεραπευομένου βασιλέως. Διὸ καὶ προστέτακται πᾶσι τοῖς ἱερωμένοις νηφάλια θύειν (Lev. 10, 9), ἵνα μηδὲν τοῦ παρανοεῖν καὶ παραληρεῖν φάρμακον ἐπεισελθὸν τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἀμαυρώσῃ, τάχα δὲ ἐπειδὴ ὁ πρὸς ἀλήθειαν ἱερεὺς εὐθύς ἐστι προφήτης, οὐ γένει μᾶλλον ἢ ἀρετῇ παρεληλυθὼς ἐπὶ [*] τὴν τοῦ ὄντως ὄντος θεραπείαν. Προφήτῃ δὲ οὐδὲν ἄγνωστον, ἔχοντι νοητὸν ἥλιον ἐν αὐτῷ καὶ ἀσκίους αὐγάς, εἰς ἐναργεστάτην κατάληψιν τῶν αἰσθήσει μὲν ἀοράτων, διανοίᾳ δὲ καταληπτῶν.

*Negotiatores, caupones etc. sibi ipsi pro magistratibus sunto, et sponte iustis ponderibus mensurisque utuntor.*

9. Πάλιν οἱ μέτρα καὶ στάθμια καὶ ζυγὰ διαχειρίζοντες ἔμποροι καὶ κάπηλοι καὶ ἀγοραῖοι καὶ ὅσοι ἄλλοι τὰ πρὸς τὸ ζῆν ὤνια πιπράσκουσι (Lev. 19, 36), ξηρά τε καὶ ὑγρά, τάττονται μὲν ὑπ' ἀγορανόμοις, ὀφείλουσι δὲ αὐτοὶ ἑαυτῶν ἄρχοντες εἶναι, ἐὰν σωφρονῶσι, μὴ φόβῳ τὰ δίκαια δρῶντες, ἀλλ' ἑκουσίῳ γνώμῃ. Τοῦ γὰρ μετ' ἀνάγκης τὸ αὐτοκέλευστον κατόρθωμα τιμάται πανταχοῦ. Διὸ προστάττει τοῖς καπήλοις καὶ ἐμπόροις καὶ οἵτινες ἄλλοι τὴν τοιαύτην προαίρεσιν ἐπανῄρηνται τοῦ βίου, ζυγὰ δίκαια καὶ μέτρα καὶ στάθμια κατασκευάζεσθαι, μηδὲν ἐπὶ βλάβῃ τῶν ὠνουμένων κακοτεχνοῦντας, ἀλλ' ὑπ' ἐλευθέρου καὶ ἀδόλου ψυχῆς ἕκαστα καὶ λέγειν καὶ πράττειν, ἐκεῖνο λογιζομένους, ὅτι τὰ μὲν ἄδικα κέρδη βλαβερώτατα, ὁ δὲ μετὰ δικαιοσύνης

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλοῦτος ἀναφαίρετος. Ἐπεὶ δὲ φιλεργίας ἆθλα μισθοὶ πρόκεινται τοῖς δημιουργοῖς, δημιουργοῦσι δὲ οἱ ἐν ἐνδείαις, ἀλλ' οὐχ οἷς ἄφθονος περιουσία, κελεύει (Deut. 24, 15) μὴ ὑπερτίθεσθαι τὰς δόσεις, ἀλλ' αὐτῇ παρέχειν ἡμέρᾳ τὸν διομολογηθέντα μισθόν. Ἄτοπον γὰρ τὰ μὲν ἐκ τῆς τῶν πενήτων ὑπερησίας ἀπειληφέναι τοὺς εὐπόρους, τὰς δὲ ἀντὶ τούτων ἀμοιβὰς μὴ ἀντιπαρασχεῖν ἀπόροις εὐθὺς περιουσίᾳ ζῶντας. Ἆρ' οὐκ ἐναργῆ δείγματα ταῦτα ἐστὶ προφυλακῆς μειζόνων ἀδικημάτων; Ὁ γὰρ μηδὲ μισθὸν τὸν πάντως ἀποδοθησόμενον ἐῶν ἐκπρόθεσμον γενέσθαι, προθεσμίαν ὁρίσας ἑσπέραν ἐν ᾗ δεήσει τὸν δημιουργὸν ἀπαλλαττόμενον οἴκαδε κομίσασθαι τὴν ἀμοιβήν, οὗτος οὐ πολὺ πρότερον ἁρπαγὴν ἀπαγορεύει καὶ κλοπὴν καὶ χρεωκοπίαν καὶ ὅσα τούτοις ὁμοιότροπα, διαπλάττων καὶ διαμορφῶν τὴν ψυχὴν πρὸς δόκιμα εἴδη τὰ καλοκἀγαθίας αὐτῆς;

*Ne surdis convicium, caecis offensio fiat.*

10. Εὖ μέντοι καὶ ἐκεῖνο διείρηται (Lev. 19, 14), ὅπως μηδένα βλασφημῇ καὶ κακηγορῇ, καὶ μάλιστα κωφόν, οὐδὲ αἴσθησιν ὧν ἀδικεῖται δυνάμενον λαβεῖν οὐδ' ἐν τοῖς ἴσοις παρ' αὐτὸ τοῦτο ἀμύνασθαι. Μάχη γὰρ πασῶν ἐκνομωτάτη, καθ' ἣν τὸ μὲν ἕτερον μέρος ἐν τῷ δρᾶν ἐξετάζεται, τὸ δὲ ἕτερον ἐν τῷ μόνον πάσχειν. Τοῖς δὲ κακηγοροῦσι τοὺς ἀναύδους καὶ τὰ ὦτα βεβλαμμένους ὁμοίως ἄδικα δρῶσιν οἱ τυφλοῖς ὀλίσθους ἐμποιοῦντες καὶ ἕτερα ἄττα ἐν ποσὶ τιθέντες· ἀνάγκη γάρ, οὐχ οἵους τε ὄντας ὑπερβαίνειν δι' ἄγνοιαν, παραπταίοντας ἀμφότερα καὶ τῆς ὁδοῦ διαμαρτάνειν καὶ τὰς βάσεις βλάπτεσθαι. Τοῖς δὲ τῶν τοιούτων εὑρεταῖς καὶ ζηλω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αῖς ἐπανατείνεται τὸν ἐκ τοῦ θεοῦ φόβον ὁ νόμος, εἰότως καὶ [*] προσηκόντως, ἐπειδὴ μόνος οὗτος τὴν χεῖα ὑπερέχει καὶ προασπίζει τῶν αὐτοῖς βοηθεῖν ἀδυναούντων. Καὶ μόνον οὐκ ἄντικρύς φησι τοῖς ἀδικοπραοῦσι τοὺς πεπλημμεληκένους· „Ὦ κενοὶ φρενῶν, λήσεσθαι νομίζετε γέλωτα ἡγούμενοι τὰς ἐκείνων συμφοράς καὶ εἰς ταῦτα ἐξαμαρτάνοντες περὶ ἃ συμβέβηκεν ἀτυχεῖν αὐτοῖς, ὦτα μὲν διὰ κακηγοριῶν, ὀφθαλμοὺς δὲ διὰ τῶν ἐν ποσὶν ὀλίσθων; Τὸν δὲ πάντων ἔφορον καὶ ἐπίοπον θεὸν οὐδέποτε λήσεσθε, κακοπραγίαις ἀθλίων ἀνθρώπων ἐπεμβαίνοντες, ὡς τὰς ὁμοίας κῆρας οὐκ ἐνδεξόμενοι, σῶμα μὲν πάσαις ἁλωτὸν νόσοις περιφέροντες, αἰσθήσεις δὲ ἐπικήρως ἐχούσας, αἳ μικρᾶς ἕνεκα καὶ τῆς τυχούσης προφάσεως οὐκ ἀμαυροῦνται μόνον, ἀλλὰ καὶ ἀνιάτους ὑπομένουσι πηρώσεις.“ Τοὺς οὖν ἐπιλελησμένους μὲν ἑαυτῶν, ἐπικυδεστέρους δὲ οἰομένους εἶναι τῆς φυσικῆς ἀνθρώπων ἀσθενείας, ἐκπεφευγέναι δὲ τὰς ἀδήλους καὶ ἀτεκμάρτους οὔσας τῆς τύχης ἐπιβουλάς, ἣ πολλάκις αἰφνιδίους σκηπτοὺς ἐπέῤῥιψε καὶ εὐπλοίᾳ βίου χρωμένοις μόνον οὐκ ἐν αὐτοῖς λιμέσιν εὐδαιμονίας κατέλυσε, τί δεῖ μεγαλαυχεῖν καὶ ἐπεμβαίνειν συμφοραῖς ἑτέρων, μηδὲ τὴν πάρεδρον δίκην τοῦ πάντων ἡγεμόνος αἰδουμένους, ᾗ θέμις ἀκοιμήτοις καὶ ὀξυωπεστάτοις ὄμμασι καὶ τὰ ἐν μυχοῖς ὡς ἐν ἡλίῳ καθαρῷ περιαθρεῖν; Οὗτοί μοι δοκοῦσι μηδὲ ἂν τετελευτηκότων ἀποσχέσθαι, δι᾽ ὑπερβολὴν ὠμότητος, ἀλλὰ — τὸ λεγόμενον δὴ τοῦτο παρὰ πολλοῖς — μὴ ἂν ὀκνῆσαι νεκροὺς ἐπισφάττειν, ἐπεὶ καὶ μέρεσι τοῖς τρόπον τινὰ προτεθνηκόσιν ἐναλύειν καὶ ἐνυβρίζειν ἀξιοῦσιν· ὀφθαλμοί τε γὰρ μὴ βλέποντες νεκροί, καὶ ὦτα μὴ ἀκούοντα. Ὥστε, εἰ καὶ οὐ μέρη

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα ἐστὶν ἐξ ἀνθρώπων ἀφανισθείη, τὸ ἀνηλεὲς καὶ ἀσύμβατον ἐπιδείξονται, μηδὲν ἀνθρώπινον καὶ συμπαθὲς δράσαντες, ἃ τετελευτηκόσι καὶ πρὸς ἐχθρῶν ἐν ἀκηρύκτοις πολέμοις σώζεται. Ταῦτα μὲν ἐπὶ τοσοῦτον.

*De iumentis diversi generis non coitu miscendis et eius generis leges.* (11. 12.)

11. Ἁρμονίαν δέ τινα ἑξῆς τίθησιν ὁμοιότροπον παραγγελμάτων, φάσκων τὰ κτήνη μὴ ὀχεύειν ἑτεροζύγοις, τὸν ἀμπελῶνα μὴ κατασπείρειν δίφορον, ἱμάτια ἐκ δυοῖν ὑφασμένα, κίβδηλον ἔργον, μὴ ἀμπέχεσθαι. Λέλεκται δὲ τὸ μὲν πρῶτον ἐν τοῖς κατὰ μοιχῶν, πρὸς ἔμφασιν τρανοτέραν τοῦ μὴ δεῖν ἀλλοτρίοις γάμοις [*] ἐφεδρεύειν, φθείραντας μὲν ἤθη γυναικῶν, φθείραντας δὲ καὶ τὰς ἐπὶ τέκνων σποραῖς γνησίων χρηστὰς ἐλπίδας· ὁ γὰρ τὰς ἐν ἀλόγοις ζώοις ἑτερογενῶν ὀχείας ἀπηγορευκὼς ἔοικε πόῤῥωθεν ἀνακοπὴν μοιχῶν ἀπεργάσασθαι. Λεκτέον δὲ καὶ νῦν ἐν τοῖς περὶ δικαιοσύνης· τὸ γὰρ αὐτὸ πλείοσιν ἐφαρμόττειν, εἰ δύναιτό πως, οὐ παραιτητέον. Ἔστιν οὖν δίκαιον εἰς ταὐτὸν ἄγειν τὰ δυνάμενα κοινωνεῖν. Τὰ δὲ ὁμογενῆ πέφυκεν εἰς κοινωνίαν, ἐπεὶ καὶ ὅσα ἑτερογενῆ κατὰ τὸ ἐναντίον ἄμικτα καὶ ἀκοινώνητα, οἷς ὁ μηχανώμενος ἐκθέσμους ὁμιλίας ἄδικος, νόμον φύσεως ἀναιρῶν. Ὁ δὲ ὄντως ἱερὸς νόμος τοσαύτῃ προμηθείᾳ κέχρηται τοῦ δικαίου, ὥστε οὐδὲ ἄροτον γῆς ἐπιτρέπει ποιεῖσθαι διὰ τῶν τὴν ἰσχὺν ἀνίσων, ἀλλ' ἐν ταὐτῷ καταζεύξαντας ὄνον τε καὶ μόσχον ἀροτριᾶν ἐκώλυσεν, ἵνα μὴ περιττῇ δυνάμει τοῦ μᾶλλον ἐῤῥωμένου τὸ ἀσθενέστερον ἁμιλλᾶσθαι βιασθὲν ἀπείπῃ καὶ προκάμῃ· καίτοι τὸ μὲν ἐῤῥωμενέστερον, ὁ ταῦρος, ἐν τῇ τάξει

ν καθαρῶν ζώων ἀναγράφεται, τὸ δὲ ἀσθενέστερον, ος, ἐν τῇ τῶν μὴ καθαρῶν. Ἀλλ' ὅμως καὶ τοῖς χεί- σιν εἶναι δοκοῦσιν οὐκ ἐφθόνησεν ὠφελείας τῆς ιὸ τοῦ δικαίου, πρὸς ἀναγκαιοτάτην μάθησιν, ὡς οἶμαι, δικαστῶν, ἵνα μηδὲν ἐν ταῖς κρίσεσιν ἐλατ- ῶσι τοὺς δυσγενεῖς, ἐν οἷς οὐ γένους, ἀλλ' ἀρε- ῆς ἢ κακίας ἐστὶν ἐξέτασις. Ἐμφερὲς τούτοις ἐστὶ άταγμα καὶ τὸ τελευταῖον τῶν ἐν τῇ συζυγίᾳ, τὸ μὴ νυφαίνειν τὰς ἑτεροειδεῖς οὐσίας, ἔρια καὶ λίνα· καὶ ὰρ ἐπὶ τούτων οὐ μόνον ἡ διαφορότης ἀκοινώνητον, λλὰ καὶ ἡ ἐπικράτεια θατέρου ῥῆξιν ἀπεργασομένου ἄλλον ἢ ἕνωσιν, ὅταν δέῃ χρῆσθαι.

12. Μέσον ἦν τῆς ἐν τῇ συζυγίᾳ τριάδος τὸ μὴ κα- ασπείρειν ἀμπελῶνα δίφορον. Πρῶτον μὲν, ἵνα μὴ ύρηται συμφυόμενα τὰ γένους ὄντα ἑτέρου· σπαρτὰ άρ δένδροις καὶ δένδρα σπαρτοῖς ἀνοίκεια. Παρ' ὃ ιαὶ ἡ φύσις οὐχὶ τὴν αὐτὴν προθεσμίαν ἀμφοτέροις ὥρι- σεν εἰς τὴν τῶν ἐτησίων καρπῶν γένεσιν, ἀλλὰ τοῖς μὲν ἄμητον ὥραν ἀπένειμε τὸ ἔαρ, τοῖς δὲ εἰς συγκομι- δὴν ἀκροδρύων λῆγον θέρος. Συμβαίνει γοῦν κατὰ τὸν αὐτὸν χρόνον τὰ μὲν ἀφαυαίνεσθαι προανθήσαντα, τὰ δὲ βλαστάνειν προαφαυανθέντα· χειμῶνι μὲν γὰρ φυλοῤῥο- ούντων δένδρων τὰ σπαρτὰ ἀνθεῖ, ἔαρι δὲ κατὰ τὸ ἐναν- τίον αὐαινομένων ὅσα σπαρτὰ, βλαστάνουσιν αἱ δέν- δρων ἡμέρων τε καὶ ἀγρίων ὗλαι. Καὶ σχεδὸν ὁ αὐτὸς ὅρος ἐστὶν, ἐν ᾧ οἱ μὲν τῶν σπαρτῶν καρποὶ τελειοῦν- ται, οἱ δὲ τῶν δένδρων ἀρχὴν γεννήσεως λαμβάνουσιν. Εἰκότως οὖν τὰ τοσοῦτον ἀλλήλων [*] ἀπηρτημένα καὶ ταῖς φύσεσι καὶ ταῖς ἀνθήσεσι καὶ τοῖς εἰς τὸ γεννᾶν τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἰκεῖα καιροῖς, διέζευξε καὶ διῴκισε, τάξιν ἐξ ἀταξίας εἰσηγούμενος. Τάξει μὲν γὰρ τὸ συγγενὲς κόσμος, ἀταξίᾳ δὲ τὸ ἄκοσμον. Δεύτερον δέ, ἵνα μὴ ἑκάτερα τὰ εἴδη βλάπτηταί τε καὶ ἀντιβλάπτῃ, τὰ ἕτερα τῶν ἑτέρων τὴν τροφὴν παρασπώμενα, ἧς κατακερματιζομένης, οἷα ἐν λιμῷ καὶ σπάνει ἀναγκαίων, τὰ φυτὰ πάντα διὰ πάντων ἐξασθενήσει, καὶ ἢ στείρωσιν ἐνδέξεται πρὸς τὸ παντελὲς ἀφορήσαντα, ἢ εὐγενεῖς καρποὺς οὐδέποτε οἴσει, προεξασθενήσαντα ταῖς ἐνδείαις. Τρίτον δέ, ὅπως ἀρετῶσα γῆ μὴ πιέζηται βαρυτάτοις ἄχθεσι, τοῦτο μὲν ὑπὸ τῆς τῶν σπειρομένων ἐν ταὐτῷ καὶ φυτευομένων συνεχοῦς καὶ ἐπαλλήλου πυκνότητος, τοῦτο δὲ ὑπὸ τῆς τῶν καρπῶν διπλασιαζομένης φορᾶς. Ἀπόχρη γὰρ ἐξ ἑνὸς χωρίου λαμβάνειν ἕνα δασμὸν ἐτήσιον τῷ κεκτημένῳ, καθάπερ ἐκ πόλεως βασιλεῖ. Τὸ δὲ φόρους ἐπιχειρεῖν πλείους ἐκλέγειν φιλοχρηματίας ὑπερβαλλούσης ἐστὶν ἔργον, ᾗ καὶ τὰ φύσεως ἀνατρέπεται νόμιμα. Διὸ φαίη ἂν ὁ νόμος τοῖς ἐγνωκόσι τοὺς ἀμπελῶνας ἕνεκα πλεονεξίας κατασπείρειν· „Μὴ χείρους γίνεσθε τῶν ὅπλοις καὶ στρατείαις πόλεις καὶ χώρας ὑπηγμένων βασιλέων, οἳ προνοίᾳ τοῦ μέλλοντος καὶ ἅμα φειδοῖ τῶν ὑπηκόων ἕνα δασμὸν ἐτήσιον ἐκλέγειν ἀξιοῦσι, στοχαζόμενοι τοῦ μὴ βραχεῖ καιρῷ κατὰ τὸ παντελὲς εἰς ἐσχάτην ἀπορίαν αὐτοὺς ἀγαγεῖν. Ὑμεῖς δὲ ἐὰν ἐκ τοῦ αὐτοῦ ἐδάφους ἔαρι μὲν τοὺς κριθῶν καὶ πυρῶν φόρους ἀναπράττητε, θέρει δὲ τοὺς τῶν ἀκροδρύων, διπλασίοις αὐτὸ δασμοῖς ἐκτραχηλιεῖτε· ἀπαγορεύσει γάρ, κατὰ τὸ εἰκὸς ἀθλητοῦ τρόπον οὐκ ἐωμένου διαπνεῖν καὶ συλλέγεσθαι δύναμιν εἰς ἑτέραν ἀγωνίας ἀρχήν. Ἀλλ' ἐοίκατε ῥᾳδίως ὧν διεταξάμην κοινωφελῶν ἐκλανθάνεσθαι. Εἰ γοῦν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μνησθε τῆς περὶ τοῦ ἑβδόμου ἔτους εἰσηγήσεως, καθ' ἐδικαίωσα τὴν ἱερὰν χώραν ἐξανίεσθαι, μηδενὶ τῶν ὰ γεωργίαν ἔργων ἀποτρυχομένην, ἕνεκα τῶν ἐν ἑξα- χ πόνων, οὓς ὑπέστη καρποφοροῦσα ταῖς ἐτησίοις αις, κατὰ τοὺς φύσεως θεσμούς· οὐκ ἂν ἐπινεανιευό- νοι καὶ ἐπιχειροτονοῦντες ταῖς πλεονεξίαις καινοὺς ὅρους ἐπενοεῖτε, τὴν δενδρῖτιδα γῆν καὶ μάλιστα τὴν πελόφυτον κατασπείροντες, ἵνα διτταῖς προσόδοις θ' ἕκαστον ἐνιαυτὸν ἀμφοτέραις ἀδίκοις αὔξητε τὰς σίας, ὑπὸ φιλοχρηματίας ἐκνόμοις ἐπιθυμίαις ἀργυρο- ροῦντες. Οὐ γὰρ ἂν ὑπομεῖναι ὁ αὐτὸς ἔτει γε ἑβδό- ρ τὰ οἰκεῖα χωρία ἀνιέναι μὴ προσοδευόμενος ὑπὲρ τοῦ ν γῆν ἀνακτήσασθαι πονηθεῖσαν, καὶ βαρύνειν αὐτὴν ὶ πιέζειν διττοῖς ὄχθεσιν. Ἀναγκαίως οὖν ἀπεφηνά- ην τῶν τοιούτων κτημάτων ἀνίερον εἶναι καὶ ἄναγνον ] τό τε γῆς ὁποίρας γέννημα καὶ τὸν τοῦ σπόρου καρ- όν, διότι αὐχενίζεται τρόπον τινὰ καὶ ἄγχεται πνεῦμα νοφυτοῦν ἐν ἀρετώσῃ γῇ, καὶ ὅτι ταῖς τοῦ Θεοῦ δωρεαῖς κεκτημένος ἐναλύει καὶ ἐνσπαθᾷ, προσαναῤῥηγνὺς τὰς δίκους ἐπιθυμίας αὐτοῦ, μέτροις αὐτὰς μὴ περιορίζων." ἆρ' οὐκ ἄξιον ἐρασθῆναι τοιούτων ὑφηγήσεων, αἳ μα- ρόθεν τῶν ἐπ' ἀνθρώποις πλεονεξιῶν ἀνείργουσι καὶ ἀνακόπτουσιν; Ὁ γὰρ ἀπομαθὼν ἐν φυτοῖς ἰδιώτης κέρ- δος ἄδικον, εἰ λαβόμενος μειζόνων πραγμάτων γένοιτο βασιλεύς, χρήσεται πρὸς ἄνδρας ὁμοῦ καὶ γυναῖκας τῷ ἔθει, οὐ διστοὺς φόρους ἀναπράττων, οὐδὲ δασμοῖς τοὺς ὑπηκόους ἐκτραχηλίζων. Ἱκανὸν γὰρ τὸ σύντροφον ἔθος μαλάξαι σκληρὰ ἤθη καὶ τρόπον τινὰ παιδαγωγῆσαι καὶ διαπλάσαι πρὸς βελτίονας τύπους. Τύποι δὲ ἀμείνους εἰσίν, οὓς ἐνσφραγίζεται ψυχῇ δικαιοσύνη.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*De bello et pace.*

13. Ταῦτα μὲν καὶ ἑνὶ ἑκάστῳ νομοθετεῖ. Καθολικώτεραι δὲ προστάξεις εἰσὶν ἕτεραι, ἃς ἅπαντι τῷ ἔθνει κοινῇ διαγορεύει, παραινῶν ὡς προσενεκτέον οὐ φίλοις καὶ συμμάχοις αὐτὸ μόνον, ἀλλὰ καὶ τοῖς τῆς συμμαχίας ἀφισταμένοις. Ἐὰν γάρ, φησίν (Deut. 20, 1 ss.), εἴσω τειχέων κατακλείσαντες αὑτοὺς ἀπαυχενίζωσιν, ἡ ὑμετέρα νεότης εὐοπλοῦσα μετὰ τῶν εἰς πόλεμον παρασκευῶν ἐπίτω καὶ στρατόπεδον ἐν κύκλῳ βαλομένη καραδοκείτω, μηδὲν ὀργῇ πρὸ λογισμοῦ χαριζομένη, βεβαιότερον ὅπως καὶ σταθηρότερον ἐγχειρῇ τοῖς πρακτέοις. Εὐθὺς οὖν πεμπέτω κήρυκας τοὺς προκαλεσομένους εἰς συμβάσεις καὶ ἅμα τὸ ἀξιόμαχον τῆς περιϊδρυμένης δυνάμεως δηλώσοντας. Καὶ ἐὰν μὲν ἐφ' οἷς ἐνεωτέρισαν μετανοήσαντες ὑπείκωσι πρὸς τὸ εἰρηναῖον ὁποιοῦν τραπόμενοι, δεχέσθωσαν ἄσμενοι τὰς σπονδάς· εἰρήνη γάρ, καὶ ἂν ᾖ σφόδρα ἐπιζήμιος, λυσιτελεστέρα πολέμου. Ἐὰν δὲ πρὸς ἀπόνοιαν ἀποτείνωνται θρασυνόμενοι, ῥωσθέντες εὐτολμίᾳ, ἔχοντες καὶ τὴν τοῦ Δικαίου συμμαχίαν ἀήττητον, ἐφορμάτωσαν τὰς ἑλεπόλεις τοῖς τείχεσιν ἐφιστάντες, εἶτα μέρη τούτων παραῤῥήξαντες ἐπεισχείσθωσαν ἀθρόοι, καὶ βάλλοντες μὲν τοῖς δορατίοις εὐσκόπως, ἐπιστροφάδην δὲ τοῖς ξίφεσιν ἀναιροῦντες ἀφειδῶς ἀμυνέσθωσαν, ἃ παθεῖν ἐμέλλησαν διατιθέντες, ἄχρις ἂν τὸν ἀντιπεταγμένον ἅπαντα στρατὸν ἡβηδὸν καταστορέσωσιν, ἄργυρον καὶ χρυσὸν καὶ τὴν ἄλλην λείαν λαβόντες. Καὶ τὴν πόλιν ἐμπρησάτωσαν πῦρ προσαγαγόντες, ἕνεκα τοῦ μηδ' αὖθίς ποτε δυνηθῆναι τὴν αὐτὴν πόλιν διαπνεύσασαν ἐγερθῆναι καὶ στασιάσαι, καὶ ὑπὲρ τοῦ νουθετῆσαι φό-

ῃ τοὺς ὁμόρους, [*] ἐπειδὴ τοῖς ἑτέρων πάθεσιν ἄν-
ρωποι διδάσκονται σωφρονεῖν. Παρθένους δὲ καὶ
υναῖκας μεθιέσθωσαν, μηδὲν τῶν ὅσα νεωτερίζει πόλε-
ος ἐξ αὐτῶν πείσεσθαι προςδοκῶντες, ἕνεκα φυσικῆς
σθενείας τετιμημένων ἀστρατείας. Ἐξ οὗ δῆλον, ὅτι
ὸ τῶν Ἰουδαίων ἔθνος ἔνσπονδον μὲν καὶ φίλον πᾶσι
οῖς ὁμογνώμοσι καὶ τὴν προαίρεσιν εἰρηνικοῖς ἐστιν, οὐ
ὴν εὐκαταφρόνητον, ὡς τοῖς ἄρχουσι χειρῶν ἀδίκων ὑπ'
νανδρίας ἐνδιδόναι. Διακρίνει δέ, ὁπότε πρὸς ἄμυναν
οι, τοὺς ἐπιβούλως ζῶντας, καὶ τὸ ἐναντίον· τὸ γὰρ
ατὰ πάντων, καὶ τῶν ἐλάχιστα ἢ μηδὲν ἡμαρτηκότων,
ρονᾶν εἴποιμ' ἂν ἀνημέρου καὶ ἀτιθάσσου ψυχῆς, καὶ
ὸ προςθήκην ἀνδρῶν πόλεμον κατασκευασάντων ποιεῖ-
σθαι γυναῖκας, ὧν ὁ βίος εἰρηνικὸς φύσει καὶ κατοικί-
ιος. Τοσοῦτον δὲ ἔρωτα δικαιοσύνης ἐνεργάζεται τοῖς
κατ' αὐτὸν πολιτευομένοις, ὡς οὐδὲ πόλεως ἐχθρᾶς τὴν
ἀρετῶσαν γῆν ἐφίησι λυμαίνεσθαι δῃοῦντας, ἢ δενδροτο-
μοῦντας ἐπὶ φθορᾷ καρπῶν. „Τί γάρ“ φησι „τοῖς
ἀψύχοις μέν, τὴν δὲ φύσιν ἡμέροις καὶ ἡμέρους καρποὺς
ἀπογεννῶσι μνησικακεῖς; μὴ γάρ, ὦ οὗτος, ἀνθρώπου
πολεμίου δυσμένειαν ἐπιδείκνυται δένδρον, ὡς, ἀνθ' ὧν
διατίθησιν ἢ διατιθέναι παρεσκεύασται, ῥίζαις αὐταῖς
ἀνασπᾶσθαι; Τὸ ἐναντίον δὲ ὠφελεῖ παρέχον τοῖς νενι-
κηκόσιν ἀφθονίαν τῶν ἀναγκαίων καὶ τῶν πρὸς ἁβρο-
δίαιτον βίον.“ Οὐ γὰρ ἄνθρωποι δασμὸν φέρουσι τοῖς
κυρίοις, ἀλλὰ καὶ φυτὰ τοὺς ὠφελιμωτέρους κατὰ τὰς
ἐτησίους ὥρας, ὧν ἄνευ ζῆν οὐκ ἔστιν. Ἀγόνων δὲ καὶ
ἐστειρωμένων καὶ ὅσα τῆς ἀγρίας ὕλης ἔστω μηδεμία φει-
δὼ τοῖς ἐθέλουσι τέμνειν εἰς χαρακώματα καὶ σταυροὺς
καὶ σκόλοπας καὶ τάφρους καί, ὁπότε δέοι, κλιμάκων καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πύργων ξυλίνων κατασκευάς· εἰς γὰρ ταῦτα καὶ τὰ τούτοις ὅμοια γένοιτο ἂν αὐτοῖς χρεία προσήκουσα.

*Iustitiae et aequalitatis laudes.*

14. Τὰ μὲν οὖν εἰς δικαιοσύνην ἀναφερόμενα εἴρηται. Δικαιοσύνην δὲ αὐτὴν τίς ἂν ποιητὴς ἢ λογογράφος ὑμνῆσαι δύναιτο, παντὸς ἐπαίνου καὶ παντὸς ἐγκωμίου κρείττονα καθεστῶσαν; Ἓν γοῦν τὸ πρεσβύτατον ἀγαθὸν αὐτῆς, ἡ εὐμένεια, καὶ ἂν τὰ ἄλλα τις παραλιπὼν ἡσυχάζῃ, γένοιτο ἂν αὐταρκέστατος ἔπαινος. Ἔστι γὰρ ἰσότης, ὡς οἱ τὰ φύσεως ἀκριβοῦντες ἡμῖν παρέδοσαν, μήτηρ δικαιοσύνης. Ἰσότης δὲ φῶς ἄσκιον, ἥλιος, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, νοητός, ἐπειδὴ καὶ τὸ ἐναντίον ἀνισότης, ἐν ᾧ τό τε ὑπερέχον καὶ τὸ ὑπερεχόμενον, σκότους ἀρχή τε καὶ πηγή. Πάντα ἰσότης, τά τε κατ᾽ οὐρανὸν καὶ τὰ ἐπὶ γῆς, εὖ διετάξατο νόμοις καὶ θεσμοῖς ἀκινήτοις. Τίς γὰρ ἀγνοεῖ τοῦτο, ὅτι [*] ἡλίῳ μεμέτρηνται πρὸς νύκτας ἡμέραι καὶ πρὸς ἡμέρας νύκτες, ἰσότητι τῶν διαστημάτων ἀναλογούντων; Τὰς μὲν οὖν καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀπὸ τοῦ συμβεβηκότος προσαγορευομένας ἰσημερίας, ἐαρινήν τε καὶ μετοπωρινήν, οὕτως ἡ φύσις ἐτράνωσεν, ὡς καὶ τοὺς ἀμουσοτάτους αἰσθάνεσθαι τῆς ἐν τοῖς μεγέθεσιν τῶν ἡμερῶν πρὸς νύκτας ἰσότητος. Τί δέ, αἱ σελήνης περίοδοι διαυλοδρομούσης, καὶ ἀπὸ συνόδου μέχρι πλησιφαοῦς καὶ ἀπὸ τελείας ἐπὶ σύνοδον, ἆρ᾽ οὐ διαστημάτων ἰσότητι μεμέτρηνται; Καθ᾽ ὅσα γὰρ καὶ ἡλίκα αἱ συναυξήσεις, κατὰ τοσαῦτα αἱ μειώσεις ἐπ᾽ ἀμφοτέραις ἰδέαις τοῦ ποσοῦ, τῇ τε κατὰ πλῆθος καὶ τῇ κατὰ μέγεθος. Ὥς γε μὴν ἐν τῷ καθαρωτάτῳ τῆς οὐσίας, οὐρανῷ, διαφερόντως ἰσότης τετίμη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ι, οὕτω καὶ ἐν τῷ γείτονι ἀέρι. Τετραχῆ γὰρ τοῦ ιαυτοῦ διανεμηθέντος, εἰς τὰς ἐπικαλουμένας ἐτησίους ρας, τρέπεσθαι καὶ μεταβάλλειν ὁ ἀὴρ πέφυκεν, ἐν ταῖς οπαῖς καὶ μεταβολαῖς ἄλεκτον ἐπιδεικνύμενος ἐν ἀτα-ᾳ τάξιν. Ἰσαρίθμοις γὰρ μησὶ διακρινόμενος, εἴς τε ιμῶνα καὶ ἔαρ, θέρος τε καὶ μετόπωρον, τρισὶν εἰς άστην ὥραν ἐκπληροῖ τὸν ἐνιαυτόν, καθάπερ αὐτὸ μη-ει τὸ ὄνομα· αὐτὸς γὰρ ἐν αὐτῷ περιέχει πάντα υμπεραιούμενος, ἑτέρως οὐκ ἂν τοῦτο ἐργάσασθαι δυ-ηθείς, εἰ μὴ ταῖς ἐτησίοις ὥραις αὐτὸν ἐπέχρησεν. Ἰσό-ης ἀπὸ τῶν οὐρανίων καὶ μεταρσίων καὶ πρὸς τὰ ἐπί-εια *τέταται*, τὴν μὲν ἀκραιφνῆ φύσιν ἑαυτῆς, αἰθέ-ος οὖσαν ἀγχίσπορον, ἄνω μετέωρον διαίρουσα, τὴν ὥςπερ αὐγὴν ἡλίου τρόπον ἀποστέλλουσα δεύτερον έγγος. Ὅσα γὰρ πλημμελεῖ τῶν παρ' ἡμῖν, ἀνισότης, σα δὲ τάξιν ἔχει τὴν προσήκουσαν, ἰσότης ἀπειργάσατο, ις ἐν μὲν τῇ τοῦ παντὸς οὐσίᾳ, κυριώτατα φάναι, κό-μος ἐστίν, ἐν δὲ ἄστεσιν ἡ εὐνομωτάτη καὶ πολιτειῶν ρίστη, δημοκρατία, ἐν δὲ αὖ σώμασιν ὑγεία καὶ ἐν ψυ-αῖς καλοκἀγαθία. Καὶ γὰρ τὸ ἄνισον ἔμπαλιν νόσων αὶ κακιῶν αἴτιον. Ἐπιλείψει καὶ τὸν μακροβιώτατον ρόνος, εἰ πάντας ἐθελήσειε τοὺς ἐπαίνους ἰσότητος καὶ ικαιοσύνης, ἣν ἐγέννησε, διεξιέναι· παρ' ὃ μοι δοκεῖ έλτιον εἶναι τοῖς λεχθεῖσιν ἀρκεσθέντα, τοῦ διακινῆσαι άριν τὴν τῶν φιλεπιστημόνων μνήμην, τὰ λοιπὰ ἐν ταῖς κείνων ἀνάγραπτα ψυχαῖς παραλιπεῖν, ἱερωτάτῳ χωρίῳ θεῖα ἀγάλματα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΤΡΙΩΝ ἈΡΕΤΩΝ ΗΤΟΙ ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ ΚΑΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ ΚΑΙ ΜΕΤΑΝΟΙΑΣ.

---

# DE TRIBUS VIRTUTIBUS SIVE DE FORTITUDINE ET HUMANITATE (S. CARITATE) ET POENITENTIA.

---

## ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ. [II. 375.]

*Falsa et vera fortitudo.*

1. *Π*ερὶ δικαιοσύνης καὶ τῶν κατ' αὐτὴν ὅσα καίρια πρότερον εἰπὼν μέτειμι τὸ ἑξῆς ἐπ' ἀνδρείαν. οὐχ ἣν οἱ πολλοὶ νομίζουσι τὴν πολεμικὴν λύτταν ὀργῇ συμβούλῳ χρωμένην, ἀλλὰ τὴν ἐπιστήμην. θρασεῖς μὲν γὰρ ἐσκιρρωμένοι τινες, συμπαρατεινούσης σωματικῆς

λοχίας συλλεγέντας κατὰ πόλεμον ἐν ταῖς πανστρατιαῖς ἐξετασθέντας μυρίους ὅσους τῶν ἀντιπάλων καθελόντας, ἀπολαύσαντας, εὐφημίαν δὲ ἀρετῆς ἕνεκα κομισαμένους, διαφανέντας ὑπὸ τῶν τὰ τοιαῦτα [*] κρινόντων ἀκλεεῖς εἶναι νομισθέντας, ἀγρίους καὶ θηριώδεις ἐν ψυχαῖς καὶ μάλιστα γεγονότας, αἵματος ἀνθρωπείου δεδιψηκότας. Εἰσὶ δὲ οἳ καὶ ἐν οἰκίᾳ διατρίβοντες, τῶν σωμάτων ἀσθενείᾳ ἢ μακραῖς νόσοις ἢ ἐσχάτῳ γήρᾳ κατεσκελετευμένων ὑγιαίνοντες καὶ σφύζοντες τῷ κρείττονι μέρει τῆς ψυχῆς, μεστοί τε φρονήματος καὶ θαρραλεωτάτης γνώμης ἀνάπλεῳ, ἐμπειρίας ὄντες μεθ' ὅσης σπουδῆς βουλευμάτων ἀγαθῶν κατασκευασταί, εἰσηγοῦνται τά τε ἴδια ἑκάστων καὶ τὰ κοινὰ τῶν πατρίδων συμφέροντα πολλάκις ἀνόρθωσαν, ἀνενδότως καὶ ἀκμαιοτάτῳ χρώμενοι τῷ περὶ τοῦ συμφέροντος λογισμῷ. Οὗτοι μὲν οὖν τὴν ἀληθῆ διανοοῦνται ἀνδρείαν, ἐπιστήμην οὖσαν ὄντως, ἴσασι δὲ τὴν φυλάττουσαν, ἀμαθίαν, εἶναι θρασύτητα, ζηλοῦντες τὴν θρασύτητα καθάπερ ἄν τις προσεπαινοίη, ἀλλ' ὅσην φασὶν ἐν τοῖς παλαίσμασι τὸ καρτερικὸν ἐμφαίνειν τῆς ἀληθοῦς ἀνδρείας.

*Paupertas etiam, obscuritas, morbi et alia etiam mala ferenda sunt fortitudine, quippe quae fontem* [illegible] *habent. (2, 3.)*

2. Ὅσα ἄλλα πενία καὶ ἄλλα δυσπραγήματα τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἀπηριθμήσαμεν, πενία καὶ ἀδοξία καὶ πήρωσις καὶ νόσων ἰδέαι πολύτροποι, πρὸς ἃς οἱ μὲν ὀλιγόψυχοι μαλακίζονται, μηδ' ὅσον ὑπὲρ ἐπικουρίας ἐγερθῆναι δυνάμενοι. Ὅσοι δὲ φρονήματι χρῶνται καὶ γενναιότητος ἀναπίμπλανται, καρτερικῶς καὶ

σφόδρα ἐῤῥωμένως ἀντιφιλονεικοῦντες, τὰς ἀπειλὰς καὶ ἐπαναστάσεις αὐτῶν πολὺν γέλωτα καὶ χλεύην τιθέμενοι· πενίᾳ μὲν πλοῦτον ἀντιτάττοντες, οὐ τὸν τυφλόν, ἀλλὰ τὸν ὀξὺ καθορῶντα, οὗ τὰ ἀγάλματα καὶ κειμήλια ψυχὴ πέφυκε ταμιεύειν. Μυρίους γὰρ πενία κατεπάλαισεν, οἳ τρόπον ἀθλητῶν ἀπειρηκότων ὑπ᾿ ἀνανδρίας κατέπεσον μαλακισθέντες. Ἐνδεὴς δὲ παρ᾿ ἀληθείᾳ δικαζούσῃ τὸ παράπαν οὐδὲ εἷς ἐστί, χορηγὸν ἔχων τὸν τῆς φύσεως ἀκαθαίρετον πλοῦτον· ἀέρα μέν, τὴν πρώτην καὶ ἀναγκαιοτάτην καὶ συνεχῆ τροφήν, ἀδιαστάτως μεθ᾿ ἡμέραν τε καὶ νύκτωρ ἀναπνεόμενον· ἔπειτα δὲ πηγὰς ἀφθόνους καὶ ποταμῶν, οὐ χειμάῤῥων μόνον, ἀλλὰ καὶ αὐθιγενῶν ῥεῖθρα ἀέναα πρὸς ποτοῦ χρῆσιν· ἔπειτα εἰς ἐδωδὴν φορὰς παντοίων καρπῶν καὶ δένδρων ἰδέας, αἳ τὰς ἐτησίους ὀπώρας ἀεὶ φέρουσι. Τούτων γὰρ ἄπορος οὐδείς, ἀλλὰ πάντες οἱ πανταχοῦ πολλὴν ἄγουσι περιουσίαν. Εἰ δέ τινες τὸν τῆς φύσεως πλοῦτον παρ᾿ οὐδὲν θέμενοι τὸν τῶν κενῶν δοξῶν διώκουσι, τυφλῷ πρὸ βλέποντος σκηριπτόμενοι καὶ ἡγεμόνι τῆς ὁδοῦ χρώμενοι πεπηρωμένῳ, πίπτειν ἐξ ἀνάγκης ὀφείλουσιν.

3. Ὁ μὲν δὴ σώματος δορυφόρος πλοῦτος, φύσεως εὕρεμα καὶ δῶρον ὤν, ἤδη λέλεκται. Τὸν δὲ σεμνότερον, ὃς οὐ πᾶσιν, ἀλλὰ τοῖς ἀληθῶς σεμνοῖς καὶ θεσπεσίοις ἀνδράσι πρόσεστι, μηνυτέον. Τοῦτον τὸν πλοῦτον [*] σοφία χορηγεῖ διὰ λογικῶν καὶ ἠθικῶν καὶ φυσικῶν δογμάτων καὶ θεωρημάτων, ἐξ ὧν φύεσθαι τὰς ἀρετὰς συμβέβηκεν, αἳ τῆς ψυχῆς ὑποτέμνονται τὴν πολυτέλειαν, εὐκολίας καὶ ὀλιγοδείας ἔρωτας ἐντίκτουσαι, κατὰ τὴν πρὸς θεὸν ἐξομοίωσιν. Ἔστι γὰρ ὁ μὲν θεὸς ἀνεπιδεής,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐδενὸς χρήζων, ἀλλ' αὐτὸς αὐταρκέστατος ἑαυτῷ. Ὁ δὲ φαῦλος *πολυδεής*, ἀεὶ διψῶν τῶν ἀπόντων, ἀπλήστου καὶ ἀκορέστου χάριν ἐπιθυμίας, ἣν πυρὸς τρόπον ἀναῤῥιπίζων καὶ ἀναφλέγων ἐπὶ πάντα αὖ μικρὰ καὶ μεγάλα τείνει. Ὁ δὲ σπουδαῖος ὀλιγοδεής, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος, τὸ μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητόν, τὸ δὲ μὴ πολυτελὲς διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας. Οὕτω μὲν πενίᾳ πλοῦτον ἀντιτάττουσιν, ἀδοξίᾳ δὲ εὔκλειαν. Ὁ γὰρ ἔπαινος ὁρμητήριον ἔχων καλοκἀγαθίαν καὶ ὥσπερ ἀπ' ἀενάου πηγῆς ἐκεῖθεν ῥέων, ἀνεξετάστων ἀνθρώπων οὐκ ἐνομιλεῖ πλήθει, τὰς τῆς ψυχῆς ἀνωμαλίας ἀβεβαίοις φωναῖς ἀπογυμνοῦν εἰωθότων, ἃς ἔστιν ὅτε λημμάτων αἰσχρῶν ἐπευωνίζοντες οὐκ ἐρυθριῶσιν κατὰ τῶν ἀριστίνδην ἐπιλεγομένων. Ὀλίγος δὲ τούτων ἀριθμός ἐστιν· ἀρετὴ γὰρ οὐ πολύχουν ἐν θνητῷ γένει. Πηρώσει γε μὴν αἰσθήσεων, αἷς ζῶντες ἔτι μυρίοι προαπέθανον τῷ μηδὲν ἀλεξίκακον εὑρεῖν δύνασθαι φάρμακον, ἀντικάθηται φρόνησις, τὸ κρατιστεῦον τῶν ἐν ἡμῖν, ἐνομματοῦσα διάνοιαν, ἣ πρὸς ὀξυωπίαν τῶν τοῦ σώματος ὀφθαλμῶν ὅλῳ φασὶ καὶ τῷ παντὶ διενήνοχεν. Οἱ μὲν γὰρ τὰς ἐπιφανείας τῶν ὁρατῶν καταθεῶνται, ἅμα δεόμενοι φωτὸς ἔξωθεν· ἡ δὲ καὶ διὰ βάθους χωρεῖ τῶν σωμάτων, ὅλα δι' ὅλων καθ' ἕκαστα τῶν μερῶν ἀκριβοῦσα καὶ περιαθροῦσα, καὶ τὰς τῶν ἀσωμάτων φύσεις, ἃς ἐπισκοπεῖν αἴσθησις ἀδυνατεῖ. Σχεδὸν γὰρ ἅπασαν ὀξυωπίαν ὀφθαλμοῦ καταλαμβάνει, μὴ προσδεομένη νόθου φωτός, ἀστὴρ οὖσα αὐτή, καὶ σχεδόν τι τῶν ἐπουρανίων ἀπεικόνισμα καὶ μίμημα. Νόσοι γε μὴν σωμάτων ὑγιαινούσης ψυχῆς ἥκιστα βλάπτουσιν, ὑγεία δὲ ψυχῆς εὐκρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σία δυνάμεών ἐστι, τῆς τε κατὰ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν καὶ τὸν λόγον, ἐπικρατούσης τῆς λογικῆς καὶ ὥςπερ ἀφηνιαστὰς ἵππους ἡνιοχούσης ἑκατέρας. Ὄνομα ταύτης ἴδιον τῆς ὑγείας ἐστὶ σωφροσύνη, σωτηρίαν τῷ [*] φρονοῦντι τῶν ἐν ἡμῖν ἀπεργαζομένη. Κινδυνεῦον γὰρ αὐτὸ πολλάκις ὑπὸ τῆς τῶν παθῶν φορᾶς κατακλύζεσθαι βρύχιον οὐκ ἐᾷ χωρεῖν, ἀλλ' ἀνέλκει καὶ μετέωρον ἐξαίρει, ψυχοῦσα καὶ ζωογονοῦσα καὶ τρόπον τινὰ ἀπαθανατίζουσα. Πάντων δὲ τῶν εἰρημένων ὑφηγήσεις εἰσὶ καὶ διδασκαλίαι πολλαχοῦ τῆς νομοθεσίας ἐστηλιτευμέναι, τοὺς μὲν εὐπειθεῖς μαλακώτερον ἀναπείθουσαι, τοὺς δὲ ἀπειθεστέρους ἐμβριθέστερον, καταφρονεῖν τῶν περὶ τὸ σῶμα καὶ ἐκτός, ἓν μὲν τέλος ἡγούμεναι τὸν κατ' ἀρετὴν βίον, ζηλοῦντας δὲ καὶ τὰ ἄλλα ὅσα ἀγωγὰ πρὸς τοῦτον. Καὶ εἴ γε μὴ διὰ τῶν πρότερον ἐτύγχανον ἕκαστα διεξεληλυθὼς τῶν ἐς ἀτυφίαν, ἐπειρώμην ἂν ἀπομηκύνειν ἐν τῷ παρόντι, συνυφαίνων καὶ συνείρων τὰ δοκοῦντα σποράδην κεῖσθαι ἐν τόποις διαφέρουσιν· εἰρηκὼς δὲ ὅσα δίδωσιν ὁ καιρός, παλιλλογεῖν οὐ δίκαιον. Τοὺς μέντοι μὴ ἀποκνοῦντας, ἀλλὰ διὰ σπουδῆς τιθεμένους ἐντυγχάνειν ταῖς πρὸ τούτων βίβλοις, δεῖ νοῆσαι, ὅτι πάντα τὰ περὶ ἀτυφίας λεχθέντα σχεδόν ἐστι περὶ ἀνδρείας, ἐπειδήπερ εὐτόνου καὶ γενναίας καὶ σφόδρα νενευρωμένης ψυχῆς ἐστὶ καταφρονῆσαι πάντων ὅσα τῦφος εἴωθε σεμνοποιεῖν, ἐπὶ διαφθορᾷ τοῦ πρὸς ἀλήθειαν βίου.

*Fortitudinem etiam exercere vult Moses lege de vestimentis.*

4. Τοσαύτη δή τίς ἐστι τῷ νόμῳ σπουδὴ καὶ φιλοτιμία περὶ τοῦ γυμνάσαι καὶ συγκροτῆσαι ψυχὴν πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἀνδρίαν, ὥστε καὶ περὶ ἐσθημάτων ὁποῖα ἐχρῆν ἀμπέχεσθαι διετάξατο, ἀπειπὼν ἀνὰ κράτος ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν (Deut. 22, 5), ἕνεκα τοῦ μηδὲν ἴχνος ἢ σκιὰν αὐτὸ μόνον τοῦ θήλεος ἐπὶ λύμῃ τῆς ἄρρενος γενεᾶς προσμάττεσθαι· βούλεται γάρ, ἀεὶ ἑπόμενος τῇ φύσει, τὰ οἰκεῖα καὶ συνῳδὰ ἀλλήλοις ἄχρι τῶν ἐσχάτων καὶ δι' εὐτέλειαν ἀφανεστέρων εἶναι δοκούντων νομοθετεῖν. Ἐπειδὴ γὰρ τύπους σωμάτων ἑώρα, καθάπερ ἐπικλάστους χαραχθέντας, ἀνομοίους ἀνδρός τε αὖ καὶ γυναικός, καὶ βίον ἑκατέρῳ τῶν εἰδῶν οὐ τὸν αὐτὸν ἀπονεμηθέντα — τῷ μὲν γὰρ ὁ οἰκουρίδιος, τῷ δὲ ὁ πολιτικὸς προσκεκλήρωται — καὶ τοῖς ἄλλοις ὅσα μὴ φύσεως μὲν ἔργα ἦν, φύσει δὲ ἀκόλουθα γνώμης ἀγαθῆς εὑρέματα, συμφέρον ἔκρινε διατάξασθαι. Ταῦτα δὲ ἦν τὰ περὶ δίαιταν καὶ ἀμπεχόνην καὶ εἴ τι ὅμοιον τούτοις. Ἀρρενοῦσθαι γὰρ τόν γε πρὸς ἀλήθειαν ἄνδρα καὶ ἐν τούτοις ἠξίου, καὶ μάλιστα ἐν ἐσθήσεσιν, ἃς ἐπιφερόμενος μεθ' ἡμέραν τε καὶ νύκτωρ ἔμελλε μηδὲν ἔχειν ἀνανδρίας ὑπόμνημα. Κατὰ ταὐτὰ μέντοι καὶ τὴν γυναῖκα ἀσκήσας ταῖς ἁρμόττουσι κόσμοις, [*] ἐκώλυσεν ἀναλαμβάνειν ἀνδρὸς ἐσθῆτα, πόρρωθεν ὡς ἀνδρογύνους, οὕτω καὶ γυνάνδρους φυλαξάμενος. Ἑνὸς γάρ, καθάπερ ἐν ταῖς οἰκοδομίαις, ἐξαιρεθέντος ᾔδει καὶ τὰ ἄλλα μενοῦντα οὐκ ἐν ὁμαλῷ.

*Lex de deligendis militibus.* (5, 6.)

5. Ἔτι τοίνυν τῶν ἀνθρωπείων πραγμάτων διττοῖς καιροῖς ἐμφερομένων, εἰρήνῃ τε καὶ πολέμῳ, τὰς ἀρετὰς ἔστιν ἰδεῖν ἐν ἀμφοτέροις ἐξεταζομένας. Περὶ μὲν οὖν τῶν ἄλλων λέλεκται πρότερον, καὶ αὖθις, εἰ γένοιτό τις

χρεία, λεχθήσεται· τὰ δὲ νῦν οὐ παρέργως ἐξεταστέον ἀνδρίαν, ἧς τὰ μὲν κατ᾽ εἰρήνην ἔργα πολλαχοῦ τῆς νομοθεσίας ὕμνησεν, ἀεὶ τῶν καιρῶν στοχαζόμενος, περὶ ὧν ἐν τοῖς οἰκείοις τόποις ὑπεμνήσαμεν. Τῶν δὲ κατὰ πόλεμον ἐνθένδε ποιησόμεθα τὴν ἀρχήν, ἐκεῖνο προειπόντες. Ὅταν ποιῆται τὸν στρατιωτικὸν κατάλογον, οὐχ ἅπασαν τὴν νεότητα καλεῖν οἴεται δεῖν, ἀλλ᾽ ἔστιν οὓς παραιτεῖται, προστιθεὶς αἰτίας εὐλόγους τῆς ἀστρατείας. Αὐτίκα τοὺς κατεπτηχότας καὶ δειλούς, μελλήσοντας ὑπὸ τῆς ἐμφύτου μαλακίας ἁλίσκεσθαι καὶ δέος τοῖς ἄλλοις συμμάχοις ἐμποιεῖν. Τὸ γὰρ ἑτέρου κακὸν εὖ πως ὁ πλησίον ἀναμάττεσθαι φιλεῖ, καὶ μάλιστα ἐν πολέμῳ, τοῦ λογισμοῦ διὰ τὴν ἀγωνίαν συγκεχυμένου καὶ τὰς τῶν πραγμάτων ἀντιλήψεις ἀκριβοῦν ἀδυνατοῦντος· τότε γὰρ εὐλάβειαν μὲν τὴν δειλίαν, τὸ δὲ φοβεῖσθαι προμηθές, ἀσφάλειαν δὲ τὴν ἀνανδρίαν εἰώθασι καλεῖν, αἴσχιστα ἔργα εὐπρεπέσι καὶ σεμναῖς κλήσεσιν ἐπαμπίσχοντες. Ὅπως οὖν μὴ τὰ μὲν οἰκεῖα βλάπτηται διὰ τὴν τῶν εἰς τὸν πόλεμον ἰόντων ἀνανδρίαν, ἐπικυδέστερα δὲ γίνηται τὰ τῶν ἐχθρῶν, αἱρούντων καταφρονητικῶς τοὺς ἀγεννεῖς, ὄχλον ἀργὸν εἰδὼς οὐκ ὠφέλιμον, ἀλλ᾽ ἐμπόδιον εἰς κατόρθωμα, ἀνεῖρξε τοὺς ἀτόλμους καὶ ἀναπίπτοντας δειλίᾳ, καθάπερ οἶμαι καὶ τοῖς τὰ σώματα νοσοῦσι στρατηγὸς οὐδεὶς ἀνάγκην ἐπιτίθησι πολεμεῖν, ὑποπαραιτουμένης ἀσθενείας. Νόσος δέ τις καὶ ἡ δειλία, βαρυτέρα τῶν κατὰ τὸ σῶμα, τὰς ψυχῆς δυνάμεις καθαιροῦσα· τῶν μὲν γὰρ βραχὺν εἶναι συμβαίνει τὸν χρόνον τῆς ἀκμῆς, ἡ δὲ ἐστὶ κακὸν σύντροφον, μᾶλλον ἢ οὐχ ἧττον τῶν ἡνωμένων μερῶν, προσπεφυκὸς ἐκ πρώτης ἡλικίας ἄχρι πανυστάτου γήρως, εἰ μὴ τύχοι

θεὸς ἰώμενος. Πάντα γὰρ θεῷ δυνατά. Καὶ μὴν οὐδ' ἅπαντας τοὺς εὐτολμοτάτους καλεῖ, καὶ ἂν σφόδρα ἐῤῥωμένοι καθ' ἑκάτερον, σῶμα καὶ ψυχήν, προαγωνίζεσθαι καὶ προκινδυνεύειν ἐθέλωσιν· ἀλλὰ τῆς γνώμης αὐτοὺς ἐπαινέσας, ὅτι κοινωνικὸν καὶ πρόθυμον καὶ ἀκατάπληκτον ἦθος ἐπιδείκνυνται, διερευνᾷ μή τισιν ἀνάγκαις ἐνδέδενται, ὧν ὁλκὸς ἡ δύναμις. „Εἰ γάρ τις" φησί „νεωστὶ δειμάμενος [*] οἰκίαν οὐκ ἔφθη εἰσοικήσασθαι, ἢ ἀμπελῶνα φυτεύσας νεόφυτον, αὐτὸς εἰς γῆν τὰ κλήματα καθείς, μήπω τῆς καρπίας καιρὸν ἔσχεν, ἢ παρθένον ἐγγυησάμενος οὐκ ἔγημεν· ἀφιέσθω πάσης στρατείας" (Deut. 20, 5-7), φιλανθρωπίας ὁμοῦ τὴν ἄδειαν ἀνευρισκόμενος, ἕνεκα δυοῖν. Ἑνὸς μέν, ἵνα, ἐπειδὴ τὰ κατὰ πολέμους ἄδηλα, μὴ τὰ τῶν πονησάντων ἀταλαιπώρως ἄλλοι λαμβάνωσι· χαλεπὸν γὰρ ἔδοξεν εἶναι, τῶν ἰδίων τινὰ μὴ ἀπόνασθαι δυνηθῆναι, ἀλλ' οἰκοδομεῖν μὲν ἕτερον, ἐνοικεῖν δὲ ἄλλον, καὶ φυτεύειν μέν τινα, τὸν δὲ μὴ φυτεύσαντα καρποῦσθαι, καὶ μνᾶσθαι μὲν ἄλλον, γαμεῖν δὲ τὸν μὴ μνώμενον, ὡς οὐ δεῖν ἀτελεῖς τὰς ἐλπίδας κατασκευάζειν τοῖς χρηστὰ τῶν κατὰ τὸν βίον προσδοκήσασιν. Ἑτέρου δέ, ἵνα μὴ σώματι στρατευόμενοι ταῖς ψυχαῖς ὑστερίζωσιν· ἀνάγκη γὰρ αὐτῶν τὴν διάνοιαν ἐκεῖ τετάσθαι, πόθῳ τῆς ἀπολαύσεως ὧν ἀφειλκύσθησαν. Ὡς γὰρ οἱ πεινῶντες ἢ διψῶντες, ὅταν σιτίον ἢ ποτόν που παραφανῇ, διώκουσι καὶ ἐπιτρέχουσιν ἀμεταστρεπτί, γλιχόμενοι μεταλαβεῖν· οὕτως οἱ περὶ νομίμου γυναικὸς ἢ οἰκίας ἢ χωρίου κτήσεως πονηθέντες, καὶ ὅσον οὔπω τῇ ἐλπίδι νομίζοντες εἰς τὸν ἑκάστου τῆς χρήσεως ἀφῖχθαι καιρόν, ὅταν ἀφαιρεθῶσι τὴν ἀπόλαυσιν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σφαδάζουσιν, ὡς παρόντας μὴ παρεῖναι τῷ κρείττονι μέρει ψυχῆς, δι' οὗ συμβαίνει κατορθοῦν ἢ τὸ ἐναντίον.

6. Τούτους οὖν καὶ τοὺς ὁμοίους οὐκ οἴεται δεῖν εἰς τὸν στρατιωτικὸν ἄγειν κατάλογον, ἀλλ' οἷς οὐδὲν προσεληλυθὸς οἰκουρεῖ πάθος, ὅπως ἐλευθέροις καὶ ἀφέτοις ὁρμαῖς ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδύωνται. Καθάπερ γὰρ παντευχίας οὐδὲν ὄφελος ἀσθενεῖ σώματι ἢ λελωβημένῳ, ὃ ἀδυνατοῦν ἀπορρίψει· τὸν αὐτὸν τρόπον ἐρρωμένον σῶμα φέρει τῇ κηραινούσῃ πάθος ψυχῇ μὴ συνῳδὸν τοῖς παροῦσιν. Εἰς ἅπερ ἀπιδὼν οὐ μόνον λοχαγοὺς καὶ στρατηγοὺς καὶ τοὺς ἄλλους τῆς στρατιᾶς ἡγεμόνας, ἀλλὰ καὶ τῶν στρατιωτῶν ἕκαστον ἐπικρίνει, δοκιμάζων πῶς ἔχει πρός τε σώματος εὐεξίαν καὶ πρὸς εὐπάθειαν λογισμοῦ· σῶμα μὲν ἐξετάζων, εἰ ὁλόκληρον, εἰ ὑγιαῖνον ὅλον δι' ὅλων, εἰ τοῖς μέρεσι καὶ μέλεσι πᾶσιν εὖ ἡρμοσμένον πρὸς τὰς ἐπιβαλλούσας ἑκάστῳ σχέσεις τε καὶ κινήσεις· ψυχὴν δέ, εἰ θαρραλεωτάτη καὶ εὐτολμίας ἀνάπλεως, εἰ ἀκατάπληκτος καὶ μεστὴ φρονήσεως [*] εὐγενοῦς, εἰ φιλότιμος, καὶ ζωῆς ἀδόξου τὸν σὺν εὐκλείᾳ θάνατον προκρίνουσα. Τούτων γὰρ ἕκαστον ἰδίᾳ καθ' αὑτό, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, δύναμίς ἐστιν· ἀθρόα δὲ εἰ συνέλθοιεν, ῥώμην ἄμαχόν τινα καὶ ἀνανταγώνιστον ἐκ πολλοῦ τοῦ περιόντος ἐπιδείξονται, κρατοῦντας ἀναιμωτὶ τῶν πολεμίων.

*Exemplum verae fortitudinis e prisca Hebraeorum historia.* (7. 8.)

7. Τῶν δὲ λεχθέντων παραστάτην πίστιν αἱ ἱεραὶ βίβλοι παρέχουσιν. Ἔθνος πολυανθρωπότατόν ἐστιν Ἄραβες, οἷς ὄνομα παλαιὸν ἦν Μαδιηναῖοι. Οὗτοι πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἑβραίους φιλαπεχθημόνως ἔχοντες, οὐδενὸς ἕνεκα ἑτέρου μᾶλλον, ἢ ὅτι τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβουσι καὶ τιμῶσι, τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων προσκεκληρωμένοι, καὶ πάσας μὲν μηχανὰς τεχνάζοντες, πάσας δὲ πείρας καθιέντες, ἵνα ἀπὸ τῆς τοῦ ἑνὸς καὶ ὄντως ὄντος τιμῆς αὐτοὺς ἀποστήσωσι καὶ μεθαρμόσωνται πρὸς ἀσέβειαν ἐξ ὁσιότητος· οὕτω γὰρ περιέσεσθαι ῥᾳδίως ὑπελάμβανον. Ἐπεὶ δὲ μυρία καὶ λέγοντες καὶ δρῶντες ἀπειρήκεσαν, ὥςπερ οἱ θανατῶντες ἀπογνώσει σωτηρίας, καί τι τοιοῦτον ἐπινοοῦσι στρατήγημα. Γυναικῶν τὰς περικαλλεστάτας μεταπεμψάμενοι φασὶν αὐταῖς· „Ὁρᾶτε, ὡς ἀπερίληπτός ἐστιν ἡ τῶν Ἑβραίων πληθύς. Τῆς δὲ πληθύος ἀργαλεώτερόν ἐστιν ἐπιτείχισμα ἡ ὁμόνοια καὶ συμφωνία τούτων. Αἴτιον δὲ τῆς ὁμονοίας τὸ ἀνωτάτω καὶ μέγιστον ἡ περὶ τοῦ ἑνὸς θεοῦ δόξα, ἀφ' ἧς οἷα πηγῆς ἑνωτικῇ καὶ ἀδιαλύτῳ φιλίᾳ κέχρηνται πρὸς ἀλλήλους. Ἡδονῇ δὲ ἁλωτὸν ἄνθρωπος, καὶ μάλιστα συνουσίᾳ τῇ πρὸς γυναῖκα. Διαπρεπέσταται δὲ ἐστέ· καὶ φύσει μὲν ἀγωγὸν τὸ κάλλος, ἡ δὲ νεότης εἰς ἀκρασίαν εὐόλισθον. Ἑταιρήσεως ἢ μοιχείας ὀνόματα μὴ δείσητε, ὡς αἰσχύνην ἐποίσοντα, τὰς ἐκ τοῦ πράγματος ὠφελείας ἀντιτιθεῖσαι, δι' ἃς τὰς ἐφ' ἡμέραν ἀδοξίας μεθαρμόσεσθε εἰς ἀγήρω καὶ ἀτελεύτητον εὔκλειαν, τὰ μὲν σώματα ὅσα τῷ δοκεῖν προέμεναι, σόφισμα κατ' ἐχθρῶν καὶ στρατήγημα, παρθένους δὲ τὰς ψυχὰς διαφυλάττουσαι, αἷς καὶ τὴν πρὸς τὸ μέλλον ἁγνείαν ἐπισφραγιεῖσθε. Καὶ καινότατον ὁ πόλεμος οὗτος ἕξει κλέος διὰ γυναικῶν, ἀλλ' οὐ δι' ἀνδρῶν κατορθωθείς. Τὸ μὲν γὰρ ἡμέτερον ὁμολογοῦμεν γένος, οὐ γενήσεται ἧττα διὰ τὸ πᾶσι τοῖς εἰς μάχην τοὺς ἀντιπά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λους ἐπικυδεστέρους εἶναι, τὸ δὲ ὑμέτερον παντελὲς τὴν νίκην καί, τὸ μέγιστον ἀγαθόν, τὰς δίχα κινδύνων ἀριστείας· ἀναιμωτὶ γάρ, μᾶλλον δὲ καὶ ἀκονιτί, κατὰ τὴν πρώτην φαντασίαν αὐτὸ μόνον ὀφθεῖσαι περιέσεσθε.“ Ταῦτα ἀκούσασαι, καθαροῦ βίου μηδὲ ὄναρ ᾐσθημέναι, παιδείας ὀρθῆς ἄγευστοι, συναινοῦσιν, ἅτε πεπλασμένον ἦθος σωφροσύνης [*] τὸν ἄλλον χρόνον καθυποκρινόμεναι, καὶ πολυτελέσιν ἐσθῆσι καὶ ὅρμοις καί, οἷς ἄλλοις εἴωθεν διακοσμεῖσθαι γυνή, πᾶσιν ἀσκηθεῖσαι, καὶ τὸ ἐκ φύσεως κάλλος εὐμορφότερον ταῖς ἐπιμελείαις ἀπεργασάμεναι — τὸ γὰρ ἀγώνισμα οὐ μικρὸν ἦν, θήρα νέων εὐθηράτων — εἰς τὸ ἐμφανὲς προέρχονται. Καὶ πλησίον γενόμεναι βλέμμασιν ἑταιρικοῖς καὶ στωμυλίᾳ λόγων καὶ ὀρχήσεσι καὶ κινήσεσιν ἀκολάστοις δελεάζουσι τῆς νεότητος τὴν ὀλιγόφρονα μοῖραν, ἀνερμάτιστα καὶ ἀνίδρυτα ἤθη· καὶ διὰ τῆς τῶν σωμάτων αἰσχύνης ἀγκιστρευσάμεναι τὰς ψυχὰς τῶν συνελθόντων, ἐπὶ θυσίας ἀθύτους καὶ σπονδὰς ἀσυμβάτους καλέσασαι τῶν χειροκμήτων, ἀλλοτριοῦσι δὴ τῆς τοῦ ἑνὸς καὶ ὄντως ὄντος θεραπείας θεοῦ. Τοῦτο διαπραξάμεναι τοῖς ἀνδράσιν εὐαγγελίζονται· καὶ ἐμέλλοσαν τοὺς ἄλλους ἐπισπᾶσθαι τῶν σφόδρα βεβαίων, εἰ μὴ τοῦ πάθους λαβὼν οἶκτον ὁ εὐεργέτης καὶ ἵλεως θεὸς ἀνυπερθέτῳ κολάσει τῶν απονοηθέντων — ἦσαν δὲ τέσσαρες πρὸς ταῖς εἴκοσι χιλιάδες — ὥςπερ ὑπὸ χειμάῤῥου κατακλυσθῆναι κινδυνεύσαντας ἀνεχαίτισε φόβῳ νουθετήσας. Ὁ δὲ τοῦ ἔθνους ἡγεμών, ἐπαντλῶν τοῖς ὠσὶ τὰ ὑπὲρ εὐσεβείας δόγματα καὶ τὰς ψυχὰς τῶν ὑπηκόων τούτοις ἐπᾴδων, ἐκ φυλῆς ἑκάστης χιλίους ἄνδρας ἀριστίνδην ἐπιλέξας καταλέγει, δίκας ἀναπρᾶξαι

τῆς ἐνέδρας, ἣν ἐμηχανήσαντο διὰ τῶν γυναικῶν, ἐλπίσαντες μὲν ἅπασαν τὴν πληθὺν ἄνωθεν ἐξ ἄκρας ὁσιότητος καταβαλόντες διαφθεῖραι, μόνους δὲ τοὺς λεχθέντας ἡττηθέντας.

8. Οἱ δὲ πρὸς πολλὰς μυριάδας ὀλίγος ἀριθμὸς ἀντιταχθέντες, ἐμπειρίαις ἅμα καὶ εὐτολμίαις χρώμενοι, καθάπερ αὐτός τις ἕκαστος ὅμιλος ὤν, καταφρονητικῶς ἐπιτρέχοντες ταῖς φάλαγξι καὶ τοὺς ἐν ποσὶν ἀναιροῦντες *ἐρήμουν* τὰ βύζην συνεστηκότα στίφη καὶ ὅσα ἐφέδρευε πρὸς ἀναπλήρωσιν τῶν κενουμένων τάξεων, ὡς καὶ αὐτοβοεὶ πολλὰς μυριάδας καταστορέσαι καὶ μηδένα τῆς ἀντιταχθείσης νεότητος ἀπολιπέσθαι. Κτείνουσι δὲ καὶ γυναῖκας τὰς συνεπιγραψαμένας ἀνδρῶν γνώμαις ἀνοσίοις, ζωγρήσαντες παρθένους, ἄκακον ἡλικίαν οἰκτισάμενοι. Καὶ τοσοῦτον πόλεμον κατορθώσαντες οὐδένα τῶν ἰδίων ἀπέβαλον, ἀλλ' ὁπόσοι καὶ ὁποῖοι προῆλθον εἰς τὴν μάχην ἐπανῆκαν ἄτρωτοι καὶ ὁλόκληροι, μᾶλλον δέ, εἰ χρὴ τὸ ἀληθὲς εἰπεῖν, μετὰ διπλασίονος ῥώμης· ἡ γὰρ ἐκ τοῦ νικῆσαι χαρὰ τῆς πρότερον οὐκ ἐλάττονα τὴν ἰσχὺν ἐχαρίσατο. Αἴτιον δὲ οὐδὲν τούτων ἦν ἕτερον ἢ [*] τὸ σπουδάσαι φιλονείκως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἄρασθαι, ἐν ᾧ καὶ προαγωνίζεται Θεός, ἀήττητος ἐπικουρία, βουλὰς μὲν ἀγαθὰς ταῖς διανοίαις ὑφηγούμενος, ἀλκὴν δὲ τοῖς σώμασι κραταιοτάτην ἐντιθείς. Πίστις δὲ τῆς ἐκ Θεοῦ συμμαχίας τό τε ὑπ' ὀλίγων πολλὰς μυριάδας ἁλῶναι καὶ τὸ μηδένα μὲν τῶν ἐχθρῶν διαφυγεῖν, μηδένα δὲ τῶν φίλων ἀναιρεθῆναι, μήτ' ἀριθμόν, μήτε σώματος δύναμιν ἐλαττωθῆναι. Ὅθεν ἐν ταῖς προτρεπτικοῖς φησιν (Deut. 28, 1 ss.)· Ἐὰν δικαιοσύνην καὶ ὁσιό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τητα καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύῃς, βίον ἀπόλεμον βιώσῃ καὶ εἰς ἅπαν εἰρηνικόν· ἢ ἐνστάντος πολέμου φειδοῖ τῶν ἐχθρῶν περικρατήσεις θεοῦ στρατηγοῦντος ἀοράτως, ᾧ δι᾽ ἐπιμελείας ἐστὶ τοὺς ἀγαθοὺς σώζειν ἀνὰ κράτος. Μήτ᾽ οὖν ἐὰν πολλαῖς μυριάσιν ἐπιτρέχωσιν ὁ πεζὸς ὁμοῦ καὶ ἱππότης στρατὸς εὐοπλοῦντες, μήτ᾽ ἐὰν ἐρυμνὰ καὶ ἐπίμαχα προκαταλαμβανόμενοι χωρία τοποκρατῶσι, μήτ᾽ ἐὰν ἀφθόνοις παρασκευαῖς χορηγῶνται, καταπληγεὶς δείσῃς, καὶ ἂν ἀπορῇς, ὧν ἄγονται περιουσίαν ἐκεῖνοι, συμμάχων, ὅπλων, τόπων εὐκαιρίας, παρασκευῶν· ἐκεῖνα γάρ, ὥσπερ ὁλκάδα πεπληρωμένην παντοίων ἀγαθῶν, πολλάκις ἐμπεσὼν ἄνεμος ἐξαίφνης ἀνέτρεψε καὶ κατέλυσε, τοῖς δὲ ἀτελέσι καὶ λυπροῖς, ὥσπερ ἀντέχουσιν ἤδη μαραινομένοις ἐξ αὐχμοῦ καὶ ἀνομβρίας, ἐπιψεκάζων καὶ ἐπινίφων ὁ θεὸς τὰς σωτηρίους δυνάμεις ἐμπαρέσχεν ἀνεγερθῆναί τε καὶ τελειογονῆσαι. Ἐξ οὗ δῆλον, ὅτι ἀπὸ τοῦ δικαίου καὶ ὁσίου περιέχεται· οἷς μὲν γὰρ τὸ θεῖον ἔνσπονδον, ἄκρως εὐδαίμονες, οἷς δὲ ἐχθρόν, ἐσχάτως κακοδαίμονες. Τοσαῦτα καὶ περὶ ἀνδρείας εἰς τὸ παρὸν ἀποχρώντως λελέχθω.

# ΠΕΡΙ ΦΙΛΑΝΘΡΩΠΙΑΣ.

[II, 384.]

*Humanitatis erga populum suum documenta Moses exhibuit inprimis in vitae exitu, quum successorem suum non ex cognatis neque arbitrio suo, sed Deo consulto constitueret, idque lubente laetoque animo.* (1 - 3.)

1. Τὴν δὲ εὐσεβείας συγγενεστάτην καὶ ἀδελφὴν καὶ δίδυμον ὄντως ἑξῆς ἐπισκεπτέον, φιλανθρωπίαν, ἧς ἐρασθεὶς, ὡς οὐκ οἶδα εἴ τις ἕτερος, ὁ πατὴρ τῶν νόμων — ὁδὸν γὰρ οἷα λεωφόρον ἄγουσαν ἐφ' ὁσιότητα ταύτην ἠπίστατο — τοὺς ὑφ' αὑτὸν ἅπαντας ἤλειφε καὶ συνεκρότει πρὸς κοινωνίαν, παράδειγμα καλὸν ὥσπερ γραφὴν ἀρχέτυπον στηλιτεύσας τὸν ἴδιον βίον. Τὰ μὲν οὖν ἐκ πρώτης ἡλικίας ἄχρι γήρως εἰς ἐπιμέλειαν καὶ κηδεμονίαν ἑνὸς ἑκάστου καὶ πάντων ἀνθρώπων πεπραγμένα αὐτῷ δεδήλωται πρότερον ἐν τρισὶ [*] συντάξεσιν, ἃς ἀνέγραψα περὶ τοῦ βίου Μωσέως. Ἑνὸς δὲ ἢ δυοῖν, ὧν ἐπὶ τελευτῇ κατώρθωσεν, ἀναγκαῖον ἐπιμνησθῆναι· δείγματα γάρ εἰσι τῆς συνεχοῦς καὶ ἀδιαστάτου καλοκἀγαθίας, ἣν ἀσύγχυτον ἐπεσφραγίσατο τῇ ψυχῇ, χαρακτῆρι θείῳ τυπωθείσῃ. Ἐπειδὴ γὰρ ἡ προθεσμία τῆς θνητῆς ζωῆς ἔμελλεν αὐτῷ περαιοῦσθαι καὶ λογίοις ἀριδήλοις ἔγνω τὴν ἐνθένδε μετανάστασιν, οὐδένα τῶν ἄλλων ἢ βασιλέων ἢ ἰδιωτῶν ἐμιμήσατο, οἷς μία σπουδή τε

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ εὐχῇ κληρονόμους παῖδας καταλιπεῖν, ἀλλά, καίτοι πατὴρ γεγονὼς δυοῖν υἱοῖν, οὐδετέρῳ τὴν ἀρχὴν ἀπέλιπεν ἡττηθεὶς εὐνοίας συγγενικῆς καὶ πάθους φιλοικείου. Καίτοι, εἰ καὶ τὰ τῶν τέκνων δι' ὑποψιῶν ἦν, ἀδελφιδῶν γοῦν οὐκ ἠπόρει καλῶν καὶ ἀγαθῶν, οἳ γέρας ἀρετῆς ἔσχον τὴν ἀνωτάτω ἱερωσύνην. Ἀλλ' ἴσως ἢ μεθέλκειν αὐτοὺς ἀπὸ τῆς θείας λειτουργίας οὐκ ἐδοκίμαζεν, ἢ καί, ὅπερ εἰκὸς ἦν, ἐνενόησεν, ὅτι ἀμήχανον τοὺς αὐτοὺς δύνασθαι ἄμφω ἐπιτροπεύειν, ἱερωσύνης τε καὶ βασιλείας, ὧν ἡ μὲν ἐπαγγέλλεται θεοῦ θεραπείαν, ἡ δὲ ἀνθρώπων ἐπιμέλειαν. Ἴσως δὲ καὶ κριτὴν αὐτὸν οὐκ ἠξίωσε γενέσθαι πράγματος μεγάλου· μέγιστον δέ, ὅτι τὸν εὖ πεφυκότα πρὸς ἀρχὴν δοκιμάσαι σχεδὸν θείας δυνάμεως, ᾗ μόνῃ καθορᾶν ἦθος ἀνθρώπων ῥᾴδιον.

2. Πίστις δὲ σαφεστάτη τοῦ δηλουμένου γένοιτο ἂν ἥδε. Φίλος ἦν αὐτῷ καὶ γνώριμος ἐκ πρώτης σχεδὸν ἡλικίας γενόμενος, Ἰησοῦς ὄνομα, οὗ τὴν φιλίαν προεξένησεν οὐδὲν τῶν παρὰ τοῖς ἄλλοις εἰωθότων, ἀλλ' ἔρως οὐράνιος καὶ ἀκήρατος, ἐξ οὗ πᾶσαν ἀρετὴν φύεσθαι συμβέβηκεν. Οὗτος ὁμορόφιος καὶ ὁμοδίαιτος ἦν αὐτῷ, πλὴν ὁπότε ἐπιθειάσαντι καὶ χρησμῳδουμένῳ προσταχθείη μόνωσις. Ὑπηρέτει μέντοι καὶ ἄλλας ὑπηρεσίας, ἃς τῷ πλήθει διέφερε, μόνον οὐχ ὕπαρχος ὢν καὶ τὰ τῆς ἡγεμονίας συνδιοικῶν. Ἀλλὰ καίτοι βάσανον ἀκριβῆ λαβὼν ἐκ μακρῶν χρόνων τῆς ἔν τε λόγοις αὐτοῦ καὶ ἔργοις καλοκἀγαθίας καὶ — τὸ ἀναγκαιότατον — εὐνοίας τῆς πρὸς τὸ ἔθνος, οὐδὲ τοῦτον ᾠήθη χρῆναι καταλιπεῖν διάδοχον, δεδιὼς μὴ ψευδοδοξῇ νομίζων ἀγαθὸν τὸν οὐκ ὄντα πρὸς ἀλήθειαν, ἐπειδὴ τὰ κριτήρια τῆς ἀνθρωπίνης γνώμης ἀμυδρὰ καὶ ἀβέβαιά πως εἶναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πέφυκεν. Ὅθεν οὐ προσποιητικῶς ἑαυτῷ ποιεῖται καὶ καθικετεύει τὸν ἀοράτου ψυχῆς ἔφορον θεὸν μόνον, ὃς διάνοιαν ἀκριβῶς θεωρεῖ, [*] ἀριστίνδην ἑλέσθαι τὸν ἐπιτηδειότατον εἰς ἡγεμονίαν, ὃς οἷα πατὴρ ἐπιμελήσεται τῶν ὑπηκόων. Καὶ τὰς καθαράς, καὶ ὡς ἂν εἴποι τις τροπικώτερον, παρθένους χεῖρας εἰς οὐρανὸν ἀνατείνας „Ἐπισκεψάσθω δή," φησί (Num. 27, 16), „κύριος ὁ θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς πληθύος εἰς ἐπιμέλειαν καὶ προστασίαν ποιμένος, ὃς ἀνεπιπλήκτως ἀφηγήσεται, ἵνα μὴ γένηται σαθρὸν τὸ ἔθνος, οἷα ποίμνη σποράδην ἀγελάρχην οὐκ ἔχουσα." Καίτοι τίς οὐκ ἂν κατεπλάγη τῶν τότε τῆς εὐχῆς ἐπακούσας, „Τί φής," εἰπών, „ὦ δέσποτα; οὐκ εἰσὶ μέν σοι γνήσιοι παῖδες, οὐκ εἰσὶ δὲ ἀδελφιδοῖ; Μάλιστα μέντοι τοῖς υἱοῖς — κληρονόμοι γὰρ οὗτοι τῇ φύσει — πρώτοις κατάλιπε τὴν ἀρχήν· εἰ δὲ ἀποδοκιμάζεις, τοῖς γοῦν ἀδελφιδοῖς. Εἰ δὲ καὶ τούτους ἀνεπιτηδείους ὑπείληφας, τὸ ἔθνος προκρίνων τῶν συγγενεστάτων καὶ οἰκειοτάτων, ἀλλ' ἔστι γέ σοι φίλος ἄμεμπτος, βάσανον ἀρετῆς τελείας δεδωκώς σοι τῷ πανσόφῳ. Τί δὴ τοῦτον, εἰ μὴ γένους, ἀλλὰ καλοκἀγαθίας ἡ αἵρεσίς ἐστιν, οὐκ ἀξιοῖς δοκιμάζειν;" Ἀλλ' ἀποκρίνεται, ὅτι „Πάντων μὲν κριτὴν θεὸν ποιεῖσθαι ἄριστον, διαφερόντως δὲ ἐν οἷς τὸ εὖ γε ἢ χεῖρον μυρίους ὅσους εἰς εὐδαιμονίαν ἀνήγαγεν, ἢ τὸ ἐναντίον εἰς κακοδαιμονίαν. Μεῖζον δὲ οὐδὲν ἀρχῆς, ᾗ τὰ πόλεων ὅσα κατὰ πόλεμον ἢ κατ' εἰρήνην ἐπιτέτραπται. Ὡς γὰρ πρὸς εὔπλοιαν ἀγαθοῦ καὶ τὴν γνώμην καὶ τὴν ἐπιστήμην δεῖ κυβερνήτου, τὸν αὐτὸν τρόπον καὶ πρὸς εὐνομίαν ὑπηκόων τῶν ἑκασταχοῦ πανσόφου τινὸς ἡγεμόνος. Σοφίαν δέ, πρεσβυτέραν οὐ

μόνον τῆς ἐμῆς γενέσεως, ἀλλὰ καὶ τῆς τοῦ κόσμου παντὸς οὖσαν, οὔτε θέμις οὔτε δυνατὸν ἄλλῳ τῳ κρίνειν, ἢ θεῷ καὶ τοῖς ἀδόλως καὶ καθαρῶς καὶ γνησίως αὐτῆς ἐρῶσιν. Ἐδιδάχθην δὲ ἀπ' ἐμαυτοῦ, μηδ' ἄλλον τινὰ τῶν ἐπιτηδείων εἶναι δοκούντων εἰς ἀρχὴν δοκιμάσαι. Τὴν γοῦν ἐπιμέλειαν καὶ προστασίαν τῶν κοινῶν οὔτ' αὐτὸς ἐθελοντὴς εἱλόμην οὔθ' ὑπό τινος ἀνθρώπου χειροτονηθεὶς ἔλαβον, ἀλλὰ χρησμοῖς ἐναργέσι καὶ λογίοις ἀριδήλοις θεοῦ ἐμφανῶς θεσπίζοντος καὶ προστάσσοντος ἄρχειν ἀνεδυόμην, ἱκετεύων καὶ ποτνιώμενος, εἰς τὸ μέγεθος ἀφορῶν τοῦ πράγματος, ἕως, ἐπειδὴ πολλάκις ἐκέλευσε, δείσας ἐπειθάρχησα. Πῶς οὖν οὐκ ἄτοπον ἦν μὴ τοῖς αὐτοῖς ἴχνεσιν ἐπακολουθῆσαι, καὶ χρησάμενον ὅτ' ἔμελλον ἄρχειν δοκιμαστῇ θεῷ, πάλιν ἐπ' αὐτῷ μόνῳ θέσθαι τὴν χειροτονίαν τοῦ διαδόχου, μὴ [*] συνεφαψαμένης ἀνθρωπίνης γνώμης, ἣν εἰκὸς συγγενεστέραν εἶναι τοῦ εὐήθους, ἄλλως τε καὶ τῆς προστασίας οὐκ ἐπὶ τῷ τυχόντι ἔθνει γενησομένης, ἀλλὰ πολυανθρωποτάτῳ μὲν τῶν ἁπανταχῆ πάντων, ἐπαγγελλομένῳ μέγιστον, ἱκεσίαν τοῦ ὄντως ὄντος, ὅς ἐστι ποιητὴς τῶν ὅλων καὶ πατήρ; Ὅπερ γὰρ ἐκ φιλοσοφίας τῆς δοκιμωτάτης περιγίνεται τοῖς ὁμιληταῖς αὐτῆς, τοῦτο καὶ διὰ νόμων καὶ ἐθῶν Ἰουδαίοις, ἐπιστήμη τοῦ ἀνωτάτου καὶ πρεσβυτάτου πάντων, τὸν ἐπὶ τοῖς γενητοῖς θεοῖς πλάνον ἀπωσαμένοις. Γενητὸς γὰρ οὐδεὶς ἀληθείᾳ θεός, ἀλλὰ δόξῃ μόνον, τὸ ἀναγκαιότατον ἀφῃρημένος, ἀϊδιότητα."

3. Τοῦτο μὲν δὴ πρῶτον ἐναργέστατον δεῖγμα τῆς πρὸς ἅπαν τὸ ὁμόφυλον αὐτοῦ φιλανθρωπίας καὶ πί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τινος †ἔργον†· ἕτερον δὲ τοῦ λεχθέντος οὐκ ἀποδέον. Ἐπειδὴ γὰρ ἄριστος ὢν ὁ φοιτητὴς αὐτοῦ καὶ μιμητὴς τῶν ἀξιεράστων ἠθῶν Ἰησοῦς, ἄρχων ἐδοκιμάσθη κριτηρίοις θείοις, οὐχ, ὥσπερ ἂν ἔνιοι, ἐπὶ τῷ μὴ τοὺς υἱοὺς ἢ τοὺς ἀδελφοὺς αἱρεθῆναι κατήφησε Μωσῆς, ἀλλ' ὑποπλησθεὶς ἀλέκτου χαρᾶς, ὅτι μελλήσοι τὸ ἔθνος ἐπιτρόπῳ χρῆσθαι τὰ πάντα ἀρίστῳ — καλὸν γὰρ καὶ ἀγαθὸν ἐξ ἀνάγκης ᾔδει τὸν ἀρέσκοντα θεῷ —, λαβόμενος τῆς τούτου δεξιᾶς παράγει μὲν αὐτὸν εἰς ἠθροισμένον τὸ πλῆθος, μηδὲν περὶ τῆς αὐτοῦ τελευτῆς εὐλαβηθείς, ἀλλὰ ταῖς ἀρχαίαις εὐφροσύναις νέας ἑτέρας προσειληφὼς οὐ μόνον διὰ μνήμης τῶν πρότερον ἀπολαύσεων, αἷς κατακόρως διὰ παντὸς εἴδους ἀρετῆς ἐνετρύφησεν, ἀλλὰ διὰ τὴν ἐλπίδα τοῦ μέλλειν ἀθανατίζεσθαι, μεταβαλὼν ἐκ φθαρτοῦ βίου εἰς ἄφθαρτον, ἱλαρὰς ὄψεσιν ἐκ τῆς κατὰ ψυχὴν εὐθυμίας φαιδρὸς καὶ γεγηθώς φησιν· „Ἐμοὶ μὲν ἀπαλλάττεσθαι καιρὸς ἤδη τῆς ἐν σώματι ζωῆς· ὁ δὲ τῆς ἡμετέρας ἐπιτροπῆς διάδοχος οὗτός ἐστιν, αἱρεθεὶς ὑπὸ θεοῦ." Καὶ τὰ χρησθέντα λόγια τῆς δοκιμασίας εὐθὺς ἐξῆλθεν, οἷς ἐπίστευσεν. Καὶ πρὸς τὸν Ἰησοῦν ἀποβλέψας ἀνδραγαθίζεσθαι παρῄνει καὶ σφόδρα ἰσχύειν ἐν ταῖς εὐβουλίαις, ἀγαθὰς μὲν γνώμας εἰσηγούμενον, ἀνενδότοις δὲ καὶ ἐρρωμένοις λογισμοῖς τὰ γνωσθέντα καλῶς τελειοῦντα. Καὶ ταῦτα ἔλεγεν ἴσως οὐ δεομένῳ παραινέσεως, ἀλλὰ τὸ φιλάλληλον καὶ φιλοθεὲς πάθος οὐ στέγων, ὑφ' οὗ τρόπον τινὰ κεντριζόμενος, ἃ συνοίσειν ἐνόμιζεν, ὑπηγόρευεν. Ἦν δὲ καὶ χρησμὸς αὐτῷ παρακαλέσαι τὸν διάδοχον καὶ εὐθαρσέστατον ἀπεργάσασθαι πρὸς τὴν τοῦ ἔθνους ἐπιμέλειαν, τὸ βάρος μὴ καταδείσαντα τῆς ἀρχῆς, ἵνα τοῖς ὕστερα γε-

νηται κανὼν καὶ νόμος [*] ἅπασιν ἡγεμόσι πρὸς παράδειγμα Μωσῆν ἀποβλέπουσι, καὶ μηδεὶς φθονῇ βουλευμάτων ἀγαθῶν τοῖς διαδόχοις, ἀλλ' ὑποθήκαις καὶ παραινέσεσι τὰς ψυχὰς αὐτῶν ἀλείφωσι καὶ συγκροτῶσι. Δύναται γὰρ ἀνδρὸς ἀγαθοῦ παραίνεσις ἀναπεπτωκότας ταῖς γνώμαις ἐγεῖραι καὶ διᾶραι εἰς ὕψος, ἐπάνω τε καιρῶν καὶ πραγμάτων ἱδρύσασθαι, φρόνημα γενναῖον καὶ ἀκατάπληκτον ἐνθεῖσα. Τὰ γοῦν ἁρμόττοντα τοῖς τε ὑπηκόοις καὶ τῷ κληρονόμῳ τῆς ἡγεμονίας διαλεχθεὶς ἄρχεται τὸν θεὸν ὑμνεῖν μετ' ᾠδῆς, τελευταίαν αὐτῷ τοῦ βίου τοῦ μετὰ σώματος εὐχαριστίαν ἀποδιδούς, ἀνθ' ὧν ἀπὸ γενέσεως ἄχρι γήρως καιναῖς καὶ οὐχὶ ταῖς ἐν ἔθει χάρισιν εὐηργέτητο. Καὶ συναγαγὼν ἄθροισμα θεῖον, τὰ στοιχεῖα τοῦ παντὸς καὶ τὰ συνεκτικώτατα τοῦ κόσμου μέρη, γῆν καὶ οὐρανόν, τὴν μὲν θνητῶν ἑστίαν, τὸν δὲ ἀθανάτων οἶκον, ἐν μέσοις ὑμνῳδίας ἐποιεῖτο διὰ παντὸς ἁρμονίας καὶ συμφωνίας εἴδους, ἣν κατακούουσιν ἄνθρωποί τε καὶ ἄγγελοι λειτουργοί· οἱ μὲν ὡς γνώριμοι, πρὸς τὴν τῆς ὁμοίως εὐχαρίστου διαθέσεως διδασκαλίαν· οἱ δὲ ὡς ἔφοροι, κατὰ τὴν σφῶν ἐμπειρίαν θεασόμενοι, μή τι τῆς ᾠδῆς ἐκμελές, καὶ ἅμα διαπιστοῦντες, εἴ τις ἄνθρωπος ὢν δεδεμένος σώματι φθαρτῷ δύναται τὸν αὐτὸν τρόπον ἡλίῳ καὶ σελήνῃ καὶ τῷ τῶν ἄλλων ἀστέρων πανιερῷ χορῷ μεμουσῶσθαι τὴν ψυχήν, πρὸς τὸ θεῖον ὄργανον, τὸν οὐρανὸν καὶ τὸν σύμπαντα κόσμον, ἁρμοσάμενος. Ταχθεὶς δὲ ἐν τοῖς κατὰ τὸν αἰθέρα χορευταῖς ὁ ἱεροφάντης ἀνεκεράσατο ταῖς πρὸς τὸν θεὸν εὐχαρίστοις ὑμνῳδίαις τὰ γνήσια πάθη τῆς πρὸς τὸ ἔθνος εὐνοίας, ἐν οἷς ἦσαν ἔλεγχοι παλαιῶν ἁμαρτημάτων, αἱ πρὸς τὸν παρόντα καιρὸν νουθεσίαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ σωφρονισμοί, παραινέσεις αἱ πρὸς τὰ μέλλοντα διὰ χρηστῶν ἐλπίδων, αἷς ἐπακολουθεῖν ἀναγκαῖον αἴσια τέλη.

*Faustae Mosis in populum suum preces.*

4. Ὡς δὲ ἐτέλεσε τὰς χορείας, ὁσιότητι καὶ φιλανθρωπίᾳ τρόπον τινὰ συνυφασμένας, ἤρξατο μεταβάλλειν ἐκ θνητῆς ζωῆς εἰς ἀθάνατον βίον, καὶ ἐκ τοῦ κατ᾽ ὀλίγον συνῃσθάνετο τῶν ἐξ ὧν συνεκέκρατο διαζεύξεως, τοῦ μὲν σώματος *ὀστρέου* [*] δίκην περιαιρουμένου, τῆς δὲ ψυχῆς ἀπογυμνουμένης καὶ τὴν κατὰ φύσιν ποθούσης ἐνθένδε μετάστασιν. Εἶτα ἑτοιμασάμενος τὰ πρὸς ἔξοδον οὐ πρότερον ἐστείλατο τὴν ἀποικίαν, ἢ τὰς τοῦ ἔθνους φυλὰς ἁπάσας εὐχαῖς ἐναρμονίοις, ἀριθμῷ δώδεκα, γεραῖραι διὰ τῆς τῶν φυλαρχῶν κατακλήσεως. Ἃς ὅτι τελεσφορηθήσονται, πιστευτέον· ὅ τε γὰρ εὐξάμενος θεοφιλής, ὁ δὲ θεὸς φιλάνθρωπος, ὑπὲρ δὲ ὧν αἱ αἰτήσεις, εὐπατρίδαι καὶ εὐγενεῖς, τὴν ἀνωτάτω τεταγμένοι τάξιν, ὑπὸ στρατάρχῃ τῷ ποιητῇ πάντων καὶ πατρί. Αἰτήσεις δὲ ἦσαν αἱ τῶν ἀληθινῶν ἀγαθῶν, οὐ μόνον ἐν τῷ θνητῷ ὅπως ὑπάρχωσιν αὐτοῖς βίῳ, ἀλλὰ πολὺ μᾶλλον ἐπὰν ἄνετος τοῦ τῆς σαρκὸς δεσμοῦ γένηται ἡ ψυχή. Μόνος γὰρ Μωσῆς τὴν πρὸς τὰ θεῖα, ὡς ἔοικεν, ἐξ ἀρχῆς τὸ σύμπαν ἔθνος ὑπολαβὼν ἔχειν ἀναγκαιοτάτην συγγένειαν, πολὺ γνησιωτέραν τῆς ἀφ᾽ αἵματος, πάντων ἀγαθῶν ὧν ἡ ἀνθρωπίνη φύσις χωρεῖ, κληρονόμον ἀπέφηνεν· ἃ μὲν αὐτὸς ἔσχεν, ἐξ ἑτοίμου διδούς, ἃ δὲ μὴ ἐκέκτητο, τὸν θεὸν ἱκετεύων παρασχεῖν, εἰδὼς τὰς τῶν χαρίτων αὐτοῦ ἀεννάους πηγὰς μὲν οὔσας, οὐ πᾶσι δὲ ἀνειμένας, ἀλλὰ μόνοις ἱκέταις. Ἱκέται δὲ εἰσὶν οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καλοκἀγαθίας ἐρῶντες, οἷς ἀρύεσθαι θέμις ἀπὸ τῶν ἱερωτάτων πηγῶν διψῶσι σοφίας.

*Mosis humanitas non solum ad homines, sed etiam ad bruta et plantas pertinuit.*

5. Τὰ μὲν οὖν δείγματα τῆς τοῦ νομοθέτου φιλανθρωπίας, οἷς ἐχρήσατο πρὸς εὐμοιρίαν φύσεως ἀγαθῆς καὶ ἐκ τῆς τῶν ἱερῶν βίβλων ὑφηγήσεως, μεμήνυται. Λεκτέον δὲ ἃ καὶ τοῖς ἔπειτα διετάξατο, καὶ εἰ μὴ πάντα — οὐ γὰρ ῥᾴδιον — τὰ γοῦν ἀγχίσπορα καὶ ἐγγυτάτω τῶν ἐκείνου βουλευμάτων. Τὸ γὰρ ἐπιεικὲς καὶ ἥμερον οὐκ ἐν ταῖς πρὸς ἀνθρώπους αὐτὸ μόνον ἱδρύεται κοινωνίαις, ἀλλ' ἐπιδαψιλευόμενος ἀνέχει πλουσίως αὐτὸ καὶ τείνει πρός γε τὰς τῶν ἀλόγων ζώων φύσεις καὶ πρὸς τὰς τῶν ἡμέρων ἰδέας δένδρων. Ἃ δὲ περὶ ἑκάστων ἐνομοθέτησε, λεκτέον ἐν μέρει, τὴν ἀρχὴν ποιησαμένους ἀπ' ἀνθρώπων.

*Feneratores e republica sua Moses abesse voluit.*

6. Ἀπαγορεύει τοίνυν ἀδελφῷ δανείζειν (Deut. 23, 20), ἀδελφὸν ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ἀστὸς ἢ ὁμόφυλος ᾖ, τόκους ἐπὶ χρήμασιν οὐ δίκαιον ἐκλέγειν, ὡς ἀπὸ θρεμμάτων ἔγγονα. Καὶ προτρέπει μὴ διὰ τοῦτο ἀναδύεσθαι καὶ συμβάλλειν ὀκνηρότερον, ἀλλ' ἀνειμέναις χερσὶ καὶ γνώμαις μάλιστα μὲν χαρίζεσθαι τοῖς δεομένοις, λογιζομένους, ὅτι καὶ ἡ χάρις τρόπον τινὰ δάνειον, ἀποδοθησόμενον ἐν καιρῷ βελτίονι ἀνάγκης, [*] ἑκουσίῳ διαθέσει τοῦ λαβόντος. Εἰ δὲ καὶ βούλοιντο δωρεῖσθαι, κιχράναι γοῦν ἑτοιμότατα καὶ προθυμότατα, μηδὲν ἔξω τῶν ἀρχαίων ἀπολεψομένους. Οὕτω γὰρ οὔθ' οἱ πένη-

τες ἔμελλον ἀπορώτατοι γίνεσθαι, πλείονα ὧν ἔλαβον εἰσφέρειν ἀναγκαζόμενοι, οὐθ᾽ οἱ συμβαλόντες ἀδικεῖσθαι ἃ προήκαντο μόνα κομιζόμενοι — καίτοι γε οὐ μόνα· σὺν γὰρ τοῖς ἀρχαίοις ἀντὶ τόκων οὓς λαβεῖν οὐκ ἠξίωσαν, τὰ κάλλιστα καὶ τιμιώτατα τῶν ἐν ἀνθρώποις, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν. Οἷς τίς κτῆσις ἐφάμιλλος; Ἀπορώτατος μὲν οὖν καὶ ὁ μέγας βασιλεὺς ἀναφαίνεται κατὰ σύγκρισιν μιᾶς ἀρετῆς· τοῦ μὲν γὰρ ὁ πλοῦτος ἄψυχος ἐν ταμείοις καὶ μυχοῖς γῆς κατορωρυγμένος, τῆς δὲ ἀρετῆς ἐν ψυχῆς τῷ ἡγεμονικῷ. Μεταποιεῖται δὲ αὐτοῦ καί, τὸ καθαρώτατον τῆς οὐσίας, οὐρανὸς καὶ ὁ γεννητὴς τῶν συμπάντων θεός. Ἔτι τοίνυν τὴν ὀβολοστατῶν καὶ τοκογλύφων εὔπορον ἀπορίαν λόγῳ θετέον, πολυχρύσων δοκούντων εἶναι βασιλέων, οὐδ᾽ ὄναρ ἑωρακότων τὸν βλέποντα πλοῦτον; Εἰσὶ δὲ οἳ τοσαύτῃ κέχρηνται μοχθηρίας ὑπερβολῇ, ὥστε, οὐκ ἔχοντες ἀργύριον, τροφὰς δανείζουσιν, ὡς πλείους ὧν ἔδωσαν αὖθις κομισόμενοι. Ταχὺ γοῦν οὗτοι μεταιτοῦσιν ἔρανον παρέσχωσιν, λιμὸν ἐν εὐθηνίᾳ καὶ εὐετηρίᾳ κατασκευάζοντες καὶ τῆς ἀθλίων ἀνθρώπων γαστρὸς ἔνδειαν προσοδευόμενοι, μόνον οὐκ ἐπὶ τρυτάνης ἱστάντες σιτία, καὶ μὴ καθέλκειν ῥοπήν. Τοῖς οὖν μεθέξουσι τῆς κατ᾽ αὐτὸν πολιτείας ἱερᾶς ἀναγκαίως παραγγέλλει τὰς ἰδέας τῶν τοιούτων πόρων ἐκτρέπεσθαι· δουλοπρεποῦς γὰρ καὶ σφόδρα ἀνελευθέρου ψυχῆς τὰ ἐπιτηδεύματα, μεταβεβληκυίας εἰς ἀγριότητα καὶ θηρίων φύσιν.

*Merces pauperi eodem die redditur.*

7. Ἔτι τῶν εἰς φιλανθρωπίαν τεινόντων παράγγελ-

μα καὶ ἐκεῖνο διατέτακται (Lev. 19, 13), μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι, οὐ μόνον ὅτι τὴν χρείαν, ἐφ᾽ ᾗ παρελήφθη παρασχόντα, δίκαιον ἦν τὸν ἐπὶ τῇ ὑπηρεσίᾳ μισθὸν ἀνυπερθέτως ἀπολαβεῖν, ἀλλ᾽ ὅτι καί, ὡς εἶπόν τινες, ἐφήμερος ὢν ὁ χειροτέχνης ἢ ἀχθοφόρος, ὅλῳ τῷ σώματι κακοπαθῶν ὑποζυγίου τρόπον, ἐπὶ τῷ μισθῷ τέθειται τὴν ἐλπίδα· ὃν εἰ μὲν εὐθὺς κομίσαιτο, γήθει, χαίρων νῦν τε καὶ πρὸς τὴν ἐπιοῦσαν προθυμίᾳ διπλάσιον ἐργασόμενος· εἰ δὲ μὴ κομίσαιτο, πρὸς τῷ σφόδρα ἄχθεσθαι καὶ τοὺς τόνους ὑπὸ λύπης ἐκλυθεὶς ἀναπέπτωκεν, ὡς ἀδυνατεῖν πρὸς τὰ ἐν ἔθει τῶν ἔργων ἀπαντᾶν.

*Ne creditor violenter pignus capiat.*

8. [*] Ἔτι φησί (Deut. 24, 10)· *Δανειστὴς μὴ εἰσίτω χρεωστῶν οἰκίας, ἐνέχυρόν τι καὶ ῥύσιον ἐπὶ τῷ δανείῳ μετὰ βίας ληψόμενος, ἀλλ᾽ ἐν προθύροις ἔξω προεστὼς ἀναμενέτω κελεύων ἡσυχῇ προφέρειν. Οἱ δὲ ἂν ἔχωσι, μὴ ἀναδυέτωσαν*, εἴ γε ἁρμόττει τὸν μὲν μὴ τῷ δύνασθαι καταχρῆσθαι πρὸς τὸ αὐθαδέστερον ἐφ᾽ ὕβρει τῶν δανεισαμένων, τοὺς δὲ πρὸς ὑπόμνησιν τῆς τῶν ἀλλοτρίων ἀποδόσεως ἄξια παρασχεῖν ἐνέχυρα.

*Omnis messis pars aliqua pauperibus conceditor.*

9. Τίς γε μὴν οὐκ ἂν ἀγάσαιτο τοῦ περὶ τοὺς θεριστὰς καὶ τρυγητὰς κηρύγματος ἢ διατάγματος; (Deut. 24, 19.) *Κελεύει γὰρ ἐν μὲν ἀμήτῳ μήτε τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι, μήτε πάντα τὸν σπόρον κεῖραι*, ἀλλ᾽ ὑπολιπέσθαι τὸ τοῦ κλήρου μέρος ἄτμητον, ἅμα μὲν τοὺς εὐπόρους μεγαλόφρονας καὶ κοινωνικοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατασκευάζων ἐκ τοῦ τι παριέναι τῶν ἰδίων καὶ μὴ πᾶσι προςκεχηνέναι μηδὲ πᾶν συμφορεῖν καὶ συγκομίζειν οἴκαδε θησαυροφυλακήσοντας, ἅμα δὲ καὶ τοὺς πένητας εὐθυμοτέρους ἀπεργαζόμενος. Ἐπειδὴ γὰρ κτημάτων ἰδίων ἀποροῦσιν, ἐφίησιν αὐτοῖς εἰς τὰ τῶν ὁμοφύλων εἰςιέναι καὶ ἐκ τῶν ὑπολειφθέντων ὡς οἰκείων ἀμᾶν. Ἐν δὲ τῷ καιρῷ τῆς ὀπώρας πάλιν δρεπομένοις τοῖς κληρούχοις προςτάττει, μήτε ῥᾶγας ἀποπιπτούσας συλλέγειν, μήτε ἀνατρυγᾶν ἀμπελῶνας. Τὰ δὲ αὐτὰ καὶ τοῖς ἐλαιολογοῦσι διατάττεται (ibid. v. 20), καθάπερ φιλοστοργότατος πατὴρ, οὐχὶ ταῖς αὐταῖς εὐπραγίαις κεχρημένων τῶν παίδων, ἀλλὰ τῶν μὲν ἐν περιουσίᾳ ζώντων, τῶν δὲ εἰς ἀπορίαν ἐσχάτην περιηκόντων, οὓς ἐλεῶν καὶ οἰκτείρων ἐπὶ τὰ κτήματα τῶν ἀδελφῶν καλεῖ μεθέξοντας ὡς ἰδίων τῶν ἀλλοτρίων, οὐκ εἰς ἀναισχυντίαν, ἀλλ' εἰς ἐπανόρθωσιν ἐνδείας, καὶ οὐ μόνον καρπῶν μετουσίας, ἀλλὰ καὶ κτημάτων ὅσα τῷ δοκεῖν. Εἰσὶ δὲ οἳ οὕτω ῥυπῶσι τὰς διανοίας προςτετηκότες ἀργυρισμῷ καὶ δυςθανατῶντες περὶ πᾶσαν ἰδέαν κέρδους, τὸ πόθεν ἂν γένοιτο μὴ σκεπτόμενοι, ὥςτε ἐπανατρυγῶσι μὲν τοὺς ἀμπελῶνας καὶ ἐλαιῶνας, τήν τε κριθοφόρον καὶ σιτοφόρον γῆν ἀναθερίζουσι, τὴν δουλοπρεπῆ καὶ ἀνελεύθερον αὐτῶν μικροψυχίαν ἐλέγχοντες, καὶ ἅμα ἀσεβοῦντες. Ὀλίγα μὲν γὰρ αὐτοὶ εἰς γεωργίαν παρέσχον, τὰ δὲ πλεῖστα καὶ ἀναγκαιότατα τῶν εἰς καρποφορίαν καὶ εὐγονίαν ἡ φύσις, καιρίους ὑετούς, ἀέρος εὐκρασίας, τὰς *τιθήνας* τῶν φυομένων, συνεχεῖς καὶ μεγάλας δρόσους, ζωτικωτάτας αὔρας, ὡρῶν τε ἐτησίων ἀζημίους γενέσεις, ὡς [*] μήτε θέρος περιφλέγοι, μήτε κρύος περιφρίχοι, μήτε ἔαρος καὶ μετοπώρου τροπαὶ ἐλαττοῖεν τὰ γεννώμενα. Καὶ

ταῦτα εἰδότες καὶ ὁρῶντες ἀεὶ τὴν φύσιν τελεσιουργοῦσαν καὶ πλουσίαις ταῖς χάρισι δωρουμένην ὅμως τὰς ἐκείνης εὐεργεσίας σφετερίζεσθαι τολμῶσι, καὶ ὡς αὐτοὶ πάντων αἴτιοι μεταδιδόασιν οὐδενὸς οὐδενί, μισανθρωπίαν ὁμοῦ καὶ ἀσέβειαν ἀσκοῦντες. Οὕς, ἐπεὶ μὴ γνώμαις ἑκουσίαις ἀρετὴν διεπόνησαν, ἄκοντας νουθετεῖ καὶ σωφρονίζει νόμοις ἱεροῖς, οἷς ὁ μὲν σπουδαῖος ἐθέλων, ὁ δὲ μοχθηρὸς ἄκων πειθαρχεῖ.

*De reddendis decimis. De reducendo iumento errante.*

10. Κελεύουσιν οἱ νόμοι (Deut. 18, 4) δεκάτας μὲν ἀπὸ σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ θρεμμάτων ἡμέρων καὶ ἐρίων ἀπάρχεσθαι τοῖς ἱερωμένοις, ἀπὸ δὲ τῆς κατ᾽ ἀγροὺς ὀπώρας καὶ τῶν ἄλλων ἀκροδρύων κατὰ ἀνάλογον τῆς κτήσεως ἐν ταλάροις πλήρεσι κομίζειν, σὺν ᾠδαῖς εἰς τὸν θεὸν πεποιημέναις, ἃς ἀναγράπτους στηλιτεύουσιν αἱ ἱεραὶ βίβλοι. Καὶ προσέτι βοῶν καὶ προβάτων καὶ αἰγῶν τὰ πρωτότοκα μὴ ὥσπερ ἴδια κατατάττειν ἐν ταῖς ἀγέλαις, ἀλλὰ καὶ ταῦτα νομίζειν ἀπαρχάς, ὅπως ἐξεθιζόμενοι τῇ μὲν τιμᾶν τὸ θεῖον, τῇ δὲ μὴ πάντα κερδαίνειν, εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ, ταῖς ἀρετῶν ἡγεμόσι, ἐπικοσμῶνται. Πάλιν „Κἂν ἴδῃς“ φησί (Exod. 23, 4) „τινὸς τῶν οἰκείων ἢ φίλων ἢ συνόλως ὧν οἶδας ἀνθρώπων ὑποζύγιον ἐν ἐρημίᾳ πλανώμενον, ἀπαγαγὼν ἀπόδος. Καὶ ἐὰν ἄρα τύχῃ μακρὰν ἀφεστὼς ὁ δεσπότης, μετὰ τῶν σῶν διαφύλαξον, ἄχρις ἂν ἐπανελθὼν κομίσηται παρακαταθήκην ἣν οὐκ ἔδωκεν, ἀλλ᾽ ἣν αὐτὸς ἐξευρὼν ἐκ φυσικῆς κοινωνίας ἀποδίδως.“

*Lex de anno septimo et quinquagesimo.*

11. Τὰ δὲ περὶ τοῦ ἑβδόμου ἔτους νομοθετηθέντα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καθ' ὃ δεῖ τὴν μὲν χώραν ἀνίεσθαι ἀργὴν πᾶσαν ἀφιεμένην, τοὺς δὲ πένητας ἀδεῶς τοῖς τῶν πλουσίων χωρίοις ἐπιβατεύειν δρεπομένους αὐτοματισθέντα καρπόν, δώρημα φύσεως, ἆρ' οὐχὶ χρηστὰ καὶ φιλάνθρωπα; „Ἑξαετίαν" φησὶν (Exod. 23, 10) „ἀπολαυέτωσαν οἱ οἰκήτορες ἀνθ' ὧν ἐκτήσαντο καὶ ἐγεωπόνησαν, ἕνα δὲ ἐνιαυτὸν ἕβδομον οἱ ἀκτήμονες καὶ ἀχρήματοι, μηδενὸς τῶν κατὰ γεωργίαν ἀποτελεσθέντος." Ἄτοπον γὰρ ἦν, ἑτέρους μὲν πονεῖν, ἑτέρους δὲ καρποῦσθαι· ἀλλ' ἵνα τρόπον τινὰ τῶν χωρίων ἀδεσπότων ἐαθέντων, μὴ συνεφαψαμένης γεωργίας, ἄρτιοι καὶ πλήρεις αἱ χάριτες ἐκ θεοῦ μόνου γένωνται, προσαπανιῶσαι τοῖς δεομένοις. Τί δέ, ὅσα [*] περὶ τοῦ πεντηκοστοῦ ἐνιαυτοῦ διατέτακται (Lev. 25, 8), πᾶσαν οὐχ ὑπερβάλλει φιλανθρωπίαν; Καὶ τίς οὐκ ἂν εἴποι τῶν μὴ χείλεσιν ἄκροις ἀπογευσαμένων τῆς νομοθεσίας, ἀλλ' ἐπὶ πλέον ἑστιαθέντων καὶ ἐπιτρυφησάντων ἡδίστοις ἅμα καὶ καλλίστοις δόγμασιν; Ἐπιτελεῖται μὲν γὰρ ἃ καὶ τῷ ἑβδόμῳ, προςείληφε δὲ ἔτι μείζονα, λῆψιν τῶν ἰδίων κτημάτων, ἃ διὰ καιροὺς ἀβουλήτους παρεχώρησαν ἑτέροις. Οὔτε γὰρ τὴν κτῆσιν ἔχειν τῶν ἀλλοτρίων ἐφίησι, τὰς εἰς πλεονεξίαν ἐπιφράττων ὁδούς, ἕνεκα τοῦ στεῖλαι τὴν ἐπίβουλον καὶ πάντων κακῶν αἰτίαν, πλεονεξίαν καὶ ἐπιθυμίαν· οὔτε τοὺς κληρούχους εἰς ἅπαν ᾠήθη χρῆναι τῶν οἰκείων ἀποστερεῖσθαι, πενίᾳ διδόντας δίκας, ἣν κολάζεσθαι μὲν οὐ θέμις, ἐλεεῖσθαι δὲ ἀναγκαῖον. Ἔστι δὲ καὶ ἄλλα μυρία τῶν ἐν μέρει διατεταγμένων πρὸς τοὺς ὁμοεθνεῖς χρηστὰ καὶ φιλάνθρωπα, ὧν ἀποχρώντως ἐν ταῖς προτέραις συντάξεσιν ἐπιμνησθείς, ἀρκεσθήσομαι τοῖς εἰρημένοις, ἃ παραδείγματος ἕνεκα καιρίου παρέλαβον.

*De humanitate erga advenas.*

12. Νομοθετήσας δὲ περὶ τῶν ὁμοεθνῶν καὶ τοὺς ἐπήλυδας οἴεται δεῖν προνομίας πάσης ἀξιοῦσθαι (Deut. 10, 19), γενεὰν μὲν τὴν ἀφ᾽ αἵματος καὶ πατρίδα καὶ ἔθη καὶ ἱερὰ ἀφιδρύματα θεῶν γέρα τε καὶ τιμὰς ἀπολελοιπότας, καλὴν δὲ †εἰς† ἀποικίαν στειλαμένους, τὴν ἀπὸ μυθικῶν πλασμάτων πρὸς τὴν τῆς ἀληθείας ἐνάργειαν καὶ τὸν σεβασμὸν τοῦ ἑνὸς καὶ ὄντος ὄντως θεοῦ. Κελεύει δὴ τοῖς ἀπὸ τοῦ ἔθνους ἀγαπᾶν τοὺς ἐπήλυδας, μὴ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλὰ καὶ ὡς ἑαυτούς, κατά τε σῶμα καὶ ψυχὴν ὡς οἷόν τε κοινοπραγοῦντας, κατὰ δὲ τὴν διάνοιαν τὰ αὐτὰ λυπουμένους τε καὶ χαίροντας, ὡς ἐν διαιρετοῖς μέρεσιν ἓν ζῶον εἶναι δοκεῖν, ἁρμοζομένης καὶ συμφυὲς ἀπεργαζομένης αὐτὸ κοινωνίας. Οὐκέτι ἂν εἴποιμι περὶ σιτίων καὶ ποτῶν καὶ ἐσθῆτος καὶ τῶν ἄλλων ὅσα περὶ δίαιταν καὶ τὰς ἀναγκαίας χρείας, ἃ τοῖς ἐπηλύταις δίδωσιν ὁ νόμος παρὰ τῶν αὐτοχθόνων· ἕπεται γὰρ ταῦτα πάντα ἐν ἴσοις τῆς εὐνοίας τοῦ στέργοντος ὁμοίως καὶ ἀγαπῶντος τὸν ἔπηλυν ὡς αὐτόν.

*Humanitas erga inquilinos.*

13. Ἔτι τοίνυν ἐπιτείνων καὶ ἐπελαύνων ὁλκὸν φύσει φιλανθρωπίαν διατάττεται καὶ περὶ μετοίκων, ἀξιῶν τοὺς μετανάστας ἐν καιροῖς γενομένους ἀπονέμειν τινὰ τοῖς ὑποδεξαμένοις τιμήν· εὖ μὲν πεποιηκόσι καὶ φιλοξένως προσενεχθεῖσι πᾶσαν, [*] εἰ δὲ μηδὲν ἔξω τῆς ὑποδοχῆς παράσχοιεν, μετριωτέραν. Τὸ γὰρ ἐνορμίσασθαι πόλει μηδὲν προσηκούσῃ, μᾶλλον δὲ καὶ τὸ ἐπιβῆναι ἐδάφους αὐτὸ μόνον ἀλλοτρίου δωρεὰ κατ᾽ αὐτόν τις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐστιν ἀποχρῶσα τοῖς μὴ δυναμένοις τὴν ἰδίαν οἰκεῖν. Ὁ δέ γε ὑπερβάλλων τοὺς ἐπιεικείας ὅρους αὐτοὺς οἴεται δεῖν καὶ τοῖς κακῶς πεποιηκόσι τῶν ξενοδόχων μὴ μνησικακεῖν, εἰ καὶ μὴ τὰς πράξεις, ὄνομα γοῦν ἔχουσι φιλάνθρωπον. Ἄντικρυς οὖν φησίν· „Οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου ἐν Αἰγύπτῳ.“ (Deut. 23, κ.) Καίτοι τί κακὸν Αἰγύπτιοι παρέλιπον, ὃ μὴ τῷ ἔθνει προσετρίψαντο, νέα παλαιοῖς ἐξυφαίνοντες ἀεὶ κεκαινουργημέναις ἐπινοίαις εἰς ὠμότητα; Ἀλλ' ὅμως ἐπεὶ τὴν ἀρχὴν ἐδέξαντο τὰς πόλεις οὐκ ἀποκλείσαντες, οὐδὲ τὴν χώραν ἄβατον τοῖς ἥκουσι παρασκευάσαντες, „Ἐχέτωσαν,“ φησί, „προνομίαν τῆς ὑποδοχῆς, τὸ ἔνσπονδον. Καὶ ἂν εἴ τινες ἐθελήσειαν αὐτῶν μετατάξασθαι πρὸς τὴν Ἰουδαίων πολιτείαν, οὐχ ὡς ἐχθρῶν παῖδας ἀσυμβάτως σκορακιστέον, ἀλλ' οὕτω προσενεκτέον, ὡς τρίτῃ γενεᾷ καλεῖν εἰς ἐκκλησίαν καὶ μεταδιδόναι θείων λόγων, οἷς θέμις τοὺς αὐτόχθονας καὶ εὐπατρίδας ἱεροφαντεῖσθαι.“

*Humanitas in inimicos eorumque iumenta.* (14. 15.)

14. Ταῦτα μὲν ὑπὲρ τῶν ὑποδεξαμένων πρὸς τοὺς μετοίκους νομοθετεῖ. Χρηστὰ δὲ ἕτερα καὶ μεστὰ ἡμερότητος ὑπὲρ τῶν πολεμίων. (Deut. 20, 10.) Ἀξιοῖ γὰρ αὐτούς, καὶ ἂν ἐπὶ θύραις ὦσιν, ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ἐν ταῖς πανοπλίαις καὶ τὰς ἑλεπόλεις ἐφιστάντες, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προκαλέσωνται πρὸς εἰρήνην, ἵνα εἰ μὲν ἐνδοῖεν, τὸ μέγιστον ἀγαθὸν εὕροιεν, φιλίαν, εἰ δὲ ἀπειθέστερον ἐναντιοῖντο, συμμαχίαν τὴν τοῦ Δικαίου προςειληφότες ἐλπίδι νίκης ἐπίωσι πρὸς ἄμυναν. „Ἦν μέντοι

καὶ ἐκ προνομῆς εὐμόρφου γυναικὸς εἰς ἐπιθυμίαν ἔλθῃς, μὴ ὡς αἰχμαλώτῳ“ φησὶν (Deut. 21, 10 ss.) „ἐπαπερύγῃς τὸ πάθος, ἀλλ’ ἡμερώτερον οἰκτισάμενος τῆς μεταβολῆς ἐπικούφισον τὴν συμφοράν, μεθαρμοσάμενος πάντα πρὸς τὸ βέλτιον. Ἐπικουφίσεις δέ, τὰς μὲν τῆς κεφαλῆς χαίτας ἀποκείρας, περιελὼν δὲ ὄνυχας, ἀπαμφιέσας δὲ τὴν ἐσθῆτα ἣν ἔχουσα ἐζωγρήθη, τριάκοντα δὲ ἡμέρας ἀνεὶς καὶ ἐπιτρέψας αὐτῇ πενθῆσαι καὶ δακρῦσαι μετ’ ἀδείας πατέρα καὶ μητέρα καὶ τοὺς ἄλλους οἰκείους, ὧν ἀπεζεύχθη τεθνεώτων ἢ θανάτου χείρους ὑπομενόντων τὰς ἐν δουλείᾳ συμφοράς. Μετὰ δὲ ταῦτα ὡς γαμετῇ νομίμῳ συνέρχου. Τὴν γὰρ μέλλουσαν [*] εὐνῆς ἀνδρὸς ἐπιβήσεσθαι μὴ κατὰ μισθαρνίαν, ὡς ἑταίραν τὸ τῆς ὥρας ἄνθος καπηλεύουσαν, ἀλλ’ ἢ δι’ ἔρωτα τοῦ συμβάντος ἢ διὰ τέκνων γένεσιν, ὅσιον θεσμῶν τῶν ἐπὶ τελείοις γάμοις ἀξιοῦσθαι.“ Πάνυ καλῶς ἕκαστα διαταξάμενος. Πρῶτον μὲν γὰρ οὐκ εἴασεν ἀχάλινον φέρεσθαι τὴν ἐπιθυμίαν ἀπαυχενίζουσαν, ἀλλ’ ἀνέστειλε τὸ σφοδρὸν αὐτῆς, ἡμέρας τριάκοντα ἐάσας. Δεύτερον δὲ τὸν ἔρωτα βασανίζει, πότερον ἐπιμανὴς καὶ ἀψίκορος καὶ ὅλος τοῦ πάθους ἐστίν, ἢ μετέχει τῆς καθαρωτάτης ἰδέας, ἀνακεκραμένου λογισμοῦ· λογισμὸς γὰρ πεδήσει τὴν ἐπιθυμίαν, οὐδὲν ὑβριστικὸν ἐάσας αὐτὴν ἐργάσασθαι, ἀλλὰ τὴν μηνιαίαν προθεσμίαν ἐπισχεῖν. Τρίτον δὲ ἐλεεῖ τὴν αἰχμάλωτον· εἰ μὲν παρθένος ἐστίν, ὅτι γονεῖς οὐκ ἐγγυῶσι τὴν εὐκταιοτάτην σύνοδον ἁρμοζόμενοι· εἰ δὲ χήρα, διότι τοῦ κουριδίου στερουμένη πεῖραν ἑτέρου λαβεῖν μελλήσει, καὶ ταῦτα ἐπανατειναμένου ἔτι δεσποτικὸν φόβον, καὶ ἂν ἰσότητα ἐπιτηδεύῃ· τὸ γὰρ ὑπακοῦον ἀεὶ τὴν τοῦ κρατοῦντος, καὶ ἂν ἡμερώτερος ᾖ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δέδοικεν ἰσχύν. Ἐὰν δέ τις τῆς ἐπιθυμίας πληρωθεὶς καὶ διακορὴς γενόμενος μηκέτι κοινωνεῖν ὁμιλίας ἀξιοῖ τῆς πρὸς τὸν αἰχμάλωτον, οὐ ζημιοῖ μᾶλλον αὐτόν, ἢ νουθετεῖ καὶ σωφρονίζει πρὸς βελτίωσιν ἠθῶν· κελεύει γάρ, μήτε πιπράσκειν (Deut. 21, 14), μήτ᾽ ἔτι δούλην ἔχειν, ἀλλὰ χαρίζεσθαι μὲν ἐλευθερίαν αὐτῇ, χαρίζεσθαι δὲ καὶ τὴν ἐκ τῆς οἰκίας ἀπαλλαγὴν ἀδεᾶ, ὡς μὴ γυναικὸς ἑτέρας ἐπειςελθούσης ἐξ ἔριδος, οἷα φιλεῖ κατὰ ζηλοτυπίαν, πάθῃ τι τῶν ἀνηκέστων, ἅμα καὶ τοῦ δεσπότου καινοτέροις φίλτροις ὑπηγμένου καὶ καταφρονοῦντος τῶν παλαιοτέρων.

15. Ἕτερα δὲ ἐφ᾽ ἑτέροις ἐπαντλῶν ὡσὶ φιλημόοις ἡμερότητα προστάττει. „Καὶ ἂν ἐχθρῶν ὑποζύγια ἀχθοφοροῦντα τῷ βάρει πιεσθέντα προςπέσῃ, μὴ παρελθεῖν, ἀλλὰ συνεπικουφίσαι καὶ συνεγεῖραι" (Exod. 23, 5) — πόῤῥωθεν ἀναδιδάσκων τὸ μὴ τοῖς ἀβουλήτοις τῶν ἐχθρανάντων ἐφήδεσθαι, βαρύμηνι πάθος τὴν ἐπιχαιρεκακίαν εἰδώς, ἀδελφὸν ὁμοῦ καὶ ἀντίπαλον φθόνου· συγγενὲς μέν, ὅτι ἐκ πάθους ἑκάτερον, καὶ γένοιτο ἂν ἄμφω προςερχόμενα, καὶ μόνον οὐκ ἀντακολουθοῦντα ἀλλήλοις· ἀντίπαλον δέ, ὅτι ὁ μὲν ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λύπην, ἡ δὲ χαρὰν ἐπὶ τοῖς τοῦ πλησίον κακοῖς κατεργάζεται. „Καὶ ἂν πλανώμενον μέντοι," φησὶν (Ibid. v. 4), „ἐχθροῦ τινὸς [*] ἴδῃς ὑποζύγιον, τὰ τῆς διαφορᾶς καταλιπὼν ὑπεκκαύματα, βαρυτέροις ἤθεσιν ἀπαγαγὼν ἀπόδος." Οὐ γὰρ ἐκεῖνον μᾶλλον ὀνήσεις ἢ σαυτόν, ἐπειδὴ τῷ μὲν ἄλογον ζῷον καὶ οὐδενὸς ἴσως ἄξιον περιγίνεται, σοὶ δὲ τὸ μέγιστον καὶ τιμιώτατον τῶν ἐν τῇ φύσει, καλοκἀγαθία. Ἕπεται δὲ κατὰ τὸ ἀναγκαῖον, ὥςπερ σκιὰ σώματι, καὶ τῆς ἔχθρας διάλυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σις· ὅ τε γὰρ εὖ πεπονθὼς ἄκων ἄγεται πρὸς τὸ ἔνσπονδον, χάριτι δουλωθείς, ὅ τε ὠφεληκώς, συμβούλῳ χρώμενος καλῇ πράξει, σχεδὸν ἤδη πρὸς καταλλαγὰς τὴν διάνοιαν τέτραπται. Τοῦτο δὲ μάλιστα βούλεται διὰ πάσης νομοθεσίας ὁ ἱερώτατος προφήτης κατασκευάζειν, ὁμόνοιαν, κοινωνίαν, ὁμοφροσύνην, κρᾶσιν ἠθῶν, ἐξ ὧν οἰκίαι καὶ πόλεις, ἔθνη τε καὶ χῶραι, καὶ τὸ σύμπαν τῶν ἀνθρώπων γένος, εἰς τὴν ἀνωτάτω προέλθοιεν εὐδαιμονίαν. Ἀλλ' ἄχρι μὲν τοῦ παρόντος ταῦτα εἰσὶν εὐχαί. Γενήσεται δέ, ὥς γ' ἐμαυτὸν πείθω, καὶ ἔργα ἀψευδέστατα, τοῦ θεοῦ παρασχόντος ὥσπερ ἐτησίοις καρποῖς εὐφορίαν ἀρετῆς, ὧν μὴ ἀμοιρήσαιμεν οἱ πόθον αὐτῶν σχεδὸν ἀπὸ πρώτης ἡλικίας περιφέροντες.

*Humanitas in servos.*

16. Ἃ μὲν οὖν ἐπ' ἐλευθέροις ἔγνω, ταῦτα καὶ τὰ τούτοις παραπλήσια. Συνῳδὰ δὲ ὡς ἔοικε καὶ τὰ περὶ δούλων νομοθετεῖ, πάντων τῶν συντεινόντων εἰς ἡμερότητα καὶ φιλανθρωπίαν καὶ τούτοις μεταδούς. Τοὺς μὲν οὖν ἕνεκα χρείας τῶν ἀναγκαίων ὑποβεβληκότας ἑαυτοὺς ἄλλων ὑπηρεσίαις, οἴεται δεῖν μηδὲν ἀνάξιον ὑπομένειν τῆς εὐγενοῦς ἐλευθερίας, παραινῶν τοῖς τυγχάνουσι τῆς διακονίας εἰς τὸ τῆς τύχης ἀτέκμαρτον ἀφορᾶν καὶ λαμβάνειν αἰδῶ τῆς μεταβολῆς· τοὺς δὲ ἐξ ἐφημερινῶν δανείων χρεώστας, τὸ τῆς περιβολῆς ὄνομα καὶ πάθος ὑποδύντας, ἢ καὶ τοὺς ἀνάγκῃ βιαστικωτέρᾳ γενομένους ἐξ ἐλευθέρων δούλους, οὐκ εἰς ἅπαν κακοπραγεῖν ἐᾷ, διδοὺς ἐκεχειρίαν, εἰς ἅπαν ἐνιαυτῷ ἑβδόμῳ (Deut. 15, 12). „Τοῖς μὲν γὰρ δανεισταῖς, οὐ κομισαμένοις τὸ χρέος, *ἢ τρόπον* ἕτερον κτησαμένοις τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρότερον ἐλευθέρους, ἀρκεῖ," φησί, „χρόνος εἰς ὑπηρεσίαν ἑξαετία. Οἵ γε μὴν δοῦλοι χρηστῶν μὴ εἰς ἅπαν ἀμοιρείτωσαν, ἀλλ' ἴτωσαν ἐπὶ τὴν παλαιὰν ἄδειαν, ἧς διὰ καιροὺς ἀβουλήτους ἐστέρηνται. Καὶ ἂν ἐκ τριγονίας μέν," [*] φησί, „δοῦλος ἑτέρου φόβῳ δεσποτικῶν ἀπειλῶν ἢ συνειδήσει τινῶν ἁμαρτημάτων, ἢ μηδὲν ἠδικηκώς, ἀμειλίκτῳ καὶ ὠμοθύμῳ χρώμενος ἄλλως δεσπότῃ καταφυγῇ χρῆται ὡς τευξόμενος ἐπικουρίας, μὴ περιΐδητε — προδιδόναι γὰρ ἱκέτας οὐχ ὅσιον, ἱκέτης δὲ καὶ ὁ δοῦλος, ὥσπερ εἰς τὴν ἑστίαν καταπεφευγώς, ἐν ᾗ δίκαιόν ἐστιν ἀσυλίας τυγχάνειν — μάλιστα μὲν εἰς ἀδόλους καταλλαγὰς ἐλθόντα χωρὶς ἐνέδρας. Εἰ δὲ μή, τὸ γοῦν πανύστατον πραθείς· ἀλλαγαὶ γὰρ αἱ τῶν δεσποτῶν ἄδηλον ὅπου τὴν ῥοπὴν ἕξουσι, τοῦ δὲ ὁμολογουμένου κουφότερον τὸ ἄδηλον κακόν."

*Humanitas in bruta.* (17-19.)

17. Ταῦτα μὲν οὖν περὶ οἰκείων καὶ ἀλλοτρίων, καὶ φίλων καὶ ἐχθρῶν, καὶ δούλων καὶ ἐλευθέρων καὶ συνόλως ἀνθρώπων νομοθετεῖ. Τὸ δὲ ἐπιεικὲς καὶ ἥμερον καὶ ἐπὶ τὴν τῶν ἀλόγων τείνει φύσιν, ἀεὶ μεταδιδοὺς καὶ τούτοις, ὥσπερ ἀπὸ πηγῆς εὐμενοῦς, ἀρύσασθαί τινος χρηστοῦ. Κελεύει γὰρ ἐν ἡμέροις ἀγέλαις, κατά τε ποίμνας καὶ αἰπόλια καὶ βουκόλια, τῆς παραχρῆμα τῶν γεννωμένων ἀπολαύσεως ἀπέχεσθαι, μήτε πρὸς ἐδωδὴν μήτε προφάσει θυσιῶν λαμβάνοντας (Exod. 23, 19). Ὠμῆς γὰρ ὑπέλαβεν εἶναι ψυχῆς, ἐφεδρεύειν ἀποκυϊσκομένοις ἀνυπέρθετον διάζευξιν ἐγγόνων τε αὖ καὶ μητέρων, ἕνεκα γαστρὸς ἡδονῆς, μᾶλλον δὲ ἐκτόπου τινὸς ἀηδίας ψυχῆς καὶ παρηλλαγμένης. Φησὶν οὖν τῷ βιωσομένῳ κατὰ τὴν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἱερωτάτην αὐτοῦ πολιτείαν· „Ὦ γενναῖε, πολλή τίς ἐστιν ἀφθονία σοὶ τῶν πρὸς ἀπόλαυσιν, οἷς μέμψις οὐ παρέπεται· συγγνωστὸν γὰρ ἂν ἦν ἴσως, ἐπειδὴ πολλὰ τῶν ἀβουλήτων ἀπορία καὶ σπάνις δρᾷν ἀναγκάζει. Σὺ δὲ καὶ διαφέρειν εἰς ἐγκράτειαν καὶ ἀρετὰς ὀφείλεις, τὴν καλλίστην τεταγμένος τάξιν, ὑπὸ ταξιάρχῃ τῷ τῆς φύσεως ὀρθῷ λόγῳ, δι' ὧν ἡμεροῦσθαί σε δεῖ, μηδὲν σκαιὸν τῇ διανοίᾳ παραδεχόμενον. Τί δὲ ἂν ταῖς περὶ τὴν ἀποκύησιν ὠδῖσιν ἐπιφέρειν ἔξωθεν ἑτέρας, ἐκ τῆς παραχρῆμα τῶν γεννωμένων διαζεύξεως; Ἀνάγκη γὰρ σφαδάζειν ἀποσπωμένων, διά τινα φυσικὴν μητέρων πρὸς ἔγγονα φιλοστοργίαν, καὶ μάλιστα ὑπὸ τὸν τῆς κυήσεως καιρόν, ἐπειδὴ πηγάζοντες οἱ μαστοὶ σπάνει τοῦ θηλάζοντος, ἀνακοπὴν τῆς ἐπιῤῥοίας λαμβανούσης, στειροῦνταί τε κατατεινόμενοι τῷ βάρει τοῦ γάλακτος, καὶ ἀλγηδόσι πιέζονται. Χάρισαι," φησί, „τῇ μητρὶ τὸ ἔγγονον, εἰ καὶ μὴ τὸν σύμπαντα χρόνον, [*] ἑπτὰ γοῦν τὰς πρώτας ἡμέρας γαλακτοτροφῆσαι· καὶ μὴ ἀνωφελεῖς ἃς ἡ φύσις ὤμβρησε πηγὰς τοῦ γάλακτος ἐν μαστοῖς ἐργάσῃ, τὰς δευτέρας χάριτας αὐτῆς ἀνελών, ἃς ἐκ πολλοῦ τοῦ προμηθοῦς ἡτοιμάσατο, τὸ ἀκόλουθον μακρόθεν αἰωνίῳ καὶ τελείᾳ φρονήσει κατιδοῦσα. Προτέρα μὲν γὰρ δωρεὰ γέννησις, δι' ἧς τὸ μὴ ὂν ἄγεται εἰς τὸ εἶναι· δευτέρα δὲ γάλακτος ἐπίῤῥοια, τροφὴ καιροῖς μαλακωτάτη ἐν ἁπαλῷ, μία δὲ οὖσα *), ποτόν ἐστιν ὁμοῦ καὶ σιτίον. Ἔστι γὰρ ὅσον μὲν ὑδατῶδες τοῦ γάλακτος, ποτόν, ὅσον δὲ ὑποπαχύνεται, σιτίον· προνοίᾳ τοῦ μὴ κα-

*) Mang. ad cod. Aug. legi vult: τροφὴν καιροῖς (scr. καιρίως) μαλακωτάτην ἁπαλοῖς μέρεσι δοῦσα, ἢ κτλ.

ισπασθεῖν τὸ ἀρτίγονον ἐφεδρευούσης χρόνοις διαφέρουσιν ἐνδείας, ἀλλ' ὑπὸ μίαν καὶ τὴν αὐτὴν προσφορὰν ἑκατέρου τοῦ τῆς τροφῆς εἴδους τὰς πικρὰς δεσποίνας, δίψαν τε καὶ πεῖναν, ἐκφεύγειν. Τοῦτον ἀναγνόντες τὸν νόμον, οἱ χρηστοὶ καὶ περιμάχητοι γονεῖς, ἐγκαλύπτεσθε, οἱ ἐπὶ τοῖς βρέφεσιν ἀεὶ φονῶντες, οἱ κακὴν ἐφεδρεύοντες ἐφεδρείαν τοῖς ἀποκυομένοις εἰς ἔκθεσιν, οἱ τοῦ σύμπαντος ἀνθρώπων γένους ἄσπονδοι πολέμιοι. Τίνι γὰρ δι' εὐνοίας ἐγένεσθε, γενόμενοι τῶν ἰδίων τέκνων αὐτόχειρες; οἱ τὰς πόλεις τό γ' ἐφ' αὑτοῖς ἧκον μέρος ἐρημοῦντες, ἀπὸ τῶν ἐγγυτάτω γένους ἀρξάμενοι τῆς ἀπωλείας; οἱ τοὺς τῆς φύσεως θεσμοὺς ἀνατρέποντες καὶ ὅσα ἂν οἰκοδομῇ καθαιροῦντες; οἱ ἀνήμεροι καὶ ἀτίθασσοι ψυχῆς ὠμότητι γενέσει φθορὰν καὶ ζωῇ θάνατον ἐπιτειχίζοντες; Ἢ οὐχ ὁρᾶτε, ὅτι τῷ πάντα ἀρίστῳ νομοθέτῃ δι' ἐπιμελείας ἐγένετο, μηδὲ τῶν ἀλόγων τὰ ἔγγονα διαζευχθῆναι τῆς τεκούσης, ἄχρις ἂν γαλακτοτροφηθῇ; Τὸ πλέον, ὦ γενναῖοι, δι' ὑμᾶς, ἵνα, εἰ καὶ μὴ τῇ φύσει, μαθήσει γοῦν ἀναδιδάσκησθε τὸ φιλοίκειον, εἰς ἄρνας καὶ ἐρίφους ἀποβλέποντες, οἳ ἐν ἀφθόνοις χορηγίαις τῶν ἀναγκαίων τρυφῶν οὐ κεκώλυνται, τῆς φύσεως μὲν αὐτὰς παρασκευασαμένης ἐν ἐπιτηδειοτάτοις χωρίοις, ἐξ ὧν εὐμαρεῖς τοῖς δεησομένοις αἱ ἀπολαύσεις γενήσονται· νομοθέτου δὲ μετὰ πολλῆς προθυμίας ἐφορῶντος, ἵνα μηδεὶς ἐμποδίζῃ τὰς εὐεργέτιδας καὶ σωτηρίους τοῦ θεοῦ δωρεάς.

18. Βουλόμενος δὲ τὰ ἡμερότητος καὶ ἐπιεικείας σπέρματα πολυτρόποις ἰδέαις ἐγκατασπεῖραι ταῖς διανοίαις, ἄλλο τίθησι διάταγμα συγγενὲς τοῖς προτέροις, ἀπαγορεύων ἡμέρᾳ τῇ αὐτῇ [*] συγκαταθύειν μητέρα

*καὶ ἔγγονον· καὶ γὰρ εἰ θυτέον, ἀλλ' οὖν γε ἐν χρόνοις διαφέρουσιν. Ὑπερβολὴ γὰρ ἀγριότητος, τὴν αἰτίαν τῆς γεννήσεως μετὰ τοῦ γεννηθέντος ζώου ἡμέρᾳ μιᾷ κτείνειν. Καὶ τοῦτο τοῦ χάριν; Ἢ γὰρ ἐπὶ προφάσει θυσιῶν, ἢ διὰ γαστρὸς ἀπόλαυσιν. Εἰ μὲν οὖν ἕνεκα θυσιῶν, ἐπέψευσται καὶ τὸ ὄνομα· τὰ γὰρ τοιαῦτα σφάγια, οὐ θυσία. Τίς δὲ δὴ καὶ θεοῦ βωμὸς οὕτως ἀνίερα ἱερεῖα παραδέξαιτο; Τὸ δὲ πῦρ οὐκ ἂν δίχα τμηθὲν ἐξ ἑαυτοῦ διασταίη, φεῦγον τὴν ἐξ ἀμίκτου πράγματος ἕνωσιν; Οἶμαι ἂν αὐτὸ μηδὲ πρὸς βραχύτατον χρόνον ὑπομεῖναι, αὐτίκα δὲ σβεσθῆναι προνοίᾳ τοῦ μὴ τὸν ἀέρα καὶ τὴν ἱερωτάτην πνεύματος φύσιν ὑπὸ τῆς καιομένης φλογὸς μιαίνεσθαι. Εἰ δὲ μὴ θυσιῶν χάριν ἀλλὰ θοίνης, τίς οὐκ ἂν τῆς ὑπερφυοῦς γαστριμαργίας προβάλλοιτο καινὰς καὶ παρηλλαγμένας; Ἐκτόπους μὲν γὰρ ἡδονὰς οἱ δὴ τοιοῦτοι μεταδιώκουσι. Τίς δὲ ἡδονὴ κρεωφαγοῦσι, γεύσασθαι σαρκῶν ἐν ταὐτῷ τῶν μητέρων καὶ ἐγγόνων; Ὧν εἴ τὰ μέλη τις ἀναμίξαι θελήσειεν ἀναπείρων ὀβελοῖσιν ὀπτῶν ἐμφορήσασθαι, οὐκ ἂν μοι δοκεῖ διατελέσειν ἥσυχα, ῥήξειν δὲ φωνὴν σχετλιάσαντα δι' ὑπερβολὴν τοῦ καινουργηθέντος πάθους, καὶ μυρία λοιδορήσεσθαι τῆς λαιμαργίας τοῖς εὐτρεπίζουσιν ἄλεκτον εὐωχίαν. Ἀλλ' ὅ γε νόμος ἔξω περιῤῥαντηρίων ἐλαύνει καὶ ὅσα τῶν ζώων κυοφορεῖ, μὴ ἐπιτρέπων ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, τὰ κατὰ γαστρὸς ἐν ἴσῳ τοῖς ἀποκυηθεῖσι λογισάμενος· οὐκ ἐπειδὴ τὴν ἴσην ἔλαχεν ἀξίαν ἃ μηδ' εἰς φῶς πρότερον ἦλθεν, ἀλλ' ὑπὲρ τοῦ μακρόθεν ἐπισχεῖν τὴν εὐχέρειαν τῶν εἰωθότων πάντα φύρειν. Εἰ γὰρ τὰ φυτῶν τρόπον ἐμπεριαυξανόμενα καὶ μέρη νομιζόμενα τῶν κυούντων, νῦν μὲν ἡνωμένα, μηνῶν δὲ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περιόδοις αὖθις ἀποσπασθησόμενα τῆς συμπαθείας, διὰ τὴν ἐλπίδα τοῦ γενήσεσθαι ζῷα φυλάττεται τῷ περὶ τὰς μητέρας ἀνεπιβουλεύτῳ, τοῦ μὴ τὸ λεχθὲν μίασμα συμβῆναι· πῶς οὐχὶ μᾶλλον τὰ ἀποτεχθέντα, καὶ κατ' αὐτὰ ψυχῆς καὶ σώματος μεμοιραμένα; Πάντων γὰρ ἀνοσιώτατον ἐνὶ καιρῷ καὶ ἡμέρᾳ μιᾷ ἔγγονον ὁμοῦ καὶ μητέρα κτείνειν. Ἔνθεν δέ μοι δοκοῦσιν ὁρμηθέντες ἔνιοι τῶν νομοθετῶν καὶ τὸν ἐπὶ ταῖς κατακρίτοις γυναιξὶν εἰσηγήσασθαι νόμον, ὃς κελεύει τὰς ἐγκύους, κἂν ἄξια θανάτου δράσωσι, μὴ θανεῖν μέχρις ἂν ἀποτέκωσιν, ἵνα μὴ ἀναιρουμένων συναπόληται τὸ κατὰ γαστρός. Ἀλλ' οὗτοι μὲν ἐπ' ἀνθρώπων [*] ταῦτα ἔγνωσαν· ὁ δὲ προσυπερβάλλων ἄχρι καὶ τῶν ἀλόγων ζώων τὸ ἐπιεικὲς ἐπιτείνει, ἵνα τοῖς νόμοις πᾶσιν *ἀσκηθέντες* πολλῇ τινι περιουσίᾳ χρώμεθα φιλανθρωπίας, τοῦ μὲν λυπεῖν καὶ ἀντιλυπεῖν ἀλλήλους ἀπεχόμενοι, τὰ δὲ οἰκεῖα ἀγαθὰ μὴ θησαυροφυλακοῦντες, ἀλλ' εἰς μέσον προφέροντες καθάπερ συγγενέσι καὶ ἐκ φύσεως ἀδελφοῖς τοῖς πανταχῇ πᾶσιν. Ἔτι τοίνυν τὸ μὲν ἔθνος ἐπὶ μισανθρωπίᾳ διαβαλλέτωσαν, τοὺς δὲ νόμους ὡς ἄμικτα καὶ ἀκοινώνητα παραγγέλλοντας αἰτιάσθωσαν οἱ δεινοὶ συκοφάνται, περιφανῶς οὕτω τῶν μὲν νόμων ἔλεον μεταδιδόντων καὶ ταῖς τῶν θρεμμάτων ἀγέλαις, τοῦ δὲ ἔθνους ἐκ πρώτης ἡλικίας νομίμοις ὑφηγήσεσιν ὅσον ἐν ταῖς ψυχαῖς ἀπειθὲς μεθαρμοζομένου πρὸς τὸ τιθασσόν. Ἐπιπαιδεύεται δὲ αὐτὸς αὑτῷ καὶ ἐπαγωνίζεται, πολύτροπος ὢν ἀρετῇ καί τινι εὐτροπίᾳ χρώμενος πρὸς τὰς καλὰς ὑφηγήσεις· κωλύει γάρ, πρὶν ἀπότιτθον γενέσθαι μὴ ἀποσπᾶν τῆς τεκούσης, μήτε ἄρνα, μήτε ἔριφον, μήτε ἄλλο τι τῶν ἐν ταῖς ἀγέλαις. Καὶ προσδιαταξάμενος μὴ θύειν τῇ αὐτῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἡμέρᾳ μητέρα καὶ ἔγγονον, ἐπιδαψιλεύεται φάσκων ἄλλο· „Οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρός.“ (Exod. 23, 19.) Πάνυ γὰρ ὑπέλαβεν εἶναι δεινὸν τὴν τροφὴν ζῶντος ἥδυσμα γενέσθαι καὶ παράρτυσιν ἀναιρεθέντος, καὶ τὴν μὲν φύσιν ἐπιμεληθεῖσαν αὐτοῦ τῆς διαμονῆς ὀμβρῆσαι γάλα, ὃ διὰ μαστῶν τῆς τεκούσης ὡς ἐκ δεξαμενῶν φέρεσθαι διετάξατο, τὴν δὲ τῶν ἀνθρώπων ἀκρασίαν τοσοῦτον ἐπιβῆναι, ὡς τῷ τῆς ζωῆς αἰτίῳ καταχρήσασθαι καὶ πρὸς τὴν τοῦ ὑπολοίπου σώματος ἀνάλωσιν. Εἰ δὲ τὰ ἐν γάλακτι κρέα συνέψειν ἀξιοῖ, μὴ σὺν ὠμότητι, χωρὶς δὲ ἀσεβείας ἑψέτω. Μυρίαι θρεμμάτων ἀγέλαι εἰσὶ πανταχοῦ, καὶ καθ᾽ ἑκάστην ἡμέραν ἀμελγόμεναι διὰ βουκόλων, αἰπόλων, ποιμένων, οἷς κτηνοτροφοῦσιν ἡ μεγίστη πρόσοδος τὸ γάλα, τῇ μὲν ἐγκεχυμένον, τῇ δὲ συνιστάμενον καὶ πηγνύμενον εἰς τυρόν· ὥστε ἀφθονίας ὑπαρχούσης τῶν ἀρνῶν ἢ ἐρίφων ἤ τινος ἑτέρου τὸν γάλακτι μητρῴῳ κρέα συνέψοντα χαλεπὴν ἐπιδείκνυσθαι τρόπων σκαιότητα, τὸ ἀναγκαιότατον καὶ συγγενέστατον λογικῇ ψυχῇ πάθος ἐκτετμημένον, τὸν ἔλεον.

19. Ἄγαμαι δὲ καὶ ἐκεῖνον τὸν νόμον, ὅς, καθάπερ ἐν χορῷ παναρμονίῳ συνᾴδων τοῖς προτέροις, διαγορεύει, „βοῦν ἀλοῶντα μὴ φιμοῦν“ (Deut. 25, 4). Οὗτος γάρ [*] ἐστιν ὁ πρὸ μὲν τῆς σπορᾶς οὔσης βαθυγείου πεδιάδος ἀνατεμὼν τὰς αὔλακας καὶ προετοιμασάμενος οὐρανῷ καὶ γεωπόνῳ τὰς ἀρούρας· τῷ μέν, ἵνα καιρίως κατασπείρῃ, τῷ δέ, ἵνα κόλποι βαθεῖς ὑποδεξάμενοι τὰς διὰ τῶν ὑετῶν χάριτας, ταμιεύσωσι καὶ χορηγήσωσιν ἐκ τοῦ κατ᾽ ὀλίγον τῷ σπόρῳ τροφὰς πίονας, ἄχρις ἂν σταχυοφορήσας τελειογονήσῃ τὸν ἐτήσιον καρπόν. Μετὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ τὴν τελείωσιν πάλιν βοῦς ἐστὶ πρὸς ἑτέραν ὑπηρεσίαν ἀναγκαῖος, κάθαρσιν δραγμάτων καὶ διάκρισιν ὠφελίμων ἀπὸ τοῦ γεηροῦ καὶ χυδαίου. Ἀλλ' * ἐπὶ δή * τοῖς ἀλοῶσι βουσὶν ἥμερον καὶ ῥητὸν προσέταξεν εἰπεῖν καὶ τὸν ἐπὶ τοῖς ἀρῶσι θρέμμασι τεθέντα νόμον ἑξῆς δίκαιον τῆς αὐτῆς ὄντα συγγενείας. Διαγορεύει γὰρ ἐν ταὐτῷ ζευγνύναι πρὸς ἄροτρον βοῦν καὶ ὄνον (Deut. 22, 10), οὐ μόνον τοῦ περὶ τὰ ζῷα ἀνοικείου στοχαζόμενος, διότι τὸ μέν ἐστι καθαρόν, ὄνος δὲ τῶν οὐ καθαρῶν, τὰ δὲ οὕτως ἠλλοτριωμένα συνάγειν οὐκ εὐαγές· ἀλλ' ἐπειδὴ καὶ τὴν ἰσχύν ἐστιν ἄνισα, προμηθεῖται τῶν ἀσθενεστέρων, ὡς μὴ πρὸς δυνατωτέρας βίας θλίβηται καὶ πιέζηται, καίτοι τὸ μὲν ἀσθενέστερον, ὄνος, ἔξω περιῤῥαντηρίων ἐλαύνεται, τὸ δὲ ἐῤῥωμενέστερον, βοῦς, ἐν ταῖς τελειοτάταις θυσίαις ἱερουργεῖται. Ἀλλ' ὅμως οὔτε τῆς τῶν ἀκαθάρτων ἰσομοιρίας ὠλιγώρησεν, οὔτε τοῖς καθαροῖς ἔφησεν ἰσχὺν πρὸ δίκης χρῆσθαι, μόνον οὐκ ἄντικρυς βοῶν καὶ κηρύττων τοῖς ὅσοι ἔχουσιν ἐν ψυχῇ μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν, οὐδὲν ἔχοντας αἰτιάσασθαι ὅτι μὴ τὸ ἀλλογενές, ὅπερ ἐστὶν ἀναίτιον· ὅσα γὰρ μήτε κακία, μήτε ἀπὸ κακίας, ἔξω παντὸς ἐγκλήματος ἐστίν.

## Humanitas in plantas. (20. 21.)

20. Ἐπιδαψιλευόμενος δὲ τὸ ἐπιεικὲς πάλιν ἀφθόνως αὐτῷ καὶ πλουσίως χεῖται, φοιτᾷ ἀπὸ μὲν τῶν λογικῶν ἐπὶ τὰ ἄλογα, ἀπὸ δὲ τῶν ἀλόγων ἐπὶ τὰ φυτά, περὶ ὧν αὐτίκα λεκτέον, ἐπειδή γε πρότερον περὶ τῶν ἀνθρώπων καὶ τῶν ὅσα ψυχῆς μεμοίραται, λέλεκται. Ἀπείρηκε τοίνυν ἐκτέμνειν (Deut. 20, 19) μήτε δενδρο-

τομεῖν ὅσα τῆς ἡμέρου ὕλης, μήτε κείρειν ἐπὶ λύμῃ σταχυοφοροῦσαν πρὸ καιροῦ πεδιάδα, μήτε συνόλως καρπὸν διαφθείρειν, ἵνα περιουσίᾳ μὲν τροφῶν ἀφθόνων χορηγῆται τὸ τῶν ἀνθρώπων γένος, περιουσιάζῃ δὲ μὴ μόνον τῶν ἀναγκαίων, ἀλλὰ καὶ τῶν πρὸς τὸν ἀβροδίαιτον βίον. Ἀναγκαῖον μὲν γὰρ ὁ τοῦ σίτου καρπὸς εἰς τροφὴν ἀνθρώποις ἀποκριθείς, πρὸς δὲ τὸν ἀβροδίαιτον βίον αἱ τῶν ἀκροδρύων ἀμύθητοι ποικιλίαι. Γίνονται δὲ ἐν ἐνδείαις πολλάκις αὗται τροφαὶ δεύτεραι.

21. [*] Καὶ προσυπερβάλλων οὔτε τὴν πολεμίων χώραν τέμνειν ἐᾷ, παραγγέλλει δὲ ἀνέχειν δενδροτομιῶν. ἄδικον ὑπολαμβάνων τὴν πρὸς ἀνθρώπους ὀργὴν ἀποσκήπτειν εἰς τὰ μηδενὸς αἴτια κακοῦ. Ἔπειτα δὲ ἀξιοῖ μὴ μόνον τὸ παρὸν βλέπειν, ἀλλὰ καὶ τὸ μέλλον ὥσπερ ἀπὸ σκοπῆς μακρόθεν ὀξυωπίᾳ λογισμοῦ καθορᾶσθαι. μηδενὸς ἐν ὁμοίῳ μένοντος, ἀλλὰ πάντων τροπαῖς καὶ μεταβολαῖς χρωμένων. ὡς εἰκὸς εἶναι τοὺς τέως δυσμενεῖς ἐπικηρυκευσαμένους καὶ συμβατηρίων ἄρξαντας ἐνσπόνδους αὐτίκα γενέσθαι. Φίλους δὲ τροφῶν ἀναγκαίων ἀποστερεῖν χαλεπόν, μηδὲν ταμιευσαμένους τῶν ἐπ' ὠφελείᾳ, διὰ τὴν τοῦ μέλλοντος ἀδηλότητα. Πάνυ γὰρ ἐκεῖνο καλῶς εἴρηται τοῖς παλαιοῖς, ὅτι καὶ φιλίας κοινωνητέον μὴ ἀπογινώσκοντας ἔχθραν. καὶ προσεχθρηστέον ὡς φιλίας ἐσομένης, ἵνα ἕκαστος ἐν τῇ ἑαυτοῦ φύσει ταμιεύηταί τι τῶν εἰς ἀσφάλειαν, καὶ μὴ ἀπογυμνωθεὶς ἐν ἔργοις καὶ λόγοις μετανοῇ, τῆς ἄγαν εὐχερείας, ὅτε οὐδὲν ὄφελος, αἰτιώμενος ἑαυτόν. Τὸ λόγιον τοῦτο χρὴ φυλάττειν καὶ τὰς πόλεις, ἐν μὲν εἰρήνῃ προνοουμένας τῶν κατὰ πόλεμον, ἐν δὲ τῷ πολέμῳ τῶν κατ' εἰρήνην, καὶ μήτε τοῖς συμμάχοις ἐπειδὰν προσπιστεύειν ὡς οὐ

χρησομένοις μεταβολῇ πρὸς τὸ ἀντίπαλον, μήτε τοῖς πολεμίοις εἰς ἅπαν ἀπιστεῖν ὡς οὐ δυνησομένοις ποτὲ μεθαρμόσασθαι πρὸς τὸ ἔνσπονδον. Εἰ μέντοι καὶ μηδὲν ὑπὲρ ἐχθροῦ πρακτέον δι' ἐλπίδα καταλλαγῶν, οὐδὲν ἐχθρὸν φυτόν, ἀλλὰ πάντα ἔνσπονδα καὶ ὠφέλιμα· τὰ δὲ ἥμερα καὶ διαφερόντως ἀναγκαῖα, ὧν ὁ καρπὸς ἢ τροφή ἐστιν ἢ ἰσότιμον τροφῇ κτῆμα. Τί δὲ δεῖ πολεμεῖσθαι πρὸς τὰ μὴ πολέμια, τέμνοντας ἢ καίοντας ἢ ῥίζαις αὐταῖς ἀνασπῶντας, ἅπερ αὐτὴ ἡ φύσις ὑδάτων ἐπιῤῥοίαις καὶ θέρους εὐκρασίαις ἐτελεσιογόνησεν, δασμοὺς ἐτησίους οἴσοντα ἀνθρώποις οἷα βασιλεῦσιν; Ἐμέλησε δὲ αὐτῷ καθάπερ ἀγαθῷ προστάτῃ *ἄληκτον* εἶναι μὴ μόνον ζώοις, ἀλλὰ καὶ φυτοῖς ἰσχύν τε καὶ ῥώμην· καὶ μάλιστα τοῖς ἡμέροις, ἐπειδὴ καὶ πλείονος ἄξια φροντίδος ἐστὶ καὶ οὐχ ὁμοίως τοῖς ἀγρίοις *αὔτονα*, γεωργικῆς ἐπιστήμης δεόμενα πρὸς κραταιοτέραν δύναμιν. Κελεύει γὰρ τὰ νέα φυτὰ τῶν δένδρων ἐπὶ [*] τριετίαν ἑξῆς τιθηνεῖσθαι, τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς δι' ἔνδειαν ἐξασθενεῖν, γυροῦν τε καὶ περισκάπτειν, ἵνα μηδὲν τῶν ἐπὶ ζημίᾳ παραβλαστάνῃ τὴν αὔξησιν κωλῦον. Τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι κατὰ μετουσίαν ἀπολαύσεως, οὐ μόνον ἐπειδὴ ἀτελὴς ἐξ ἀτελῶν ἔμελλεν ἔσεσθαι — καὶ γὰρ τῶν ζώων ὅσα μὴ τέλεια οὐ τελεσιογονεῖ —, ἀλλὰ καὶ διότι βλάπτεσθαι τὰ νεόφυτα καὶ τρόπον τινὰ χαμαίζηλα ἔμελλε, κωλυόμενα ἐρνοῦσθαι. Πολλοὶ γοῦν τῶν γεωπόνων ἔαρος ὥρᾳ ἐπιτηροῦσι τὰ νέα τῶν δένδρων, ἵνα ὃν ἂν τέκῃ καρπὸν εὐθὺς ἀποθλίβωσι πρὶν ἐπίδοσιν καὶ συναύξησιν λαβεῖν, φόβῳ τῆς τῶν τεκόντων ἀσθενείας.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Συμβαίνει γάρ, εἰ μὴ προφυλάξαιτό τις, ὅτε χρὴ τελειωθέντα καρπὸν φέρειν, ἀγονεῖν, ἢ ἀμβλίσκειν ἐξασθενήσαντα, τῷ πρὸ καιροῦ πλησθῆναι φορᾶς, ὡς αἱ παλαιαὶ κληματίδες ἐπηχθισμέναι ῥίζαις αὐταῖς τρύχουσι τὰ στελέχη. Μετὰ δὲ τριετίαν, ὅταν αἱ μὲν ῥίζαι βαθύνωσι προσεχόμεναι τῷ ἐδάφει κραταιότερον, τὸ δὲ στέλεχος ὥσπερ ἀκλινέσι θεμελίοις ἐπερηρεισμένον αὔξηται σὺν εὐτονίᾳ, δύναται τελειογονεῖν ἔτει τετάρτῳ, κατὰ τέλειον ἀριθμόν. Τετράδι δὲ κελεύει δρέπεσθαι τὸν καρπόν, οὐ πρὸς ἀπόλαυσιν, ἀλλ' ὅλον αὐτὸν καθιεροῦν ἀπαρχὴν τῷ θεῷ, τῇ μὲν τῶν προγεγονότων χαριστήριον, τῇ δὲ ἐλπίδι τῆς εἰς τὸ μέλλον εὐκαρπίας, καὶ τῷ μετὰ τοῦτο προσοδεύεσθαι. Ὁρᾷς, ὅσον τὸ ἵλεων καὶ χρηστὸν ἐπιδείκνυται, καὶ ὡς ἀνακέχυκεν αὐτὸ πρὸς ἅπασαν ἰδέαν ἀνθρώπων τὸ πρῶτον, καὶ ἂν ἀλλόφυλός τις ἢ ἐχθρὸς ᾖ, εἶτα ζώων ἀλόγων, καὶ ἂν μὴ τυγχάνῃ καθαρά, ἐπὶ δὲ πᾶσι, σπαρτῶν ὁμοῦ καὶ δένδρων. Ὁ γὰρ ἐν ταῖς ἀφαντάστοις φύσεσι προμαθὼν ἐπιείκειαν, εἰς οὐδὲν ἂν τῶν ψυχῆς μεμοιραμένων ἐξαμάρτοι· ὅ τε μηδὲν ἐπιχειρῶν νεωτερίζειν περὶ τὰ ἔμψυχα, πόῤῥωθεν ἀναδιδάσκεται τῶν λογικῶν ἐπιμελεῖσθαι.

*Quibus humanitatis praeceptis Moses cives suos ab arrogantia et superbia servare voluerit.* (22-24.)

**22.** Τοιαύταις ὑφηγήσεσι τὰς διανοίας τῶν κατ' αὐτὸν πολιτευομένων ἐξημερώσας, ὑπεροψίας καὶ ἀλαζονείας, ἀργαλεωτάτων καὶ ἐπαχθεστάτων κακῶν, διέζευξεν, ὧν ὡς μεγίστων ἀγαθῶν οἱ πολλοὶ περιέχονται, καὶ μάλιστα ὅταν πλοῦτοι καὶ δόξαι καὶ ἡγεμονίαι περιουσίας ἀφθόνους χορηγῶσιν. Ἀλαζονεία γὰρ φύεται καὶ ἐν ἠμελημένοις πολλάκις καὶ ἀφανέσιν ἀνθρώποις, ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τῶν ἄλλων ἕκαστον ψυχῆς παθῶν τε καὶ νοσημάτων καὶ ἀῤῥωστημάτων, τὴν δὲ ἐπὶ πλέον εὐλάβειαν καὶ παραύξησιν [*] οὐ λαμβάνει, ἀλλ' οἷα πυρὸς οὐσία σπάνει ὕλης ἀμαυροῦται· περιφαίνεται δὲ ἐν τοῖς μεγάλοις, χορηγοὺς ὡς ἔφην ἔχουσι τούτου τοῦ κακοῦ πλούτους καὶ δόξας καὶ ἡγεμονίας, ὧν ὑποπλησθέντες, καθάπερ οἱ πολὺν ἄκρατον ἐμφορησάμενοι, μεθύουσι καὶ ἐμπαροινοῦσι δούλοις ὁμοῦ καὶ ἐλευθέροις, ἔστι δὲ ὅτε καὶ ὅλαις πόλεσι. „Τίκτει γὰρ κόρος ὕβριν," ὡς ὁ τῶν παλαιῶν λόγος. Διὸ παγκάλως Μωσῆς ἱεροφαντῶν παραινεῖ πάντων μὲν ἁμαρτημάτων ἀπέχεσθαι, διαφερόντως δὲ ὑπεροψίας. Εἶτα ὑπόμνησιν ποιεῖται τῶν ἀναφλέγειν τὸ πάθος εἰωθότων· πλησμονῆς τὰς τροφὰς ἀμέτρους, καὶ οἰκιῶν καὶ κτημάτων καὶ θρεμμάτων ἀφθόνους περιουσίας. Γίνονται γὰρ εὐθὺς αὐτῶν ἀκράτορες, διαιρόμενοι καὶ φυσώμενοι, οἷς μία θεραπείας ἐλπίς, τὸ μηδέποτε ἐκλανθάνεσθαι θεοῦ. Καθάπερ γὰρ ἀνατείλαντος ἡλίου τὸ μὲν σκότος ἀφανίζεται, φωτὸς δὲ πληροῦται τὰ πάντα· τὸν αὐτὸν τρόπον ὅταν θεός, ὁ νοητὸς ἥλιος, ἀνάσχῃ καὶ ἐπιλάμψῃ ψυχήν, ὁ μὲν τῶν κακιῶν καὶ παθῶν ζόφος ἀνασκίδναται, τῆς δὲ αὐγοειδεστάτης ἀρετῆς τὸ καθαρώτατον καὶ ἀξιέραστον εἶδος ἐπιφαίνεται.

23. Στέλλει δὲ ἔτι μᾶλλον καὶ καθαιρεῖ ὑπεροψίαν, ἀξιῶν τὰς αἰτίας συλλέγειν, δι' ἃς ἄληστον θεοῦ μνήμην ἀγαλματοφορεῖ. „Οὗτος γάρ σοι" φησὶ (Deut. 8, 18) „δίδωσιν ἰσχὺν ποιῆσαι δύναμιν"· ἄγαν παιδευτικῶς. Ὁ γὰρ ἀκριβῶς ἀναδιδαχθείς, ὅτι δῶρον εἴληφε παρὰ θεοῦ τὸ εὔτονον καὶ ῥωμαλέον, τὴν ἰδίαν ἀσθένειαν ἐκλογιζόμενος, ἣν πρὶν ἀπολαῦσαι τῆς δωρεᾶς εἶχεν, ὑψη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λὸν καὶ ὑπέραυχον φρόνημα διώσεται καὶ εὐχαριστήσει τῷ τῆς κρείττονος αἰτίῳ μεταβολῆς. Ψυχῆς δὲ εὐχαρίστου ἀλαζονεία πολέμιος, ἐπεὶ καὶ τὸ ἐναντίον ἀχαριστία συγγενὲς ὑπεροψίας. Εὐρωστεῖ σοι τὰ πράγματα; Λαβὼν καὶ κτησάμενος σώματος ἰσχύν, ἣν ἴσως οὐ προςεδόκησας, ποίει δύναμιν. Τί δὲ τοῦτο ἔστιν, ἀκριβωτέον τοῖς μὴ πάνυ συνορῶσι τὸ δηλούμενον. Πολλοὶ τὰ ἐναντία ὧν εὖ πεπόνθασι δρᾶν ἐπιχειροῦσιν· ἢ γὰρ πλουτήσαντες πενίαν ἄλλοις κατασκευάζουσιν, ἢ δόξης καὶ τιμῆς ἐπὶ μέγα μετασχόντες ἀδοξίας καὶ ἀτιμίας ἑτέροις αἴτιοι γίγνονται. Χρὴ δὲ καὶ τὸν φρόνιμον καὶ ἀγχίνουν, ὡς ἔνι μάλιστα, τοιούτους καὶ τοὺς πλησιάζοντας κατασκευάζειν, καὶ τὸν σώφρονα ἐγκρατεῖς, καὶ γενναίους τὸν ἀνδρεῖον, καὶ τὸν δίκαιον δικαίους, καὶ συνόλως ἀγαθοὺς τὸν ἀγαθόν. Ταῦτα γὰρ ὡς ἔοικε δυνάμεις, ὧν ὅ γε ἀστεῖος ὡς οἰκείων περιέξεται· [*] *ἀδυναμία* δὲ καὶ ἀσθένεια, τὰ ἐναντία, σπουδαίων ἀλλότρια ἠθῶν. Ἄλλως τε καὶ μάθημα ἀναδιδάσκει τῇ λογικῇ φύσει πρεπωδέστατον, μιμεῖσθαι θεὸν καθ᾽ ὅσον οἷόν τε, μηδὲν παραλιπόντα τῶν εἰς τὴν ἐνδεχομένην ἐξομοίωσιν.

24. Ἐπειδὴ τοίνυν ἔλαβες ἰσχὺν παρὰ τοῦ δυνατωτέρου, μετάδος ἄλλοις ἰσχύος, διαθεὶς ὃ ἔπαθες, ἵνα μιμήσῃ θεὸν τῷ παραπλήσια χαρίζεσθαι. Κοινωφελεῖς γὰρ αἱ τοῦ πρώτου ἡγεμόνος δωρεαί, ἃς δίδωσιν ἐνίοις, οὐχ ἵνα ἐκεῖνοι λαβόντες ἀποκρύψωσιν, ἢ καταχρήσωνται πρὸς ζημίαν ἑτέρων, ἀλλ᾽ ἵνα εἰς μέσον προενεγκόντες, ὥσπερ ἐν δημοθοινίᾳ, πάντας ὅσους οἷόν τε καλέσωσιν ἐπὶ τὴν χρῆσιν καὶ ἀπόλαυσιν αὐτῶν. Λέγομεν οὖν καὶ τῷ πολυχρημάτῳ καὶ ἐνδόξῳ καὶ εὐέκτῃ καὶ ἐπιστήμονι, πλουσίους καὶ εὐέκτας καὶ ἐπιστήμονας καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συνόλως ἀγαθοὺς ἀπεργάζεσθαι τοὺς ἐντυγχάνοντας, ἀλλὰ μὴ φθόνον καὶ βασκανίαν ἀρετῆς προτιμήσαντας τοῖς εὖ πράττειν δυναμένοις ἀντιβαίνειν. Τοὺς δὲ μέγα πνέοντας ὑπὸ ἀλαζονείας καὶ ἀθεραπεύτως εἰς ἅπαν ἔχοντας ὁ νόμος παγκάλως οὐκ ἤγαγεν εἰς κρίσιν ἀνθρωπίνην, ἀλλὰ μόνῳ τῷ θείῳ παρέδωκε δικαστηρίῳ. Φησὶ γάρ· „Ὃς ἂν ἐγχειρῇ τι πράττειν μεθ᾽ ὑπερηφανίας, τὸν θεὸν παροξύνει." (Num. 15, 30.) Διὰ τί; Ὅτι πρῶτον μὲν ἀλαζονεία ψυχῆς ἐστὶ κακία· ψυχὴ δὲ ἀόρατος ὅτι μὴ θεῷ. Κολαστὴς δὲ ὁ μὲν τυφλὸς ἐπίμεμπτος, ἄγνοιαν κατήγορον ἔχων· ὁ δὲ βλέπων ἐπαινετός, ἐπιστήμῃ πάντα δρῶν. Ἔπειτα δέ, ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζών, „οὔτε ἄνδρα οὔτε ἡμίθεον μᾶλλον ἢ δαίμονα" κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτόν, ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως βαίνειν ἀξιῶν. Ἔστι δὲ αὐτῷ καθάπερ ἡ ψυχὴ καὶ τὸ σῶμα ἐπίληπτον κατά τε τὰς σχέσεις καὶ κινήσεις ἁπάσας. Ἀκροβατεῖ τε γάρ, καὶ τὸν αὐχένα μετέωρον ἐξαίρει φρυαττόμενος, καὶ πλέον τῆς φύσεως ἐπῆρται καὶ πεφύσηται, καὶ ὁρῶν παραβλέπει πλαγίαις ὄψεσι καὶ ἀκούων παρακούει, κέχρηται δὲ τοῖς μὲν οἰκέταις ὡς θρέμμασι, τοῖς δὲ ἐλευθέροις ὡς οἰκέταις, καὶ τοῖς μὲν συγγενέσιν ὡς ἀλλοτρίοις, τοῖς δὲ φίλοις ὡς κόλαξι, τοῖς δὲ ἀστοῖς ὡς ξένοις· πάντων τε εἶναι οἴεται πλουσιώτατος, ἐπισημότατος, κάλλιστος, ἰσχυρότατος, φρονιμώτατος, σωφρονέστατος, δικαιότατος, λογικώτατος, ἐπιστημονικώτατος· εἶτα τοὺς ἄλλους ὑπολαμβάνει πένητας, [*] ἀδόξους, ἀτίμους, ἄφρονας, ἀδίκους, ἀνεπιστήμονας, καθάρματα, τὸ μηδέν. Εἰκότως οὖν ὁ τοιοῦτος ἀντιδίκῳ καὶ κολαστῇ χρήσαιτο ἄν, ὥς φησιν ὁ ἱεροφάντης, θεῷ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

# ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.

[II, 405.]

*Poenitentia non quidem in primum, at vero in secundum bonorum ordinem referenda (1) et praecipue pietate in Deum assequenda (2).*

1. Φιλάρετος δὲ καὶ φιλόκαλος καὶ διαφερόντως φιλάνθρωπος ὢν ὁ ἱερώτατος Μωσῆς προτρέπει τοὺς πανταχοῦ πάντας εὐσεβείας καὶ δικαιοσύνης εἶναι ζηλωτάς, ἆθλα προτιθεὶς ὡς νικηφόροις μεγάλα τοῖς μετανοοῦσι· πολιτείας κοινωνίαν τῆς ἀρίστης καὶ τῶν κατ' αὐτὴν ἀπόλαυσιν, μικρῶν τε καὶ μεγάλων. Ἀγαθὰ μὲν προηγούμενα ἐν σώμασιν ἡ ἄνοσος ὑγεία, ἐν δὲ ναυτιλίαις ἀκίνδυνος εὔπλοια, ἐν δὲ ψυχαῖς ἡ ἄληστος μνήμη τῶν ἀξίων μνημονεύεσθαι· δεύτερα δέ, τὰ κατ' ἐπανόρθωσιν συνιστάμενα, ἥ τε ἐκ νόσων ἀνάληψις, καὶ ἡ ἐκ τῶν κατὰ πλοῦν κινδύνων εὐκταιοτάτη σωτηρία, καὶ ἡ [ἐκ] λήθης ἐγγινομένη ἀνάμνησις, ἧς ἀδελφὸν καὶ συγγενέστατον τὸ μετανοεῖν, οὐκ ἐν τῇ πρώτῃ καὶ ἀνωτάτω τεταγμένον τάξει τῶν ἀγαθῶν, ἀλλ' ἐν τῇ μετὰ ταύτην φερόμενον δευτερεῖα. Τὸ μὲν γὰρ μηδὲν συνόλως ἁμαρτεῖν ἴδιον θεοῦ, τάχα δὲ καὶ θείου ἀνδρός· τὸ δὲ ἁμαρτόντα μεταβαλεῖν πρὸς ἀνυπαίτιον ζωὴν φρονίμου καὶ τὸ συμφέρον εἰς ἅπαν οὐκ ἀγνοήσαντος. Ὅθεν τοὺς τοιούτους συνάγων καὶ μυσταγωγῶν προςκαλεῖται, τὰς συμ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σωτηρίους καὶ φιλικὰς ἀρχαιοτέρων ὑφηγήσεις, αἳ παραινοῦσιν ἀφειδοῦντας ἁπάντων καὶ τῦφον ἀποβεβλῆσθαι, καὶ ἀληθείας καὶ ἀτυφίας, ἀναγκαιοτάτων καὶ εὐδαιμονικωτάτων στοιχείων, περιέχεσθαι, μυθικῶν πλασμάτων κατεξανισταμένους, ὅσαπερ ἐν πρώτῃ ἡλικίᾳ ἁπαλαῖς ἔτι ψυχαῖς γονεῖς καὶ τίτθαι καὶ παιδαγωγοὶ καὶ μυρίοι ἄλλοι τῶν συνήθων ἐνεχάραξαν, πλάνον ἀνήνυτον περὶ τὴν τοῦ ἀρίστου γνῶσιν ἀπεργασάμενοι. Τί δὲ ἂν εἴη τῶν ὄντων ἄριστον ἢ θεός; Οὗ τὰς τιμὰς περιῆψαν τοῖς οὐ θεοῖς, τοὺς μὲν ὑπερεκτιμήσαντες πλέον τοῦ μετρίου, τοῦ δὲ εἰς ἅπαν οἱ κενοὶ φρενῶν ἐκλαθόμενοι. Πάντας οὖν, ὅσοι τὸν κτίστην καὶ πατέρα τοῦ παντὸς εἰ καὶ μὴ ἐξ ἀρχῆς σέβειν ἠξίωσαν, ἀλλ' ὕστερον, μοναρχίαν ἀντὶ πολυαρχίας ἀσπασάμενοι, φιλτάτους καὶ συγγενεστάτους ὑποληπτέον, τὸ μέγιστον εἰς φιλίαν καὶ οἰκειότητα [*] παρασχομένους, θεοφιλὲς ἦθος, οἷς χρὴ καὶ συνήδεσθαι, καθάπερ ἂν εἰ καὶ τυφλοὶ πρότερον ὄντες ἀνέβλεψαν, ἐκ βαθυτάτου σκότους αὐγοειδέστατον φῶς ἰδόντες.

2. Τὸ μὲν οὖν πρῶτον καὶ ἀναγκαιότατον τῆς εἰς μετάνοιαν εἴρηται. Μετανοείτω δέ τις, μὴ μόνον ἐφ' οἷς ἠπατήθη πολὺν χρόνον τὸ γενητὸν πρὸ τοῦ ἀγενήτου καὶ ποιητοῦ θαυμάσας, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι περὶ βίον ἀναγκαίοις, μεταβὰς ὥσπερ ἐκ τῆς φαυλοτάτης τῶν κακοπολιτειῶν, ὀχλοκρατίας, εἰς τὴν εὐνομωτάτην πολιτείαν, δημοκρατίαν, τοῦτο ἔστιν ἐξ ἀμαθίας εἰς ἐπιστήμην ὧν ἡ ἄγνοια αἰσχρόν, ἐξ ἀφροσύνης εἰς φρόνησιν, ἐξ ἀκρασίας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς δικαιοσύνην, ἐκ δειλίας εἰς θαρραλεότητα. Πάγκαλον γὰρ καὶ συμφέρον αὐτομολεῖν ἀπνευστὶ πρὸς ἀρετήν, κακίαν, ἐπίβουλον δέσποιναν, καταλιπόντας· ἅμα δὲ ἀναγκαῖον ὥσπε-

σθαι, ὡς ἐν ἡλίῳ σκιὰν σώματι, καὶ τῇ τοῦ ὄντος θεοῦ τιμῇ πᾶσαν τὴν τῶν ἄλλων ἀρετῶν κοινωνίαν. Γίνονται γὰρ εὐθὺς οἱ ἐπηλύται σώφρονες, ἐγκρατεῖς, αἰδήμονες, ἥμεροι, χρηστοί, φιλάνθρωποι, σεμνοί, δίκαιοι, μεγαλόφρονες, ἀληθείας ἐρασταί, κρείττους χρημάτων καὶ ἡδονῆς· ἐπεὶ καὶ τὸ ἐναντίον τοὺς τῶν ἱερῶν νόμων ἀποστάντας ἰδεῖν ἔστιν ἀκολάστους, ἀναισχύντους, ἀδίκους, ἀσέμνους, ὀλιγόφρονας, φιλαπεχθήμονας, ψευδολογίας ἑταίρους καὶ ψευδορκίας, τὴν ἐλευθερίαν πεπρακότας ὄψου καὶ ἀκράτου καὶ πεμμάτων καὶ εὐμορφίας εἴς τε τὰς γαστρὸς ἀπολαύσεις καὶ τῶν μετὰ γαστέρα, ὧν τὰ τέλη βαρύτατα ζημίαι σώματός τε καὶ ψυχῆς εἰσιν. Παγκάλους μέντοι καὶ τὰς εἰς μετάνοιαν ὑφηγήσεις ποιεῖται, αἷς διδασκόμεθα μεθαρμόζεσθαι τὸν βίον ἐξ ἀναρμοστίας εἰς τὴν ἀμείνω μεταβολήν. Φησὶ (Deut. 30, 11 ss.) γάρ, ὅτι τουτὶ τὸ πρᾶγμα οὐχ ὑπέρογκόν ἐστιν οὔτε μακρὰν ἀφεστώς, οὔτε κατὰ τὸν αἰθέρα ἀνωτάτω καὶ [ἐν] ἐσχατιαῖς τῆς μεγάλης θαλάττης, ὡς ἀδυνατῆσαι λαβεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἡμᾶς ἐνδιαιτώμενον, στόματι καὶ καρδίᾳ καὶ χερσί, διὰ συμβόλων, λόγοις καὶ βουλαῖς καὶ πράξεσι. Λόγου μὲν στόμα σύμβολον, καρδία δὲ βουλευμάτων, πράξεων δὲ χεῖρες, ἐν οἷς τὸ εὐδαιμονεῖν ἐστίν. Ὅταν μὲν γὰρ οἷος ὁ λόγος τοιάδε ἡ γνώμη, καὶ οἷον τὸ βούλευμα τοιάδε ἡ πρᾶξις, ἐπαινετὸς καὶ τέλειος ὁ βίος· ὅταν δὲ στασιάζῃ ταῦτα ἐν ἀλλήλοις, ἀτελὴς τε καὶ ψεκτός, εἰ μή τις τῆς ἁρμονίας ταύτης ἐπιλάβοιτο, γενόμενος ὁμοῦ καὶ θεοφιλὴς καὶ φιλόθεος. Ὅθεν εὖ καὶ [*] συμφώνως τοῖς εἰρημένοις ἐχρήσθη τὸ λόγιον ἐκεῖνο· „Τὸν κύριον ἀντηλλάξω σήμερον εἶναί σοι εἰς θεόν, καὶ κύριος ἀντηλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάξατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ." (Deut. 26, 17 s.) Παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις, σπεύδοντος ἀνθρώπου μὲν θεραπεύειν θεόν, θεοῦ δὲ ἀνυπερθέτως ἐξοικειοῦσθαι τὸν ἱκέτην καὶ προαπαντᾶν τῷ βουλήματι τοῦ γνησίως καὶ ἀνόθως ἰόντος ἐπὶ τὴν θεραπείαν αὐτοῦ. Ὁ δὲ ἀληθὴς θεραπευτής τε καὶ ἱκέτης, κἂν εἷς ὢν ἀνὴρ ἀριθμῷ τυγχάνῃ, δυνάμει, καθάπερ αὐτὸς αἱρεῖται, σύμπας ἐστὶν ὁ λεώς, ἰσότιμος ὅλῳ ἔθνει γεγονώς. Καὶ πέφυκεν οὕτως ἔχειν· ὡς γὰρ ἐν νηῒ μὲν κυβερνήτης πᾶσι τοῖς ναύταις ἀντίῤῥοπος, ἐν δὲ στρατοπέδῳ στρατηγὸς ἅπασι τοῖς στρατιώταις, διαφθαρέντος γοῦν ἡττᾶσθαι συμβαίνει, καθάπερ ἂν εἰ καὶ πάσῃ δυνάμει ἡβηδὸν ἑάλω· τὸν αὐτὸν τρόπον καὶ ὁ σοφὸς ὅλου ἔθνους ἀξιώματι ἁμιλλᾶται, τείχει πεφραγμένος ἀκαθαιρέτῳ, θεοσεβείᾳ.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ
# ΑΘΛΩΝ ΚΑΙ ΕΠΙΤΙΜΙΩΝ.

# DE
# PRAEMIIS ET POENIS.

[II, 408.]

*Proposita sunt bonis praemia, malis poenae.*

1. Τὰς μὲν οὖν τῶν διὰ τοῦ προφήτου Μωυσέως λογίων τρεῖς ἰδέας εἶναι συμβέβηκε· τὴν μὲν γὰρ περὶ κοσμοποιΐας, τὴν δὲ ἱστορικήν, τὴν δὲ τρίτην νομοθετικήν. Ἡ μὲν οὖν κοσμοποιΐα παγκάλως πᾶσα καὶ θεοπρεπῶς μεμήνυται, λαχοῦσα τὴν ἀρχὴν ἀπὸ γενέσεως οὐρανοῦ, καὶ λήξασα εἰς ἀνθρώπου κατασκευήν· ὁ μὲν γὰρ ἀφθάρτων τελειότατος, ὁ δὲ θνητῶν φθαρτός. Ἀθάνατα δὲ καὶ θνητὰ ἐν γενέσει συνυφαίνων ὁ ποιητὴς εἰργάσατο τὸν κόσμον, τὰ μὲν γενόμενα ἡγεμονικά, τὰ δὲ ὡς ὑπήκοα καὶ γενησόμενα. Τὸ δὲ ἱστορικὸν μέρος ἀναγραφὴ πονηρῶν καὶ σπουδαίων βίων ἐστί, καὶ τὰ ὁρισθέντα ἑκατέροις ἐπιτίμια καὶ γέρα ἐν ἑκάσταις γενεαῖς. Τοῦ δὲ νομοθετικοῦ τὸ μὲν καθολικωτέραν τὴν ὑπόθεσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔχει, τὸ δὲ ἕτερον μέρος νομίμων εἶναι ἐντολάς· κεφάλαια δὲ δέκα, ἅπερ λέγεται κεχρησμῳδῆσθαι οὐ διὰ ἑρμηνέως, ἀλλ' ἐν τῷ ὑψώματι τοῦ ἀέρος σχηματιζόμενα καὶ ἄρθρωσιν ἔχοντα λογικήν· τὰ δὲ ἄλλα τὰ κατ' εἶδος μέρη διὰ τοῦ [*] προφήτου θεσπισθέντα. Περὶ ὧν ἁπάντων, ὅσα καιρός, ἐν ταῖς προτέραις συντάξεσι διεξελθών, καὶ προσέτι τῶν ἀρετῶν ἃς ἀπένειμεν εἰρήνῃ τε καὶ πολέμῳ, μέτειμι κατὰ τὸ ἀκόλουθον ἐπὶ τὰ προτεθέντα καὶ τοῖς ἀγαθοῖς ἆθλα καὶ τοῖς πονηροῖς ἐπιτίμια. Συγκροτήσας γὰρ ὑφηγήσεσι καὶ προτροπαῖς μελετηρούς, καὶ πάλιν ἐπαινέσας καὶ νουθετήσας ἐμβριθεστέρους τοὺς ὑπ' αὐτοῦ πολιτευομένους, ἐκάλεσεν εἰς τὴν ὧν ἐνομοθέτησεν ἐπίδειξιν. Οἱ δέ, παρελθόντες ὥσπερ εἰς ἱερὸν ἀγῶνα, τὴν ἑαυτῶν προαίρεσιν ἀνέδειξαν, εἰς ἐναργέστατον ἔλεγχον τῆς ἀληθείας. Εἶτα οἱ μὲν ἀθληταὶ ἀρετῆς ἀνεφάνησαν, μὴ ψευσάμενοι τῆς ἐπ' αὐτοῖς χρηστῆς ἐλπίδος τοὺς ἀλείπτας νόμους· οἱ δὲ ἄνανδροι καὶ μαλακοὶ καὶ ἀγεννεῖς ὑπὸ τῆς ἐμφύτου μαλακίας τὰς ψυχάς, πρὶν ἢ διαγωνίσασθαί τι ἐπιβάλλεσθαι, προκαταπεπτωκότες αἰσχύνη καὶ γέλως θεατῶν ἐγένοντο. Δι' ἣν αἰτίαν οἱ μὲν βραβείων καὶ κηρυγμάτων καὶ τῶν ἄλλων ὅσα νικῶσι δίδοται μετελάμβανον· οἱ δὲ οὐκ ἀπεφέροντο μόνον ἀτιμίαν, ἀλλὰ καὶ ἧτταν *ἐπονείδιστον* ἐνδεξάμενοι τῶν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἀργαλεωτέραν. Ἐκεῖ μὲν γὰρ ἀθλητῶν σώματα κλίνεται, ῥᾳδίως ἐγερθῆναι δυνάμενα· ἐνταῦθα δὲ ὅλοι βίοι πίπτουσιν, οὐδ' ἅπαξ ἐπανιστάμενοι μέχρις ἔσχατον ἀναγαίρειν. Τῆς δὲ προνομίας καὶ τιμῆς, καὶ τὸ ἐναντίον κολάσεως τάξεις ἐναρμονίους ὑφηγεῖται, κατ' ἄνδρας, κατ' οἴκους, κατὰ πόλεις, κατὰ χώρας, κατὰ ἔθνη, κατὰ κλίματα γῆς μεγάλα.

*Praemia singulis hominibus data. Primum huius generis praemium (Setho i. e. agro bono i. e. animae rationali datum) est spes i. e. Enos i. e. homo, quo nomine vere est dignus qui spem in Deo ponit.*

2. Πρότερον δὲ ἐρευνητέον τὰ ἐπὶ τιμαῖς, ἐπειδὴ καὶ λυσιτελέστερα καὶ ἥδιω πρὸς ἀκρόασιν, ἀρχὴν λαβόντας τὴν *ἀφ᾽* ἑκάστου τῶν ἐν μέρει. Φασὶ τὸν παλαιὸν ἐκεῖνον Τριπτόλεμον Ἕλληνες ἀρθέντα μετέωρον ἐπὶ πτηνῶν δρακόντων τὸν τοῦ σίτου καρπὸν εἰς ἅπασαν τὴν γῆν κατασπείρειν, ἀντὶ βαλανηφαγίας, ἵνα ἔχῃ τὸ ἀνθρώπων γένος ἥμερον καὶ ὠφέλιμον καὶ ἡδίστην τροφήν. Τοῦτο μὲν οὖν, ὥςπερ πολλὰ καὶ ἄλλα, τοῖς εἰωθόσι τερατεύεσθαι οἷον πλάσμα μύθου ὂν ἀπολελείφθω, πρὸ σοφίας σοφιστείαν καὶ γοητείαν πρὸ ἀληθείας ἐπιτετηδευκόσιν. Ἐξ ἀρχῆς γὰρ ἅμα τῇ πρώτῃ γενέσει τῶν ὅλων ὁ θεὸς τὰ ἐπιτήδεια πᾶσι ηὐτρεπίσατο ζώοις ἐκ γῆς ἀνιείς, καὶ μάλιστα τῷ γένει τῶν ἀνθρώπων, ᾧ τὴν ἐφ᾽ ἅπασι τοῖς γηγενέσιν ἡγεμονίαν ἐχαρίζετο. Τῶν γὰρ θείων ἔργων οὐδὲν ὀψίγονον, ἀλλὰ καὶ ὅσα τέχναις καὶ ἐπιμελείαις ὕστερον τελειοῦσθαι δοκεῖ, πάντως ἡμίεργα πρόκειται προμηθούσης φύσεως, ὡς μὴ ἄπο σκοποῦ τὰς [*] μαθήσεις ἀναμνήσεις εἶναι λέγεσθαι. Ταῦτα μὲν οὖν ὑπερκείσθω· τὴν δὲ ἀναγκαιοτάτην σπορὰν ἐπισκεπτέον, ἣν ὁ ποιητὴς ἐν ἀρετώσῃ χώρᾳ κατέσπειρε, λογικῇ ψυχῇ. Ταύτης δὲ ὁ πρῶτος σπόρος ἐστὶν ἐλπίς, ἡ πηγὴ τῶν βίων. Ἐλπίδι γὰρ κέρδους ὁ χρηματιστὴς ἐπαποδύεται πολυτρόποις ἰδέαις πορισμῶν· ἐλπίδι δὲ ὁ ναύκληρος εὐπλοίας περαιοῦται τὰ μακρὰ πελάγη· ἐλπίδι δόξης καὶ ὁ φιλότιμος αἱρεῖται πολιτείαν καὶ κοινῶν πραγμάτων ἐπιμέλειαν· δι᾽ ἐλπίδα βραβείων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ στεφάνων καὶ οἱ τῶν σωμάτων ἀσκηταὶ τοὺς γυμνικοὺς ἀγῶνας διαθλοῦσιν· ἐλπὶς εὐδαιμονίας καὶ τοὺς ἀρετῆς ζηλωτὰς ἐπαίρει φιλοσοφεῖν, ὡς ταύτῃ δυνησομένους καὶ τὴν τῶν ὄντων φύσιν ἰδεῖν καὶ δρᾶσαι τὰ ἀκόλουθα πρὸς τὴν τῶν ἀρίστων βίων, θεωρητικοῦ τε καὶ πρακτικοῦ, τελείωσιν, ὧν ὁ τυχὼν ἐστιν εὐθὺς εὐδαίμων. Ἔνιοι μὲν οὖν τὰ ἐλπίδος σπέρματα ἢ ὡς πολέμιοι τὰς ἐν τῇ ψυχῇ κακίας ζωπυρήσαντες ἐνέπρησαν, ἢ ὡς ἀμελεῖς τέχνης τῆς γεωργικῆς ὑπὸ ῥᾳθυμίας διέφθειραν. Εἰσὶ δὲ οἳ καὶ δόξαντες ἐπιμεμελῆσθαι, φιλαυτίαν πρὸ εὐσεβείας ἀσπασάμενοι, τὰς αἰτίας τῶν κατορθωμάτων ἀνέθηκαν ἑαυτοῖς. Ὑπαίτιοι δὲ πάντες οὗτοι· μόνος δὲ ἀποδοχῆς ἄξιος ὁ ἀναθεὶς τὴν ἐλπίδα θεῷ, καὶ ὡς αἰτίῳ τῆς γενέσεως αὐτῆς, καὶ ὡς ἀσινῆ καὶ ἀδιάφθορον ἱκανῷ μόνῳ διαφυλάξαι. Τί οὖν ἆθλον πρόκειται τῷ στεφανωθέντι τὸν ἀγῶνα τοῦτον; Τὸ μικτὸν ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως ζῷον ὁ ἄνθρωπος, οὔθ' ὁ αὐτός, οὔθ' ἕτερος ὢν τοῦ λαβόντος. Τοῦτον Χαλδαῖοι μὲν προσονομάζουσιν Ἐνώς, ὃς εἰς Ἑλλάδα γλῶτταν μεταληφθείς ἐστιν ἄνθρωπος, τὸ κοινὸν ὄνομα τοῦ γένους ἴδιον λαβών· ἆθλον ἐξαίρετον, ὡς δέον μηδένα νομίζεσθαι τὸ παράπαν ἄνθρωπον, ὃς ἂν μὴ ἐπὶ θεὸν ἐλπίζῃ.

*Alterum praemium est poenitentia, quae in migratione et solitudine acquiritur.*

3. Μετὰ δὲ τὴν ἐλπίδος νίκην ἀγὼν δεύτερός ἐστιν, ἐν ᾧ μετάνοια ἀγωνίζεται, τῆς μὲν ἀτρέπτου καὶ ἀμεταναοήτου καὶ ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐχούσης φύσεως ἀμοιρήσασα, ζήλῳ δὲ καὶ ἔρωτι τοῦ βελτίονος ἐξαίφνης κατασχεθεῖσα, καὶ σπεύδουσα καταλιπεῖν μὲν τὴν σύν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τροφον πλεονεξίαν καὶ ἀδικίαν, μεθορμίσασθαι δὲ πρὸς σωφροσύνην καὶ δικαιοσύνην καὶ τὰς ἄλλας ἀρετάς. Ἆθλα γὰρ ταῦτα προτίθεται διττὰ ἐπὶ διττοῖς κατορθώμασιν, ἀπολείψει μὲν αἰσχρῶν, αἱρέσει δὲ τῶν καλλίστων. Τὰ δὲ ἆθλα ἀποικία καὶ μόνωσις. Φησὶ [*] γὰρ ἐπὶ τοῦ τὰς μὲν τοῦ σώματος νεωτεροποιΐας ἀποδράντος, αὐτομολήσαντος δὲ πρὸς ψυχήν· „Οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ θεός.“ Αἰνίττεται δὲ καὶ ἐναργῶς, διὰ μὲν τῆς μεταθέσεως τὴν ἀποικίαν, διὰ δὲ τοῦ μὴ εὑρίσκεσθαι τὴν μόνωσιν· καὶ σφόδρα οἰκείως. Εἰ γὰρ τῷ ὄντι ἐπάνω τῶν παθῶν ἀψευδῶς ἔγνωκεν ἵστασθαι ἄνθρωπος, καταφρονήσας ἡδονῶν καὶ ἐπιθυμιῶν, εὐτρεπιζέσθω φεύγων ἀμεταστρεπτὶ καὶ οἶκον καὶ πατρίδα καὶ συγγενεῖς καὶ φίλους· ὁλκὸν γὰρ ἡ συνήθεια, ὡς δέος εἶναι, μὴ καταμείνας ἁλῷ, τοσούτοις ἐν κύκλῳ φίλτροις ἀποληφθείς, ὧν αἱ φαντασίαι τὴν ἐγγενομένην ἡσυχίαν τῶν αἰσχρῶν ἐπιτηδευμάτων πάλιν ἀνακινήσουσι καὶ μνήμας ἐναύλους, ὧν ἐπιλελῆσθαι καλὸν ἦν, ἐνεργάσονται. Πολλοὶ γοῦν ἀποδημίαις ἐσωφρονίσθησαν, ἔρωτας ἐκμανεῖς καὶ λελυττηκότας θεραπευθέντες, οὐκέτι τῆς ὄψεως χορηγεῖν δυναμένης τῷ πάθει τῆς ἡδονῆς τὰ εἴδωλα· τῇ γὰρ διαζεύξει κατὰ κενοῦ βαίνειν ἀνάγκη, μηκέτι παρόντος ὑφ᾽ οὗ διερεθισθήσεται. Καὶ ἂν μεταναστῇ μέντοι, τοὺς τῶν πολλῶν θιάσους ἐκτρεπέσθω, μόνωσιν ἀσπαζόμενος· πέφυκε γὰρ καὶ ἐπὶ τῆς ἀλλοδαπῆς ὅμοια τοῖς οἴκοι δίκτυα, οἷς ἀνάγκη περιπείρεσθαι τοὺς ἀπροόπτως ἔχοντας καὶ ταῖς τῶν πολλῶν χαίροντας ὁμιλίαις. Ὅ τι γὰρ ἄτακτον, ἄκοσμον, πλημμελές, ὑπαίτιον, τοῦτο ὄχλος ἐστί, μεθ᾽ οὗ φέρεσθαι τῷ νῦν πρῶτον μετοικισαμένῳ πρὸς ἀρετὴν ἀλυσιτελέστατον. Ὡς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ τοῖς ἐκ νόσου μακρᾶς ἀρχομένοις ἀναλαμβάνειν εὐάλωτά πώς ἐστι τὰ σώματα, οὕτω καὶ ψυχῇ ὑγιαζομένῃ πλαδῶσιν οἱ νοεροὶ τόνοι καὶ κραδαίνονται, ὡς δέος εἶναι, μὴ παλινδρομήσῃ τὸ πάθος, ὃ πέφυκεν ἐκ τῆς εἰκαιοτέρων συνδιαιτήσεως ἀνερεθίζεσθαι.

*Tertium praemium est iustitia (Noë).*

4. Μετὰ δὲ τοὺς τῆς μετανοίας ἀγῶνας τρίτα ἆθλα τίθεται δικαιοσύνης, ἧς ὁ μεταποιησάμενος λαμβάνει γέρα διττά· τὸ μὲν σωτήριον ἐν κοινῇ φθορᾷ, τὸ δὲ ταμίαν καὶ φύλακα γενέσθαι ἑκάστης ζώων ἰδέας ἡρμοσμένων ζυγάδην εἰς δευτέραν γένεσιν ἀντὶ τῆς ἀπολλυμένης. Ἠξίωσε γὰρ ὁ ποιητὴς τὸν αὐτὸν καὶ τέλος γενέσθαι τῆς κατακρίτου γενεᾶς καὶ ἀρχὴν τῆς ἀνυπαιτίου, διδάσκων τοὺς ἀπρονόητον εἶναι τὸν κόσμον λέγοντας, ἔργοις, οὐ ῥήμασιν, ὅτι, καθ' ὃν εἰσηγήσατο νόμον ἐν τῇ φύσει τῶν ὅλων, αἱ σύμπασαι μυριάδες ἀνθρώπων [*] μετὰ ἀδικίας ζήσασαι ἑνὸς ἀνδρὸς οὐκ ἄξιαι δικαιοσύνῃ συμβιοῦντος. Τοῦτον Ἕλληνες μὲν Δευκαλίωνα, Χαλδαῖοι δὲ Νῶε ἐπονομάζουσιν, ἐφ' οὗ τὸν μέγαν κατακλυσμὸν συνέβη γενέσθαι.

*Alter praemiorum ternio isque praestantior.*

Μετὰ δὲ τὴν τριάδα ταύτην ἑτέρα τριὰς ὁσιωτέρα καὶ θεοφιλεστέρα γίνεται, μιᾶς συγγενείας. Πατὴρ γὰρ καὶ υἱὸς καὶ υἱωνὸς ἐπὶ τὸ αὐτὸ τέλος ἔσπευσαν τοῦ βίου τῷ ποιητῇ καὶ πατρὶ τῶν ὅλων εὐαρεστῆσαι, καταφρονήσαντες μὲν ὧν θαυμάζουσιν οἱ πολλοί, δόξης καὶ πλούτου καὶ ἡδονῆς, γελάσαντες δὲ καὶ τῦφον, ὃς ἐκ ψευσμάτων ἀεὶ συνυφαίνεται καὶ καταποικίλλεται πρὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀπάτην τῶν ὁρώντων. Οὗτός ἐστιν ὁ γόης, ὁ τὰ ἄψυχα θεοπλαστῶν, ὁ μέγας καὶ δυςάλωτος ἐπιτειχισμός, οὗ τοῖς σοφίσμασι καὶ στρατηγήμασι πᾶσα πόλις δελεάζεται, προκαταλαμβάνοντος τὰς τῶν νέων ψυχάς· εἰςοικισάμενος γὰρ ἐκ πρώτης ἡλικίας ἄχρι γήρως ἐνιδρύεται, πλὴν οἷς ἂν ὁ θεὸς αὐγὴν ἐπιλάμψῃ τῆς ἀληθείας. Ἀληθεία δὲ τῦφος ἀντίπαλον, ὃς μόγις μέν, ἀλλ' οὖν κραταιοτέρᾳ δυνάμει νικηθεὶς ὑπεξίσταται. Τοῦτο δὲ τὸ γένος ἀριθμῷ μέν ἐστιν ὀλίγον, δυνάμει δὲ πολὺ καὶ μέγιστον, ὡς μηδ' ἅπαντα τῆς γῆς κύκλον αὐτὸ χωρεῖν δύνασθαι, φθάνει δὲ εἰς οὐρανόν· καὶ γὰρ τοῦ θεωρεῖν ἔρωτι καὶ τοῖς θείοις ἀεὶ συνεῖναι κατεσχημένον ἀλέκτῳ τὴν ὁρατὴν ὅταν ἅπασαν φύσιν διερευνήσῃ καὶ διεξέλθῃ, πρὸς τὴν ἀσώματον καὶ νοητὴν εὐθὺς μέτεισιν, οὐδεμίαν τῶν αἰσθήσεων ἐπαγόμενον, ἀλλ' ὅσον μὲν τῆς ψυχῆς ἄλογον μεθιέμενον, τῷ δὲ ὃ κέκληται νοῦς καὶ λογισμὸς μόνῳ προςχρώμενον. Ὁ μὲν οὖν ἡγεμὼν τῆς θεοφιλοῦς δόξης, ὁ πρῶτος ἐκ τύφου μεθορμισάμενος πρὸς ἀλήθειαν, διδακτικῇ χρησάμενος ἀρετῇ πρὸς τελείωσιν, ἆθλον αἱρεῖται τὴν πρὸς τὸν θεὸν πίστιν· τῷ δὲ κατ' εὐμοιρίαν φύσεως αὐτήκοον καὶ αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ τὴν ἀρετὴν βραβεῖον ἀναδίδοται χαρά· τοῦ δὲ ἀσκητοῦ καὶ πόνοις ἀτρύτοις καὶ ἀκαμπέσι περιποιησαμένου τὸ καλὸν ὁ στέφανός ἐστιν ὅρασις θεοῦ. Τοῦ δὲ πιστεύειν θεῷ καὶ διὰ παντὸς τοῦ βίου χαίρειν καὶ ὁρᾶν ἀεὶ τὸ ὂν τί ἂν ὠφελιμώτερον ἢ σεμνότερον ἐπινοήσειέ τις;

1) *Fides Deo habita i. e. Abrahamus.* 2) *Gaudium i. e. Isaac.*

5. Ἐπαυγασόμεθα δὲ αὐτῶν ἕκαστον ἀκριβέστερον,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ τοῖς ὀνόμασι παραχθέντες, ἀλλὰ διακύψαντες εἴσω καὶ ταῖς διανοίαις ἐμβαθύναντες. Ὁ μὲν τοίνυν ἀψευδῶς πιστεύσας θεῷ τὴν ἐν τοῖς ἄλλοις ὅσα γεννητὰ καὶ φθαρτὰ κατείληφεν ἀπιστίαν, ἀρξάμενος δὲ ἀπὸ τῶν ἐν αὐτῷ μέγα πνεόντων, λογισμοῦ τε καὶ αἰσθήσεως· ἑκατέρῳ γὰρ ἴδιον [*] συνέδριον καὶ δικαστήριον προςκεκλήρωται, τῷ μὲν εἰς τὴν τῶν νοητῶν ἐπίσκεψιν, οὗ τέλος ἀλήθεια, τῇ δὲ εἰς τὴν τῶν ὁρατῶν, οὗ τέλος δόξα. Τὸ μὲν οὖν ἀνίδρυτον καὶ πεπλανημένον δόξης ἐνθένδε δῆλον· εἰκόσι γὰρ καὶ πιθανοῖς ἐφορμεῖ. Πᾶσα δὲ εἰκὼν ὁμοιότητος εὐπαραγώγου ψεύδεται τὸ ἀρχέτυπον. Ὅ τε ἡγεμὼν αἰσθήσεως λογισμός, τὰς κρίσεις οἰόμενος ἀνῆφθαι τῶν νοητῶν καὶ κατὰ τὰ αὐτὰ καὶ ὡςαύτως ἐχόντων, ἁλίσκεται περὶ πολλὰ κηραίνων· ὅταν γὰρ μυρίοις οὖσι τοῖς κατὰ μέρος ποιῆται τὰς προςβολάς, ἀδυνατεῖ καὶ ἐξασθενεῖ καὶ ἀπαγορεύει, καθάπερ ἀθλητὴς ὑπὸ ῥώμης δυνατωτέρας ἐκτραχηλιζόμενος. Ὅτῳ δὲ ἐξεγένετο πάντα μὲν σώματα, πάντα δὲ ἀσώματα ὑπεριδεῖν καὶ ὑπερκῦψαι, μόνῳ δὲ ἐπερείσασθαι καὶ στηρίσασθαι θεῷ μετ᾽ ἰσχυρογνώμονος λογισμοῦ καὶ ἀκλινοῦς καὶ βεβαιοτάτης πίστεως, εὐδαίμων καὶ τριςμακάριος οὗτος ἀληθῶς. Μετὰ πίστιν προέκειτο τῷ περιποιουμένῳ τὴν ἀρετὴν ἐκ φύσεως ἀπονιτὶ καὶ νικηφορήσαντι χαρὰ τὸ ἆθλον. Ὠνομάσθη γάρ, ὡς μὲν ἂν εἴποιεν Ἕλληνες, γέλως, ὡς δὲ Χαλδαῖοι προςονομάζουσιν, Ἰσαάκ. Γέλως δὲ σημεῖον ἐπὶ τοῦ σώματος ἀφανοῦς τῆς κατὰ διάνοιαν χαρᾶς ἐστί. Χαρὰν δὲ τῶν εὐπαθειῶν ἀρίστην καὶ καλλίστην εἶναι συμβέβηκεν, ὑφ᾽ ἧς ὅλη δι᾽ ὅλων εὐθυμίας ἡ ψυχὴ καταπίμπλαται, γεγηθυῖα μὲν ἐπὶ τῷ πατρὶ καὶ ποιητῇ τῶν ἁπάντων θεῷ, γεγηθυῖα δὲ καὶ ἐπὶ τοῖς ἄνευ κακίας

δρωμένοις, καὶ ἂν μὴ τυγχάνῃ καθ' ἡδονὴν ὄντα, ὡς καλῶς γινομένοις, καὶ ἐπὶ τῇ τῶν ὅλων διαμονῇ. Καθάπερ γὰρ ἰατρὸς μὲν ἐν ταῖς μεγάλαις καὶ ἐπισφαλέσι νόσοις ἔστιν ὅτε σωμάτων μέρη ἀφαιρεῖ, στοχαζόμενος τῆς τοῦ λοιποῦ σώματος ὑγείας, κυβερνήτης δὲ χειμώνων ἐπιγινομένων ἀποφορτίζεται, προνοίᾳ τῆς τῶν ἐμπλεόντων σωτηρίας, καὶ μέμψις οὔτε τῷ ἰατρῷ τῆς πηρώσεως, οὔτε τῷ κυβερνήτῃ τῆς ἀποβολῆς ἕπεται, τὸ ἐναντίον δὲ ἔπαινος ἑκατέρῳ, τὸ συμφέρον πρὸ τοῦ ἡδέος ἰδόντι καὶ κατορθώσαντι· τὸν αὐτὸν τρόπον καὶ τὴν τῶν ὅλων φύσιν ἀεὶ θαυμαστέον καὶ τοῖς ἐν τῷ κόσμῳ πραττομένοις ἅπασιν ἄνευ τῆς ἑκουσίου κακίας εὐαρεστητέον, ἐξετάζοντας, οὐκ εἴ τι μὴ καθ' ἡδονὴν συμβέβηκεν, ἀλλ' εἰ τρόπον εὐνόμου πόλεως ὁ κόσμος ἡνιοχεῖταί τε σωτηρίως καὶ κυβερνᾶται. Μακάριος οὖν καὶ οὗτος οὐχ ἧττον τοῦ προτέρου, ἐννοίας καὶ κατηφείας ἀμέτοχος ὤν, ἄλυπόν τε καὶ ἄφοβον ζωὴν καρπούμενος, αὐχμηροῦ καὶ αὐστηροῦ βίου μηδ' ὄναρ προσαψάμενος, διὰ τὸ [*] πάντα τόπον τῆς ψυχῆς αὐτῷ χαρᾷ προκατέχεσθαι.

3) *Visio Dei* (*i. e. Israel*) *idque praemium summum* (6). *Deus autem non cognoscitur, qualis sit, sed esse eum* (7).

6. Μετὰ τὸν αὐτομαθῆ δὲ καὶ πλουσίῳ χρησάμενον τῇ φύσει τρίτος ὁ ἀσκητὴς τελειοῦται, λαμβάνων γέρας ἐξαίρετον, ὅρασιν θεοῦ. Πάντων γὰρ τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἐφαψάμενος καὶ πᾶσιν ἐνομιλήσας οὐ παρέργως, καὶ μηδένα πόνον ἢ κίνδυνον παρελθών, εἴπως δυνηθείη τὴν ἀξιέραστον ἀλήθειαν ἰχνηλατῆσαι, παρὰ τῷ θνητῷ βίῳ καὶ γένει πολὺν ζόφον ἀνεύρισκε κατὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα καὶ αἰθέρα. Καὶ γὰρ ὁ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

***αἰθὴρ καὶ ὁ σύμπας οὐρανὸς νυκτὸς αὐτῷ παρεῖχε φαντασίαν, ἐπειδὴ πᾶσα ἡ αἰσθητὴ φύσις ἀόριστος· τὸ δὲ ἀόριστον ἀδελφὸν σκότους καὶ συγγενές. Καταμύσας γοῦν τὸ τῆς ψυχῆς ὄμμα τὸν ἔμπροσθεν αἰῶνα τοῖς συνεχέσιν ἄθλοις μόγις ἤρξατο διοίγνυσθαι καὶ τὴν ἐπισκοτήσασαν διακρίνειν καὶ ἀποβάλλειν ὀχλύν· καθαρωτέρα γὰρ αἰθέρος ἀσώματος ἐξαίφνης ἐπιλάμψασα αὐγὴ τὸν νοητὸν κόσμον ἀνέφηνεν ἡνιοχούμενον. Ὁ δὲ ἡνίοχος, ἀκράτῳ φέγγει περιλαμπόμενος ἐν κύκλῳ, δυσόρατος καὶ δυστόπαστος ἦν, ταῖς μαρμαρυγαῖς τῆς ὄψεως ἀμυδρουμένης. Ἡ δέ, καίτοι πολλοῦ ῥέοντος εἰς αὐτὴν πυρός, ἀντεῖχεν ἔρωτι ἐκτόπῳ τοῦ θεάσασθαι. Γνήσιον δὲ ἵμερον καὶ πόθον ἰδὼν ὁ πατὴρ ἠλέησε, καὶ κράτος δοὺς τῇ τῆς ὄψεως προσβολῇ τῆς ἑαυτοῦ θέας οὐκ ἐφθόνησε, καθ' ὅσον οἷόν τε ἦν χωρῆσαι γεννητὴν καὶ θνητὴν φύσιν, οὐχὶ τῆς ὅ ἐστιν ἐμφαινούσης, ἀλλὰ τῆς ὅτι ἔστιν. Ἐκεῖνο μὲν γάρ, ὃ καὶ ἀγαθοῦ κρεῖττον καὶ μονάδος πρεσβύτερον καὶ ἑνὸς εἰλικρινέστερον, ἀμήχανον ὑφ' ἑτέρου τινὸς θεωρεῖσθαι, διότι μόνον θέμις αὐτὸν ὑφ' αὐτοῦ καταλαμβάνεσθαι.***

***7. Τὸ δὲ ὅτι ἔστιν, ὑπάρξεως ὀνόματι καταληπτὸν ὄν, ἢ οὐ πάντες, ἢ οὐχ ὁδῷ τῇ βελτίονι καταλαμβάνουσιν· ἀλλ' οἱ μὲν ἄντικρυς ἀπεφήναντο μηδ' ὅλως εἶναι τὸ θεῖον· οἱ δὲ ἐνεδοίασαν ἐπαμφοτερίσαντες, ὡς οὐκ ἔχοντες εἰπεῖν, εἴτε ἔστιν, εἴτε μή· οἱ δὲ καί, ἔθει μᾶλλον ἢ λογισμῷ τὰς περὶ ὑπάρξεως θεοῦ κομίσαντες ἐννοίας παρὰ τῶν τρεφόντων, ἔδοξαν εὐστόχως εὐσεβεῖν, δεισιδαιμονίᾳ τὴν εὐσέβειαν ἐγχαράξαντες. Εἰ δέ τινες καὶ δι' ἐπιστήμης ἴσχυσαν φαντασιωθῆναι τὸν ποιητὴν καὶ ἡγεμόνα τοῦδε τοῦ παντός, — τὸ λεγόμενον δὴ τοῦ-***

το — κάτωθεν ἄνω προῆλθον. Ὥσπερ γὰρ εἰς εὔνομον πόλιν, τόνδε τὸν κόσμον, παρελθόντες καὶ θεασάμενοι γῆν μὲν ἑστῶσαν, ὀρεινὴν καὶ πεδιάδα, σπαρτῶν καὶ δένδρων καὶ καρπῶν, ἔτι δὲ καὶ ζώων παντοίων [*] ἀνάπλέων, ἐπὶ δὲ αὐτῆς ἀνακεχυμένα πελάγη καὶ λίμνας καὶ ποταμοὺς αὐθιγενεῖς τε καὶ χειμάῤῥους, καὶ πνευμάτων καὶ ἀέρος εὐκρασίας, καὶ τῶν ἐτησίων ὡρῶν τὰς ἐναρμονίους μεταβολάς, καὶ ἐπὶ πᾶσιν ἥλιον καὶ σελήνην, πλανήτας καὶ ἀπλανεῖς ἀστέρας, καὶ τὸν σύμπαντα οὐρανὸν ἐν τάξεσι μετὰ τῆς οἰκείας στρατιᾶς, κόσμον ἀληθινὸν ἐν κόσμῳ περιπολοῦντα, θαυμάσαντες καὶ καταπλαγέντες εἰς ἔννοιαν ἦλθον ἀκόλουθον τοῖς φανεῖσιν, ὅτι ἄρα τοσαῦτα κάλλη καὶ οὕτως ὑπερβάλλοντα τάξει οὐκ ἀπαυτοματισθέντα γένονεν, ἀλλ᾽ ὑπό τινος δημιουργοῦ κοσμοποιοῦ, καὶ ὅτι πρόνοιαν ἀναγκαῖον εἶναι· νόμος γὰρ φύσεως ἐπιμελεῖσθαι τὸ πεποιηκὸς γεγονότος. Ἀλλ᾽ οὗτοί γε θεσπέσιοι καὶ τῶν ἄλλων διενηνοχότες, ὥσπερ ἔφην, κάτωθεν ἄνω προῆλθον, οἷα διά τινος οὐρανίου κλίμακος ἀπὸ τῶν ἔργων εἰκότι λογισμῷ στοχασάμενοι τὸν δημιουργόν. Εἰ δέ τινες ἠδυνήθησαν αὐτὸν ἐξ ἑαυτοῦ καταλαβεῖν, ἑτέρῳ μηδενὶ χρησάμενοι λογισμῷ συνεργῷ πρὸς τὴν θέαν, ἐν ὁσίοις καὶ γνησίοις θεραπευταῖς καὶ θεοφιλέσιν ὡς ἀληθῶς ἀναγραφέσθωσαν. Τούτων ἐστὶν ὁ Χαλδαϊστὶ μὲν προσαγορευόμενος Ἰσραήλ, Ἑλληνιστὶ δὲ ὁρῶν θεόν, οὐχ οἷός ἐστιν ὁ θεός — τοῦτο γὰρ ἀμήχανον, ὡς ἔφην —, ἀλλ᾽ ὅτι ἔστιν, οὐ παρ᾽ ἑτέρου τινὸς μαθών, οὐχὶ τῶν κατὰ γῆν, οὐχὶ τῶν κατ᾽ οὐρανόν, οὐχὶ τῶν ὅσα στοιχεῖα ἢ συγκρίματα, θνητά τε αὖ καὶ ἀθάνατα, ἀλλὰ παρ᾽ αὐτοῦ μόνου καταβιβασθείς, τὴν ἰδίαν ὕπαρξιν ἀναφῆναι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*θελήσαντος ἱκέτῃ. Πῶς δὲ ἡ προσβολὴ γένονεν, ἄξιον διά τινος εἰκόνος ἰδεῖν. Τὸν αἰσθητὸν τοῦτον ἥλιον μὴ ἑτέρῳ τινὶ θεωροῦμεν ἢ ἡλίῳ; τὰ δὲ ἄστρα μὴ τισιν ἄλλοις ἢ ἄστροις θεωροῦμεν; καὶ συνόλως τὸ φῶς ἆρ' οὐ φωτὶ βλέπεται; Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ θεός, ἑαυτοῦ φέγγος ὤν, δι' αὐτοῦ μόνου θεωρεῖται, μηδενὸς ἄλλου συνεργοῦντος ἢ δυναμένου συνεργῆσαι πρὸς τὴν εἰλικρινῆ κατάληψιν τῆς ὑπάρξεως αὐτοῦ. Στοχασταὶ μὲν οὖν οἱ ἀπὸ τῶν γεγονότων τὸν ἀγέννητον σπεύδοντες θεωρεῖν, ὅμοιόν τι δρῶντες τοῖς ἀπὸ δυάδος μονάδος φύσιν ἐρευνῶσιν, δέον ἔμπαλιν ἀπὸ μονάδος — ἀρχὴ γὰρ αὕτη — δυάδα σκοπεῖν. Ἀλήθειαν δὲ μετίασιν οἱ τὸν θεὸν θεῷ φαντασιωθέντες, φωτὶ φῶς.*

*Aliud Israelis praemium est latitudinis torpor (πλάτους νάρκα) i. e. fastus contractio s. inhibitio. — Ternionis summa.*

8. *Τὸ μὲν οὖν μέγιστον ἆθλον εἴρηται. Πρὸς δὲ τούτοις λαμβάνει βραβεῖον ὁ ἀσκητής, λεχθῆναι μὲν οὐκ εὔφημον, νοηθῆναι δὲ ἄριστον· ὀνομάζεται δὲ τὸ βραβεῖον Πλάτους νάρκα* (Genes. 32, 26) *συμβολικῶς. Ἀλαζονεία γὰρ καὶ ὑπεροψία* [*] *διὰ τοῦ πλάτους ἐμφαίνεται, χεομένης τῆς ψυχῆς ἄμετρον ἐφ' ἃ μὴ δεῖ χύσιν· διὰ δὲ τῆς νάρκης, μετεώρου καὶ πεφυσημένου πράγματος, οἰήσεως συστολή. Σύμφορον δὲ οὐδὲν οὕτως, ὡς τὸ κεχαλασμένον καὶ ἀνειμένον τῶν ὁρμῶν ἀνακοπῆναί τε καὶ ναρκῆσαι πυρεθὲν τοὺς πνευματικοὺς τόνους, ἵνα ἡ τῶν παθῶν ἄμετρος ἰσχὺς ἐξασθενήσασα πλάτος ἐμπαράσχῃ ψυχῆς τῷ βελτίονι μέρει. — Προσεξεταστέον δέ, ὅτι καὶ οἰκειότατον ἑκάστῳ τῶν τριῶν ἀπονεμήθη τὸ ἆθλον.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τῷ μὲν γὰρ ἐκ διδασκαλίας τελειωθέντι πίστις, ἐπειδὴ τὸν μανθάνοντα πιστεῦσαι δεῖ τῷ διδάσκοντι, περὶ ὧν ὑφηγεῖται· δύσκολον γάρ, μᾶλλον δὲ ἀδύνατον ἀπιστοῦντα παιδευθῆναι. Τῷ δὲ κατ' εὐμοιρίαν φύσεως ἐπ' ἀρετὴν φθάσαντι χαρά· χαρτὸν γὰρ ἡ εὐφυΐα καὶ τὰ φύσεως δῶρα, τῆς διανοίας εὐθηξίαις καὶ εὐσκόποις ἐπιβολαῖς προσγανουμένης, ἐν οἷς ἀπόνως εὑρίσκει τὰ ζητούμενα, καθάπερ ὑποβολέως ἔνδοθεν ὑπηχοῦντος· ἡ γὰρ σύντομος τῶν ἀπορουμένων εὕρεσις χαρτόν. Τῷ δὲ δι' ἀσκήσεως περιποιησαμένῳ φρόνησιν ὅρασις· μετὰ γὰρ τὸν ἐν νεότητι πρακτικὸν βίον ὁ ἐν γήρᾳ θεωρητικός, ἄριστος καὶ ἱερώτατος, ὃν οἷα κυβερνήτην ἄνωθεν παραπέμψας ἐπὶ πρύμναν ὁ θεὸς ἐνεχείρισε τοὺς οἴακας ὡς ἱκανῷ πηδαλιουχεῖν τὰ ἐπίγεια. Χωρὶς γὰρ θεωρίας ἐπιστημονικῆς οὐδὲν τῶν πραττομένων καλόν.

*Mosis praemia: βασιλεία, νομοθεσία, προφητεία, ἀρχιερωσύνη.*

9. Ἑνὸς ἔτι μνησθεὶς ἀνδρός, στοχαζόμενος τοῦ μὴ μακρηγορεῖν, ἐπὶ τὰ ἀκόλουθα τῶν λόγων τρέψομαι. Ὁ δὲ ἀνὴρ οὗτος τοὺς ἱεροὺς ἀγῶνας στεφανωθεὶς ἐκηρύχθη. Λέγω δὲ ἱερούς, οὐ τοὺς παρ' ἄλλοις νομιζομένους — ἀνίεροι γὰρ οὗτοί γε, βίαις καὶ ὕβρεσι καὶ ἀδικίαις ἀντὶ τῶν ἀνωτάτω τιμωριῶν γέρα καὶ τιμὰς προτείνοντες — ἀλλ' οὓς ἡ ψυχὴ πέφυκε διαθλεῖν, φρονήσει μὲν ἠλιθιότητα καὶ πανουργίαν ἐλαύνουσα, σωφροσύνῃ δὲ ἀσωτίαν καὶ φειδωλίαν, ἀνδρίᾳ δὲ θρασύτητα καὶ δειλίαν, καὶ ταῖς ἄλλαις ἀρεταῖς τὰς ἀντιθέτους κακίας, αἳ μήθ' ἑαυταῖς μήτ' ἄλλαις συμφέρονται. Πᾶσαι μὲν οὖν αἱ ἀρεταὶ παρθένοι, καλλιστεύει δὲ ὡς ἐν χορῷ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παραλαβοῦσα τὴν ἡγεμονίαν ἡ εὐσέβεια καὶ δικαιοσύνη, ἣν ἐκληρώσατο διαφερόντως ὁ θεολόγος Μωσῆς. Διὸ μετὰ μυρίων ἄλλων, ἅπερ ἐν τοῖς γραφεῖσι περὶ τοῦ κατ' αὐτὸν βίου μεμήνυται, τεττάρων ἄθλων ἐξαιρέτων τυγχάνει, τυχὼν βασιλείας, νομοθεσίας, προφητείας, ἀρχιερωσύνης. Βασιλεύς τε γὰρ γέγονεν, οὐκ ἔθει τῷ καθεστῶτι μετὰ [*] στρατιᾶς τε καὶ ὅπλων, ναυτικῆς τε καὶ πεζικῆς καὶ ἱππικῆς δυνάμεως, ἀλλ' ὑπὸ θεοῦ χειροτονηθεὶς ἑκουσίῳ γνώμῃ τῶν ἀρχομένων, ὃς τοῖς ὑπηκόοις ἐνειργάσατο τὴν εἰς τὸ ἑκούσιον αἵρεσιν. Ἄναυδος γὰρ καὶ ἀνακούσιος καὶ ἀκτήμων καὶ ἀχρήματος μόνος οὗτος βασιλεὺς ἡμῖν ἀνεγράφη, πρὸ τυφλοῦ τὸν βλέποντα πλοῦτον ἀσπασάμενος, καί, εἰ δεῖ μηδὲν ὑποστειλάμενον εἰπεῖν, τὸν θεοῦ κλῆρον ἰδίαν οὐσίαν ὑπολαμβάνων. Ὁ δὲ αὐτὸς γίνεται καὶ νομοθέτης· δεῖ γὰρ τὸν βασιλέα προστάττειν καὶ ἀπαγορεύειν. Νόμος δὲ οὐδέν ἐστιν ἕτερον ἢ λόγος προστάττων ἃ χρή, καὶ ἀπαγορεύων ἃ μὴ χρή. Ἐπεὶ δὲ ἄδηλον τὸ ἐν ἑκατέρῳ συμφέρον — ἀγνοίᾳ γὰρ πολλάκις κελεύομεν ἃ μὴ δεῖ, καὶ ἀπαγορεύομεν ἃ δεῖ πράττειν — οἰκεῖον ἦν λαβεῖν τρίτον, προφητείαν, εἰς τὸ ἄπταιστον· ἑρμηνεὺς γάρ ἐστιν ὁ προφήτης ἔνδοθεν ὑπηχοῦντος τὰ λεκτέα τοῦ θεοῦ, παρὰ δὲ θεῷ οὐδὲν ὑπαίτιον. Τέταρτον δὲ ἀρχιερωσύνην, δι' ἧς προφητεύων ἐπιστημονικῶς θεραπεύσει τὸ Ὂν καὶ τὰς τῶν ὑπηκόων κατορθούντων μὲν εὐχαριστίας, εἰ δὲ διαμαρτάνοιεν, εὐχὰς καὶ ἱκεσίας ἱλασκόμενος ποιήσεται. Ταῦτα μιᾶς ὄντα ἰδέας ἀλληλουχεῖν ὀφείλει τῆς ἁρμονίας δεσμοῖς ἑνωθέντα καὶ περὶ τὸν αὐτὸν ἐξετάζεσθαι, ὡς ὅγε τινὸς τῶν τεττάρων ὑστερίζων ἀτελὴς εἰς ἡγεμονίαν, χωλὴν ἀνημμένος κοινῶν πραγμάτων ἐπιμέλειαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Gentis israeliticae praemium est principatus* (10). *Sensus mysticus* (11).

10. Ἅλις μὲν δὴ τῶν καθ᾽ ἕκαστον ἄνδρα τιθεμένων ἄθλων. Τίθεται δὲ καὶ ὅλοις οἴκοις καὶ πολυανθρώποις συγγενείαις. Αὐτίκα τοῦ ἔθνους εἰς δώδεκα φυλὰς διανεμηθέντος ἰσάριθμοι ταῖς φυλαῖς εἰσὶν ἡγεμόνες, οὐ μόνον μιᾶς οἰκίας ἢ συγγενείας, ἀλλὰ καὶ γνησιωτέρας οἰκειότητος. Ἀδελφοὶ γὰρ ὁμοπάτριοι πάντες. Ὁ δὲ τούτων πάππος καὶ πρόπαππος σὺν τῷ πατρὶ γεγόνασιν ἀρχηγέται τοῦ ἔθνους. Ὁ μὲν οὖν πρῶτος πρὸς ἀλήθειαν ἐκ τύφου μεταθέμενος καὶ τῆς ἐν τοῖς μαθήμασι Χαλδαϊκῆς τερθρείας ὑπεριδὼν ἕνεκα τελειοτέρας ὄψεως, ἣν θεασάμενος θελχθεὶς ἠκολούθησε τῇ φαντασίᾳ, καθάπερ τὸν σίδηρόν φασιν ὑπὸ λίθου τῆς μαγνήτιδος ἕλκεσθαι, ἀντὶ σοφιστοῦ γενόμενος ἐκ διδασκαλίας σοφός. Οὗτος πολλοὺς μὲν ἔσχε παῖδας, ἅπαντας δὲ οὐ καλοὺς πλὴν ἑνὸς ἀνυπαιτίου, ᾧ τὰ πείσματα τοῦ γένους ἐκδησάμενος ἀσφαλῶς ἐνωρμίσατο. Τῷ δὲ υἱῷ πάλιν, αὐτομαθῆ καὶ αὐτοδίδακτον κτησαμένῳ φύσιν, δύο συνέβη παῖδας γενέσθαι· τὸν μὲν ἄγριον καὶ ἀτίθασσον, θυμοῦ γέμοντα καὶ ἐπιθυμίας, καὶ συνόλως τὸ τῆς ψυχῆς ἄλογον μέρος ἐπιτετειχικότα τῷ λογικῷ, τὸν δὲ ἥμερον καὶ φιλάνθρωπον καλοκἀγαθίας [*] ἐργάτην, ἰσότητός τε καὶ ἀτυφίας ἐν τῇ βελτίονι τεταγμένον τάξει, λογισμοῦ προαγωνιστήν, ἀφροσύνης ἀντίπαλον. Οὗτός ἐστιν ὁ τρίτος τῶν ἀρχηγετῶν, ὁ πολύπαις τε καὶ μόνος εὔτεκνος, ἀσινὴς ἐν ἅπασι τοῖς μέρεσι τῆς οἰκίας, οἷά τις γεωργὸς εὐδαίμων ἅπασαν τὴν σπορὰν ἐπιδὼν σῶον ἥμερόν τε καὶ καρποφόρον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

11. Ἔχει δὲ ἕκαστος τῶν τριῶν τὴν ῥητὴν διήγησιν, σύμβολον διανοίας ἀφανοῦς, ἣν ἐπισκεπτέον. Αὐτίκα παντὶ τῷ διδασκομένῳ συμβαίνει μετιόντι εἰς ἐπιστήμην ἀπολιπεῖν ἀμαθίαν, ἀμαθία δὲ πολύχουν. Διὰ τοῦτο ὁ πρῶτος λέγεται πολύπαις μὲν, οὐδένα δὲ τῶν ἄλλων ἀξιώσας υἱὸν αὐτοῦ χρηματίζειν, πλὴν ἑνός. Τρόπον γάρ τινα καὶ ὁ μανθάνων ἀποκηρύττει τὰ τῆς ἀμαθίας ἔκγονα καὶ ὡς ἐχθρὰ καὶ δυσμενῆ παραιτεῖται. Φύσει γε μὴν πάντες οἱ ἄνθρωποι, πρὶν τελειωθῆναι τὸν ἐν αὐτοῖς λόγον, κείμεθα ἐν μεθορίῳ κακίας καὶ ἀρετῆς, πρὸς μηδέτερά πω ταλαντεύοντες. Ἐπειδὰν δὲ πτερυξάμενος ὁ νοῦς ὅλῃ τῇ ψυχῇ διὰ πάντων αὐτῆς τῶν μερῶν φαντασιωθῇ τὸ ἀγαθὸν, ἄφετος πρὸς αὐτὸ καὶ πτηνὸς ὁρμᾷ, τὸ συγγεγεννημένον ἀδελφὸν κακὸν ὀπίσω καταλιπὼν, ὃ καὶ ἀποφεύγει τὴν ἐναντίαν ὁδὸν ἀμεταστρεπτί. Τοῦτο ἔστιν ὃ αἰνίττεται φάσκων, υἱοὺς δύο γεγενῆσθαι διδύμους τῷ φύσεως εὐμοίρου λαχόντι. Παντὸς γὰρ ἀνθρώπου κατ' ἀρχὰς ἅμα τῇ γενέσει κυοφορεῖ δίδυμα ἡ ψυχὴ, κακὸν, ὡς ἔφην, καὶ ἀγαθὸν, ἑκάτερον φαντασιουμένη. Μακαρίας δὲ καὶ εὐδαίμονος ὅταν τύχῃ μερίδος, ὁλκῇ μιᾷ ῥέπει πρὸς τὸ ἀγαθὸν, μήτ' ἐπὶ θάτερόν ποτε ταλαντεύσασα, μήτ' ἐπαμφοτερίσασα πρὸς τὸ ἰσόῤῥοπον. Ἡ δὲ ἀγαθῆς μὲν φύσεως, ἀγαθῆς δὲ παιδεύσεως ἐπιλαχοῦσα, καὶ ἐκ τρίτου συνασκηθεῖσα τοῖς τῆς ἀρετῆς θεωρήμασιν, ὡς μηδὲν αὐτῶν ἐξ ἐπιπολῆς ἐπιπλαδᾶν, ἔγκολλα δὲ εἶναι καὶ ἐντετυπωμένα τὰ πάντα, καθάπερ νεύροις τισὶν ἑνωθέντα, κτᾶται μὲν ὑγείαν, κτᾶται δὲ δύναμιν, οἷς εὔχροια μὲν ἐξ αἰδοῦς, εὐεξία δὲ καὶ κάλλος ἐπιγίνεται. Γενομένη δὲ πλήρωμα ἀρετῶν ἡ ψυχὴ διὰ τριῶν τῶν ἀρίστων, φύσεως, μαθήσεως καὶ ἀσκή-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*σεως, οὐδὲν ἐν αὑτῇ καταλιποῦσα κενὸν εἰς πάροδον ἄλλων, γεννᾷ τέλειον ἀριθμόν, δυττὰς υἱῶν ἑξάδας, ἀπεικόνισμα καὶ μίμημα τοῦ ζῳδιακοῦ κύκλου, πρὸς τὴν τῶν ἐνταῦθα βελτίωσιν. Οὗτός ἐστιν ὁ ἀσινὴς οἶκος, ὁ τέλειος καὶ συνεχὴς ἐν ταῖς ῥηταῖς γραφαῖς καὶ ἐν ταῖς καθ᾿ ὑπόνοιαν ἀλληγορίαις, ὃς ἔλαβεν ἆθλον, καθάπερ εἶπον, ἡγεμονίας τῶν τοῦ ἔθνους [*] φυλῶν. Ἐκ τοῦδε οὖν τοῦ οἴκου χρόνοις εἰς πολυανθρωπίαν ἐπιδιδόντος εὔνομοι πόλεις ἐκτίσθησαν, καὶ διδασκαλία φρονήσεως καὶ δικαιοσύνης καὶ ὁσιότητος, ἐν οἷς καὶ τῆς ἄλλης ἀρετῆς μεταποίησις μεγαλοπρεπῶς διερευνᾶται.*

*Poenae: Caini fratricidae.*

12. *Τὰ μὲν οὖν ἀπονεμηθέντα πάλαι τοῖς ἀγαθοῖς ἆθλα, κοινῇ τε καὶ ἰδίᾳ, λέλεκται τυπωδέστερον, ἀφ᾿ ὧν καὶ τὰ παραλειφθέντα δύναιτο ἄν τις εὐμαρέστερον συνορᾶν. Ἑξῆς δὲ τὰς προτεθείσας τοῖς πονηροῖς κολάσεις ἐν μέρει πάλιν ἐπισκεπτέον γενικώτερον, ἐπεὶ τὰς κατὰ μέρος ἀναγράφειν οὐ καιρός. Ἐγένετό τις κατ᾿ ἀρχὰς εὐθύς, ὅτ᾿ οὔπω τὸ τῶν ἀνθρώπων γένος ἐπλήθυνεν, ἀδελφοκτόνος.* (Gen. 4, 1 ss.) *Οὗτός ἐστιν ὁ πρῶτος ἐναγής, ὁ πρῶτος καθαρευούσῃ τῇ γῇ τὸ μίασμα προσβαλὼν ἀήθες τοῦ ἀνθρωπείου αἵματος, ὁ πρῶτος ἀνεῖσαν καὶ βλαστάνουσαν γένη ζῴων καὶ φυτῶν καὶ οἷς εὐτοκεῖ πᾶσι τεθηλυῖαν τῆς εὐτοκίας ἐπισχών, ὁ πρῶτος φθορὰν γενέσει καὶ θάνατον ζωῇ καὶ πένθος χαρᾷ καὶ κακὰ ἀγαθοῖς ἐπιτειχίσας. Τί ἂν οὖν παθὼν ἀξίαν ἐκδεδώκει δίκην, ὃς διὰ μιᾶς πράξεως οὐδὲν τῶν βιαίων καὶ ἀσεβῶν παρέλειπεν; Ἴσως ἂν εἴποι τις· Ἀναιρεθεὶς θᾶττον. Ὁ λογισμὸς δὲ οὗτος ἀνθρώπινος τὸ μέγα δι-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καστήριον οὐ βλέποντος. Ἄνθρωποι μὲν γὰρ πέρας τιμωριῶν εἶναι νομίζουσι θάνατον· ἐν δὲ τῷ θείῳ δικαστηρίῳ μόγις ἐστὶν οὗτος ἀρχή. Ἐπεὶ τοίνυν καινὸν τὸ ἔργον, ἔδει καὶ τὴν ἐπ' αὐτῷ τιμωρίαν καινὴν εὑρεθῆναι. Τίς οὖν ἐστιν αὕτη; Ζῆν ἀποθνήσκοντα ἀεί, καὶ τρόπον τινὰ θάνατον ἀθάνατον ὑπομένειν καὶ ἀτελεύτητον. Θανάτου γὰρ διττὸν εἶδος· τὸ μὲν κατὰ τὸ τεθνάναι, ὅπερ ἀγαθόν ἐστιν ἢ ἀδιάφορον· τὸ δὲ κατὰ τὸ ἀποθνήσκειν, ὃ δὴ κακὸν πάντως, καὶ ὅσῳ χρονιώτερον, βαρύτερον. Πῶς οὖν ὁ θάνατος αὐτῷ συνδιαιωνίζει, σκόπει. Τεττάρων ὄντων ἐν τῇ ψυχῇ παθῶν, δυοῖν μὲν περὶ τὸ ἀγαθὸν ἐνεστὸς ἢ μέλλον, ἡδονῆς καὶ ἐπιθυμίας, δυοῖν δὲ περὶ τὸ κακὸν παρὸν ἢ προσδοκώμενον, λύπης καὶ φόβου, τὴν μὲν τοῦ ἀγαθοῦ ῥίζαις αὐταῖς ἐξέτεμε συζυγίαν, ἵνα μηδ' ἐκ τύχης ἡσθῇ ποτὲ ἢ ἐπιθυμήσῃ τινὸς ἡδέος, τὴν δὲ τοῦ κακοῦ μόνον ἐνεφύτευσεν εἰς λύπην ἀθυμίας ἀμιγῆ καὶ φόβον ἄκρατον. Φησὶ (Gen. 4, 11 s.) γάρ, ὅτι ἀρὰν ἐπηρᾶτο τῷ ἀδελφοκτόνῳ, ὡς [*] „στένειν καὶ τρέμειν ἀεί"· „καὶ σημεῖον ἔθετο αὐτῷ μὴ ἀναιρεθῆναι πρός τινος", ἵνα μὴ ἅπαξ ἀποθάνῃ, διαιωνίζῃ δέ, ὡς εἶπον, ἀποθνήσκων ἐν ἀλγηδόσι καὶ ἀνίαις καὶ συμφοραῖς ἀδιαστάτοις, καί, ὃ δὴ πάντων ἀργαλεώτατον, αἰσθάνηται τῶν ἰδίων κακῶν καὶ ἐπὶ τοῖς ἐν χερσὶν ἄχθηται, καί, τὴν φορὰν τῶν μελλόντων προορώμενος, μὴ δύνηται φυλάξασθαι, τῆς ἐλπίδος ἐκτετμημένης αὐτῷ, ἣν θεὸς ἀνθρώπων γένει κατέσπειρεν, ἵνα, ἔχοντες συμφυὲς παραμύθιον, ἐπελαφρίζοιντο τὰς ἀνίας οἱ μὴ ἀνίατα δράσαντες. Ὥσπερ οὖν τῷ συναρπασθέντι ὑπὸ χειμάῤῥου φοβερὸν μὲν τὸ πλησίον ῥεῦμα ᾧ κατασύρεται, φοβερώτερον δὲ τὸ ἄνωθεν ἐπιφερόμενον, ὃ τῇ μὲν βίᾳ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συντόνως ἐπωθεῖ καὶ ἀλήκτως, τῇ δὲ ἐπαναστάσει μετεωριζόμενον ἐπικλύζει· τὸν αὐτὸν τρόπον καὶ τῶν κακῶν ἀνίαρα μὲν τὰ ἐν χερσίν, ἀργαλεώτερα δὲ τὰ ἐκ φόβου ῥέοντα· χορηγεῖ γὰρ ὁ φόβος καθάπερ ἐκ πηγῆς τὰ ὀδυνηρά.

*Poena aedituorum adversus sacerdotes coortorum.*

13. Ταῦτα μέν ἐστι τὰ ὁρισθέντα κατὰ τοῦ πρώτου γεγονότος ἀδελφοκτόνου. Ὡρίσθη δὲ καὶ ἐπ' οἰκίαις ἕτερα, συνθεμέναις κοινοπραγίαν ἁμαρτημάτων. Ἦσαν δή τινες τεταγμένοι νεωκόροι καὶ ἱερόδουλοι, τὴν πυλωρῶν τεταγμένοι τάξιν. Οὗτοι φρονήματος ὑποπλησθέντες ἀλόγου τοῖς ἱερεῦσιν ἐπανέστησαν, ἀξιοῦντες τὰ ἐκείνων γέρα σφετερίσασθαι. Προστησάμενοι δὲ τῆς συστάσεως ἡγεμόνα τὸν πρεσβύτατον, ὃς καὶ τοῦ τολμήματος μετ' ὀλίγων τῶν συναπονοηθέντων εἰσηγητὴς ἐγένετο, καταλιπόντες τὰ προπύλαια καὶ τὰς ἐσχατιάς, ἐπὶ τῶν ἀδύτων ἐχώρουν, τοὺς χρησμοῖς ἀξιωθέντας τῆς ἱερωσύνης μεθιστάντες. Ταραχὴ μὲν οὖν, ὡς εἰκός, ἐπέσχε τὴν πληθὺν ἅπασαν, ἅτε κινουμένων τῶν ἀκινήτων καὶ παρασπονδουμένων τῶν νόμων καὶ τοῦ περὶ τὸ ἱερὸν κόσμου σύγχυσιν λαμβάνοντος ὑπ' ἀταξίας δεινῆς, ἐφ' οἷς ὁ τοῦ ἔθνους ἐπιμελητὴς καὶ προστάτης ἠγανάκτει. Καὶ τὸ μὲν πρῶτον, ἤθει βαρυτέρῳ χρώμενος χωρὶς ὀργῆς — ἦν γὰρ καὶ τὴν φύσιν ἀόργητος — λόγοις ἀναδιδάσκειν ἐπειρᾶτο μεταβάλλεσθαι, καὶ τοὺς ταχθέντας ὅρους μὴ ὑπερβαίνειν, μηδὲ νεωτερίζειν εἰς τὰ ἅγια καὶ καθωσιωμένα, ὧν αἱ τοῦ ἔθνους ἐλπίδες ἐκκρέμανται. Ἀλλ' ἐπειδὴ οὐδὲν ἤνυεν, ἀλλ' ἐκεκώφωντο πρὸς ἅπαντα, νομίζοντες αὐτὸν ἡττηθέντα φιλοικείου πάθους, ἀρχιε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρέα μὲν τὸν ἀδελφὸν καταστῆσαι, τοῖς δὲ ἀδελφιδοῖς ἐγχειρίσαι τὴν ἱερωσύνην, δεινὸν οὐχὶ τοῦτο ὑπελάμβανε, καίπερ ὂν δεινόν· ἀλλ' ἐκεῖνο [*] παγχάλεπον, εἰ δόξει τῶν λογίων, καθ' ἃ γέγονεν ἡ αἵρεσις τῶν ἱερέων, ἀλογεῖν . . . .

*Benedictionum divinarum primam, de hostibus quidem victoriam (et felicitatem ex illa sequentem), nanciscuntur, quorum facta cum dictis et cogitationibus penitus congruunt.*

14. Μαρτυρία δὲ σαφὴς ἐν τοῖς ἱεροῖς ἀνάκειται γράμμασι, λέγειν τὰς εὐχὰς πρότερον ἃς εὐλογίας εἴωθεν ὀνομάζειν. Ἐάν, φησί (Deut. 30, 10 ss.), τὰς θείας ἐντολὰς φυλάττητε καταπειθεῖς γενόμενοι τοῖς προστάγμασι, καὶ τὰ διαγορευόμενα μὴ μέχρις ἀκοῆς καταδέχησθε, ἀλλὰ διὰ τῶν τοῦ βίου πράξεων ἐπιτελῆτε, πρώτην δωρεὰν ἕξετε νίκην κατ' ἐχθρῶν. Οὐ γὰρ ὑπέρογκοι καὶ βαρύτεραι τῆς τῶν χρωμένων δυνάμεως αἱ προστάξεις εἰσίν, οὐδὲ μακρὰν τὸ ἀγαθὸν ἀφέστηκεν, ἢ πέραν θαλάσσης ἢ ἐν ἐσχατιαῖς γῆς, ὡς δεῖσθαι πολυχρονίου καὶ καματηρᾶς ἀποδημίας. Οὐδ' ἐξαίφνης ἐστείλατο τὴν ἐντεῦθεν εἰς οὐρανοὺς ἀποικίαν, ἵνα τις μετέωρος καὶ πτηνὸς ἀρθεὶς μόλις ἐφικέσθαι τούτων δυνηθῇ· πλησίον δέ ἐστι καὶ ἐγγυτάτω, τρισὶ μέρεσι τοῖς καθ' ἕκαστον ἡμῶν ἐνιδρυμένον, στόματι καὶ καρδίᾳ καὶ χερσί, λόγῳ καὶ διανοίᾳ καὶ πράξεσιν. Ἐὰν γὰρ οἷα τὰ βουλεύματα, τοιοῦτοι οἱ λόγοι, καὶ οἷα τὰ λεγόμενα, τοιαίδε αἱ πράξεις ὦσιν, καὶ ταῦτα ἀλλήλοις ἀντακολουθῇ δεθέντα ἁρμονίας ἀλύτοις δεσμοῖς, εὐδαιμονία κρατεῖ, τοῦτ' ἔστιν ἡ ἀψευδεστάτη σοφία καὶ φρόνησις· σοφία μὲν γὰρ πρὸς θεραπείαν θεοῦ, φρόνησις δὲ πρὸς ἀνθρωπίνου βίου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διοίκησιν. Ἄχρι μὲν οὖν λέγεται μόνον τὰ τῶν νόμων παραγγέλματα, βραχείας ἢ οὐδεμιᾶς ἀποδοχῆς τυγχάνει· προςγενομένων δὲ ἀκολούθων καὶ ἑπομένων ἔργων ἐν τοῖς τοῦ βίου πᾶσιν ἐπιτηδεύμασιν, ὥσπερ ἐκ ζόφου βαθέος εἰς φῶς ἀναχθέντα περιλαμφθήσεται δι' εὐκλείας καὶ εὐφημίας. Τίς γὰρ οὐκ ἂν εἴποι, καὶ τῶν φύσει βασκάνων, ὅτι σοφὸν ἄρα γένος καὶ ἐπιστημονικώτατον μόνον τοῦτό ἐστιν, ᾧ τὰς θείας παραινέσεις ἐξεγένετο μὴ κενὰς καὶ ἐρήμους ἀπολιπεῖν τῶν οἰκείων πράξεων, ἀλλὰ πληρῶσαι τοὺς λόγους ἔργοις ἐπαινετοῖς; Τοῦτο τὸ γένος οὐ μακρὰν ἀπῴκισται θεοῦ, φαντασιούμενον ἀεὶ τὰ αἰθέρια κάλλη, καὶ ποδηγετούμενον ὑπ' ἔρωτος οὐρανίου· ὡς, καὶ ἂν εἰ πύθοιτό τις, ποῖον ἔθνος μέγα, προςφυῶς ἄν τινα ἀνταποκρίνασθαι· Ὧι ὁ θεός ἐστιν ἐπήκοος ἱεροπρεπεστάτων εὐχῶν, καὶ ταῖς ἀπὸ καθαροῦ τοῦ συνειδότος κατακλήσεσιν συνεγγίζων.

*Hominum autem hostes duplicis sunt generis: alterum cupiditates humanae, alterum ferae bestiae; quod utrumque ut vincatur, summopere optandum.* (15. 16.)

15. Ἐπεὶ δὲ ἐχθρῶν διττὸν εἶδος, τὸ μὲν ἀνθρώπων ἐκ πλεονεξίας ἐπιτηδεύσει γεγονός, τὸ δὲ θηρίων ἄνευ ἐπιτηδεύσεως ἀλλοτριότητι χρώμενον φυσικῇ, περὶ ἑκατέρου λεκτέον ἐν μέρει, καὶ πρότερόν γε τὸ κατὰ τοὺς φύσει πολεμίους θῆρας. Οὗτοι γὰρ οὐ μιᾶς πόλεως ἢ ἔθνους, ἀλλὰ τοῦ σύμπαντος ἀνθρώπων γένους δυςμενεῖς εἰσίν, οὐ πρὸς [*] ὡρισμένου χρόνου μῆκος, ἀλλὰ τὸν ἀόριστον καὶ ἀπερίγραφον αἰῶνα. Τούτων οἱ μὲν ὡς δεσπότην ἄνθρωπον διδιότες ὑποπτήσσουσιν ἐγκότῳ μίσει· οἱ δὲ τολμηταὶ καὶ θρασύτεροι προεπιχειροῦσι καιροφυλακοῦντες. Εἰ μὲν οὖν ἀσθενέστεροι τυγχάνοιεν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξ ἐνέδρας, εἰ δὲ δυνατώτεροι, φανερῶς. Ἄσπονδος γὰρ καὶ ἀκήρυκτος εἷς πόλεμος οὗτος, ὡς λύκοις πρὸς ἄρνας, καὶ πᾶσι θηρίοις πρὸς πάντας ἀνθρώπους, ἐνύδροις τε καὶ χερσαίοις, ὃν θνητὸς μὲν οὐδεὶς δύναται καθαιρεῖν, ὁ δὲ ἀγέννητος μόνος καθαιρεῖ, ὅταν κρίνῃ τινὰς σωτηρίας ἀξίους, εἰρηνικοὺς μὲν τὸ ἦθος, ὁμοφροσύνην δὲ καὶ κοινωνίαν ἀσπαζομένους, οἷς φθόνος ἢ συνόλως οὐ συνῴκησεν ἢ τάχιστα μετανέστη, τὰ ἴδια προφέρειν εἰς μέσον ἀγαθὰ διεγνωκόσιν εἰς κοινὴν μετουσίαν καὶ ἀπόλαυσιν. Εἰ γὰρ ἐπιλάμψειέ ποτε τῷ βίῳ τὸ ἀγαθὸν τοῦτο καὶ δυνηθείημεν τὸν καιρὸν ἰδεῖν ἐκεῖνον, ἐν ᾧ χειροήθη ποτὲ γενήσεται τὰ ἀτίθασσα, πολύ γε πρότερον τὰ ἐν τῇ ψυχῇ θηρία τιθασσευθήσεται, οὗ μεῖζον ἀγαθὸν οὐκ ἔστιν εὑρεῖν οὐδέν. Ἢ οὐχὶ εὔηθες ὑπολαμβάνειν, ὅτι τὰς ὑπὸ τῶν ἐκτὸς θηρίων βλάβας ἐκφευξόμεθα, τὰ ἐν αὑτοῖς εἰς δεινὴν ἀγριότητα ἀεὶ συγκροτοῦντες; Ὅθεν οὐκ ἀπελπιστέον, ὅτι ἐξημερωθέντων τῶν κατὰ διάνοιαν καὶ τὰ ζῷα ἡμερωθήσεται. Τότε μοι δοκοῦσιν ἄρκτοι καὶ λέοντες καὶ παρδάλεις, καὶ τὰ παρ' Ἰνδοῖς, ἐλέφαντές τε καὶ τίγρεις, καὶ ὅσα ἄλλα τὰς ἀλκὰς καὶ τὰς δυνάμεις ἀήττητα, μεταβαλεῖν ἐκ τοῦ μονωτικοῦ τε καὶ μονοτρόπου πρὸς τὸ σύννομον, καὶ ἐκ τοῦ πρὸς ὀλίγον μιμήσει τῶν ἀγελαίων ἡμερωθήσεσθαι πρὸς τὴν ἀνθρώπου φαντασίαν, μηκέτι ὡς πρότερον ἀνερεθισθέντα, καταπλαγέντα δὲ ὡς ἄρχοντα καὶ φύσει δεσπότην εὐλαβῶς ἕξειν· ἔνια δὲ καὶ τοῦ χειροήθους ἅμα καὶ φιλοδεσπότου τῇ παραζηλώσει, καθάπερ τὰ Μελιταῖα τῶν κυνιδίων, ταῖς κέρκοις μεθ' ἱλαρωτέρας κινήσεως προσσαίνοντα. Τότε καὶ σκορπίων γένη καὶ ὄφεων καὶ τῶν ἄλλων ἑρπετῶν ἄπρακτον ἕξει τὸν ἰόν. Καὶ ποταμὸς ὁ Αἰγύπτιος ὅμο-

ρα τοῖς οἰκήτορσι τῆς χώρας ἀνθρωποβόρα ζῶα, τοὺς κροκοδείλους λεγομένους καὶ ποταμίους ἵππους, φέρει, καὶ τὰ πελάγη μυρίας ἰδέας ζώων, παρ' οἷς πᾶσιν ἱερὸς καὶ ἄσυλος γένοιτο ἂν ὁ σπουδαῖος, ἀρετὴν τιμήσαντος θεοῦ καὶ γέρας παρασχόντος τὸ ἀνεπιβούλευτον.

16. Οὕτως μὲν ὁ πρεσβύτερος καὶ χρόνῳ καὶ φύσει καταλυθήσεται πόλεμος, ἡμερωθέντων καὶ μεταβαλόντων τῶν θηρίων πρὸς τὸ τιθασσόν. Ὁ δὲ [*] νεώτερος καὶ ἐπιτηδεύσει γενόμενος ἐκ πλεονεξίας ῥᾳδίως διαλυθήσεται, τῶν ἀνθρώπων, ὥς γ' ἐμοὶ δοκεῖ, δυςωπηθέντων, εἰ μελλήσουσιν ἀγριώτεροι ζώων ἀλόγων ἐξετάζεσθαι, ὅτε τὰς ἀπὸ τῶν ἄλλων ζημίας καὶ βλάβας ἐκπεφεύγασιν. Αἴσχιστον γάρ, ὡς εἰκός, φανεῖται, τὰ μὲν ἰοβόλα καὶ ἀνθρωποβόρα καὶ ἄμικτα καὶ ἀκοινώνητα ἔνσπονδα γενέσθαι, μεταβάλλοντα πρὸς εἰρήνην, τὸ δὲ ἥμερον φύσει ζῶον, τὸν ἄνθρωπον, κοινωνίας καὶ ὁμοιοίας συγγενές, ἀσπονδεῖν, φονᾶν κατὰ τῶν ὁμοίων. Ἢ τὸ παράπαν οὖν, φησίν, οὐ διελεύσεται πόλεμος διὰ χώρας εὐσεβῶν, ἀλλ' αὐτὸς καταῤῥυήσεται καὶ συντριβήσεται πρὸς ἑαυτόν, πρὸς οἵους ἐστὶν ὁ ἀγὼν καὶ ὡς ἀηττήτους αἰσθανομένων τῶν ἀντιπάλων, ἅτε χρωμένους ἀνανταγωνίστῳ συμμαχίᾳ τοῦ Δικαίου. Μεγαλοπρεπὲς γὰρ καὶ περίσεμνον ἀρετή, καὶ μόνη καθ' ἡσυχίαν ἱκανὴ φορὰς μεγάλων ἐξευμαρίζειν κακῶν. Ἢ καὶ ἂν μεμηνότες τινὲς λυττῶσιν αὐθεκάστῳ καὶ ἀπαρηγορήτῳ χρώμενοι τῇ τοῦ πολεμεῖν ἐπιθυμίᾳ, μέχρι μὲν συνίστανται καταλαζονεύσονται θρασυνόμενοι· πρὸς δὲ χειρῶν ὅμιλλαν ἥκοντες, αἰσθήσονται κενὸν αὔχημα αὐχήσαντες, ὡς μὴ δυνάμενοι νικᾶν. Ῥώμῃ γὰρ ἀντιβιασθέντες (Lev. 26, 8) κραταιοτέρᾳ φεύξονται προτροπάδην πρὸς πεντάδων ἑκα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοντάδες, καὶ πρὸς ἑκατοντάδων μυριάδες, πολλαῖς ὁδοῖς οἱ κατὰ μίαν ἐπελθόντες. Ἔνιοι δὲ μηδενὸς διώκοντος ὅτι μὴ φόβου, τὰ νῶτα τοῖς ἀντιπάλοις εἰς βολὰς εὐσκόπους ἀντιστρέψουσιν, ὡς εὐμαρίαν εἶναι πάντας ἡβηδὸν ἀναιρεθέντας πεσεῖν. Ἐξελεύσεται γὰρ ἄνθρωπος, φησὶν ὁ χρησμός (Num. 24, 7), καταστρατηγχῶν καὶ πολεμῶν ἔθνη τε μεγάλα καὶ πολυάνθρωπα χειρώσεται, τὸ ἁρμόττον ὁσίοις ἐπικουρικὸν ἐπιπέμψαντος θεοῦ. Τοῦτο δέ ἐστι θάρσος ψυχῶν ἀκατάπληκτον καὶ σωμάτων ἰσχὺς κραταιοτάτη, ὧν καὶ θάτερον φοβερὸν ἐχθροῖς, ἄμφω δὲ εἰ συνέλθοι, καὶ παντελῶς ἀνυπόστατον. Ἐνίους δὲ τῶν ἐχθρῶν ἀναξίους ἔσεσθαί φησιν ἥττης ἀνθρώπων, οἷς σμήνη σφηκῶν (Exod. 23, 28. Deut. 7, 20) ἀντιτάξειν ἐπ' ὀλέθρῳ αἰσχίστῳ, προπολεμοῦντα τῶν ὁσίων. Τούτων δὲ οὐ μόνον τὴν ἐν πολέμῳ νίκην ἀναιμωτὶ βεβαίως ἕξειν, ἀλλὰ καὶ κράτος ἀρχῆς ἀνανταγώνιστον ἐπ' ὠφελείᾳ τῶν [*] ὑπηκόων, οἳ γένοιντο ἂν δι' εὔνοιαν ἢ φόβον ἢ αἰδῶ. Τρία γὰρ ἐπιτηδεύουσι τὰ μέγιστα καὶ συντείνοντα πρὸς ἡγεμονίαν ἀκαθαίρετον, σεμνότητα καὶ δεινότητα καὶ εὐεργεσίαν, ἐξ ὧν ἀποτελεῖται τὰ λεχθέντα. Τὸ μὲν γὰρ σεμνὸν αἰδῶ κατασκευάζει, τὸ δὲ δεινὸν φόβον, τὸ δὲ εὐεργετικὸν εὔνοιαν, ἅπερ ἀνακραθέντα καὶ ἁρμοσθέντα ἐν ψυχῇ καταπειθεῖς ἄρχουσιν ὑπηκόους ἀπεργάζεται.

*Ad piorum in Deum proborumque praemia pertinent etiam divitiae et quae cum his cohaerent bona. (17-19.)*

17. Ταῦτα μὲν δὴ πρῶτά φησιν συμβήσεσθαι τοῖς ἑπομένοις θεῷ, καὶ περιεχομένοις ἀεὶ καὶ πανταχοῦ τῶν προσταγμάτων αὐτοῦ, καὶ ἐφ' ἑκάστου τῶν τοῦ βίου μερῶν ταῦτα ἐφαρμόττουσιν, ὡς μηδένα νόσῳ * πλα-

ζόμενοι* ἐκδιαιτᾶσθαι. Δευτέρου δὲ πλούτου, ὃς κατὰ τὸ ἀναγκαῖον εἰρήνῃ καὶ ἀρχῇ ἕπεται. Πλοῦτος δὲ ὁ μὲν τῆς φύσεως εὐτελής ἐστι τροφὴ καὶ σκέπη. Τροφὴ μὲν οὖν ἄρτος καὶ ναματιαῖον ὕδωρ, ἃ πανταχοῦ τῆς οἰκουμένης ἀναδίδοται· σκέπης δὲ διττὸν εἶδος, τὸ μὲν ἀμπεχόνη, τὸ δὲ οἰκία, διὰ τὰς ἀπὸ κρυμοῦ καὶ θάλπους παρακολουθούσας ζημίας· ὧν ἑκάτερον, εἴ τις ἐθελήσειε τὴν περίεργον καὶ περιττὴν ἀφελεῖν πολυτέλειαν, εὐπορώτατον. Οἱ δὲ ἐν ἀφθόνοις τὰ λεχθέντα, ἀρνούμενοι τὰ φύσεως δῶρα, μὴ τὰ τῆς κενῆς δόξης, ἀλαζόνειαν καὶ τρυφὴν ἀσκοῦντες, ἕξουσι κατὰ πολλὴν περιουσίαν καὶ τὸν τῆς ἀβροδιαίτου τροφῆς πλοῦτον οὐκ ἐπιτηδεύσαντες. Ἀπολείπεται γὰρ ὡς πρὸς ἐπιτηδειοτάτους καὶ οἰκείους τῆς ἁρμοζούσης χρήσεως ἐπιστήμονας, ἀποδρὰς ἄμεινον τὰς τῶν ἀκολάστων καὶ ὑβριστῶν συνδιατρίψεις, ἵνα μὴ χορηγῇ *τοῖς* ἐπὶ βλάβῃ τῶν πλησίον ζώων, παρελθὼν τοὺς κακοφυεῖς. Λόγιον γάρ ἐστιν (Lev. 26, 3 ss.), ὅτι „τοῖς τὰς ἱεροπρεπεῖς ἐντολὰς φυλάττουσιν ὁ μὲν οὐρανὸς ἐμβρέξει καιρίους ὑετούς, ἡ δὲ γῆ παντοδαπῶν οἴσει καρπῶν φοράν, ἡ μὲν πεδιὰς σπαρτῶν, ἡ δὲ ὀρεινὴ τῶν ἀκροδρύων.“ καὶ ἔτι χρόνος οὐδεὶς ἀπολειφθήσεται κενὸς εὐεργεσίας, ἀλλὰ τῷ συναφεῖ καὶ ἐπαλλήλῳ τῶν τοῦ Θεοῦ χαρίτων καταλήψεται ὁ μὲν ἀμητὸς τρυγητόν, καταλήψεται δὲ ὁ τρυγητὸς σπόρον, ὡς ἀνελλιπεῖς καὶ ἀδιαστάτους ἀεὶ τὰ μὲν συγκομίζειν, τὰ δὲ ἐλπίζειν, ἀμειβομένων ἐτησίων ἐτησίοις, ἵνα τοῖς πέρασι τῶν προτέρων αἱ τῶν ὑστέρων ἀρχαὶ συνάπτουσαι κύκλον τινὰ καὶ χορείαν ἀποτελῶσι, μὴ ἐπιδεᾶ παντὸς ἀγαθοῦ. Τὸ γὰρ πλῆθος τῶν γεννωμένων ἐξαρκέσει, καὶ πρὸς τὴν παραυτίκα χρῆσιν καὶ ἀπόλαυσιν, καὶ πρὸς

τὴν τοῦ μέλλοντος ἄφθονον περιουσίαν, νέων ἐπακμαζόντων παλαιοῖς καὶ τὴν ἐκείνων ἔνδειαν προσαναπληρούντων. Ἔστι δὲ ὅπου καὶ ἐπ' εὐφορίας ἀλέκτου τῶν [*] πάλαι συγκομισθέντων φροντίσει τὸ παράπαν οὐδείς, ἀλλ' ἀταμίευτα καὶ ἀδαπάνητα καταλείψουσι τοῖς βουλομένοις ἀφέντες τὴν χρῆσιν ἀδεᾶ. Οἷς μὲν γὰρ ἀληθινὸς πλοῦτος ἐν οὐρανῷ κατάκειται διὰ σοφίας καὶ ὁσιότητος ἀσκηθείς, τούτοις καὶ ὁ τῶν χρημάτων ἐπὶ γῆς περιουσιάζει, προνοίᾳ καὶ ἐπιμελείᾳ θεοῦ τῶν ταμιείων ἀεὶ πληρουμένων, ἐκ τοῦ τὰς ὁρμὰς τῆς διανοίας καὶ τὰς τῶν χειρῶν ἐπιβολὰς μὴ ἐμποδίζεσθαι πρὸς τὴν τῶν ἀεὶ σπουδαζομένων κατόρθωσιν. Οἷς δὲ ὁ κλῆρος οὐκ ἔστιν οὐράνιος δι' ἀσέβειαν ἢ ἀδικίαν, οὐδὲ τῶν ἐπὶ γῆς ἀγαθῶν οὐδενὸς πέφυκεν ἡ κτῆσις· ἀλλὰ κἂν προσγένηται, τάχιστα ἀπεπήδησεν, ὡς παραγενομένη τὴν ἀρχὴν οὐκ ἐπ' ὠφελείᾳ τῶν λαβόντων, ἀλλ' ὑπὲρ τοῦ βαρῦναι τὴν ὀδύνην σφοδρότερον, ἥτις ἐκ τοῦ στέρεσθαι κατὰ ἀνάγκην ἕπεται.

18. Τότε δέ, φησίν, ὑπὸ τῆς ἄγαν εὐπορίας, ἣ νῦν ὑπομένεις, ἐγχάζῃ. Νῦν μὲν γὰρ μήτε τῶν νόμων μήτε τῶν πατρίων ἐθῶν αἰδῶ ποιούμενος, ἀλλὰ πάντων ἀθρόως ὀλιγωρῶν, ὑποσυρίζεις μὲν τῶν ὁμογενῶν, θεραπεύεις δὲ τὰς τῶν δανειστῶν καὶ ὀβολοστατῶν οἰκίας ἐπὶ πολλῷ δανειζόμενος· τότε δέ, ὥσπερ ἔφην, δράσεις τὸ ἐναντίον. Ὑπὸ γὰρ ἀφθόνου περιουσίας αὐτὸς ἄλλοις δανιεῖς, καὶ οὐκ ὀλίγα, οὐδ' ὀλίγοις, ἀλλὰ πολλὰ καὶ πολλοῖς, ὅλοις μὲν οὖν ἔθνεσι, πάντων καὶ τῶν κατὰ χώραν καὶ τῶν κατὰ πόλιν εὐτυχῶς ἐχόντων· τῶν μὲν κατὰ πόλιν ἀρχαῖς καὶ τιμαῖς καὶ αἰδοῦσιν διά τε *εὐδικίας* καὶ εὐβουλίας καὶ τοῦ διὰ λόγων καὶ πράξεων κοινωφε-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*λοῦς, τῶν δὲ κατ' ἀγρὸν εὐφορίαις τῶν ἀναγκαίων, σίτου, οἴνου, ἐλαίου καὶ τῶν πρὸς ἁβροδίαιτον βίον, ταῦτα δέ ἐστι τὰ ἀμύθητα γένη τῶν ἀκροδρύων, καὶ ἔτι βουκολίων, αἰπολίων, τῶν ἄλλων θρεμμάτων εὐτοκία. Ἀλλὰ τί τούτων ὄφελος, εἴποι τις ἄν, τῷ μὴ μέλλοντι κληρονόμους καὶ διαδόχους ἀπολιπεῖν; Ἐπισφραγιζόμενος διὰ τοῦτο τὰς εὐεργεσίας, φησίν· Οὐδεὶς ἄγονος, οὐδὲ στεῖρα γενήσεται, πάντες δὲ οἱ θεραπευταὶ θεοῦ γνήσιοι νόμον ἐκπληρώσουσι φύσεως τὸν ἐπὶ παιδοποιΐᾳ. Καὶ γὰρ ἄνδρες ἔσονται πατέρες, καὶ πατέρες εὔπαιδες, καὶ γυναῖκες μητέρες εὔτεκνοι, ὡς ἕκαστον οἶκον πλήρωμα εἶναι πολυανθρώπου συγγενείας, μηδενὸς ἐλλειφθέντος ἢ μέρους ἢ ὀνόματος τῶν ὅσα ἐπιφημίζεται τοῖς προσήκουσι, καὶ πρὸς τοὺς ἄνω, γονεῖς, θείους, πάππους, καὶ πρὸς τοὺς κάτω πάλιν, *υἱούς*, ἀδελφούς, ἀδελφιδοῦς, υἱωνούς, θυγατριδοῦς, ἀνεψιούς, [*] ἀνεψιδοῦς, τοὺς ἐξ αἵματος πάντας. Ὠκύμορος δὲ ἢ ἀτελὴς οὐδεὶς ἂν γένοιτο τῶν κοσμουμένων νόμοις, οὐδέ τινος ἡλικίας ἄμοιρος, ὧν θεὸς ἔνειμεν ἀνθρώπων γένει· ἀλλ' ἐκ βρέφους ἐπανιὼν ἑξῆς ὥσπερ δι' ἀναβαθμῶν, τεταγμέναις χρόνων περιόδοις ἑκάστης ἡλικίας τοὺς ὁρισθέντας ἀριθμοὺς συνεκπληρώσας, ἐπὶ τὴν τελευταίαν ἀφίξεται, τὴν θανάτῳ, μᾶλλον δὲ ἀθανασίᾳ γειτνιῶσαν, ἢ πρὸς ἀλήθειαν εὐγήρως, εὔπαιδα οἶκον καὶ πολύπαιδα ἀνθ' αὑτοῦ καταλιπών.*

19. *Τοῦτ' ἔστιν ὅπερ εἶπέ που θεσπίζων, ὅτι „τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπλήσεις“* (Exod. 23, 26), *παγκάλως χρησάμενος τοῖς ὀνόμασι κυρίοις ἅμα καὶ προςφυέσιν. Ὁ μὲν γὰρ ἀμαθὴς καὶ ἔκνομος „οὔτ' ἐν*

λόγῳ" φησίν, „οὔτ' ἐν ἀριθμῷ" *)· τῷ δὲ παιδείας καὶ νόμων ἱερῶν μεταποιουμένῳ πρώτη χάρις ἐστὶν ἐλλογίμῳ καὶ δοκίμῳ φανέντι μεταλαχεῖν ἀριθμοῦ καὶ τάξεως. Ὑπερφυῶς δὲ ἔχει καὶ ἡ πλήρωσις οὐ μηνῶν ἢ ἐνιαυτῶν ἀλλ' ἡμερῶν, ὡς δὴ ἑκάστην ἡμέραν τοῦ σπουδαίου μηδὲν ἔρημον καὶ κενὸν ἐᾶν εἰς πάροδον ἁμαρτημάτων, ἀλλὰ πᾶσι τοῖς μέρεσι καὶ διαστήμασιν αὐτῆς καλοκἀγαθίας πεπληρῶσθαι· κρίνεται γὰρ οὐ ποσότητι, ἀλλὰ ποιότητι ἡ ἀρετὴ καὶ τὸ καλόν. Ὅθεν ἰσότιμον καλῷ βίῳ σοφοῦ καὶ μίαν ἡμέραν ὑπέλαβον εἶναι κατορθουμένην. Τοῦτ' ἔστιν ὃ καὶ ἐν ἑτέροις αἰνίττεται, φάσκων „εὐλογίας ἄξιον ἔσεσθαι καὶ εἰσιόντα καὶ ἐξιόντα" (Psalm. 120 [121], 8) τὸν τοιοῦτον ἄνδρα· διότι πάσαις μὲν ταῖς κινήσεσι, πάσαις δὲ ταῖς σχέσεσιν ὁ σπουδαῖος ἐπαινετός, ἔνδον τε καὶ ἔξω, πολιτικός τε ὁμοῦ καὶ οἰκονόμος, τὰ μὲν ἔνδον ἐξορθῶν οἰκονομικῶς, τὰ δὲ ἔξω πολιτικῶς, ᾗ συμφέρον ἐπανορθοῦσθαι. Ἐὰν μὲν οὖν εἷς ἀνὴρ τυγχάνῃ τοιοῦτος ὢν ἐν πόλει, τῆς πόλεως ὑπεράνω φανεῖται· ἐὰν δὲ πόλις, τῆς ἐν κύκλῳ χώρας· ἐὰν δὲ ἔθνος, ἐπιβήσεται πᾶσιν ἔθνεσιν, ὥσπερ κεφαλὴ σώματι τοῦ περιφαίνεσθαι χάριν, οὐχ ὑπὲρ εὐδοξίας μᾶλλον ἢ τῆς τῶν ὁρώντων ὠφελείας. Αἱ γὰρ συνεχεῖς τῶν καλῶν παραδειγμάτων φαντασίαι παραπλησίας εἰκόνας ἐγχαράττουσι ταῖς μὴ πάνυ σκληραῖς καὶ ἀποκρότοις ψυχαῖς· ὅπερ εἴρηται πρὸς τοὺς ἐθέλοντας μιμεῖσθαι τὰ σπουδαῖα καὶ θαυμαστὰ κάλλη, μὴ ἀπογινώσκεσθαι τὴν ἀμείνω μεταβολήν, μήτε τήν, ὥσπερ ἐκ διασπορᾶς ψυχῆς ἣν εἰργάσατο κακία, πρὸς ἀρετὴν καὶ σοφίαν ἐπάνοδον.

*) Vetus proverbium.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἵλεως γὰρ ὅταν ᾖ ὁ θεός, ἐξευμαρίζεται πάντα. [*] Γίνεται δὲ ἵλεως τοῖς αἰδουμένοις, καὶ μεθαρμοζομένοις ἐξ ἀκρασίας εἰς ἐγκράτειαν, καὶ τὰ μὲν τῆς ὑπαιτίου ζωῆς κακίζουσιν, καὶ ὅσα ἐναπεμάξαντο ταῖς ψυχαῖς αἰσχρὰ εἴδωλα μυσαττομένοις, εὐδίαν δὲ παθῶν ἐζηλωκόσι, καὶ εἰρήνην καὶ γαλήνην βίου μετατρέχουσι. Καθάπερ οὖν ἀνθρώπους ἐν ἐσχατιαῖς ἀπῳκισμένους ῥᾳδίως ἂν ἑνὶ κελεύσματι συναγάγοι θεὸς ἀπὸ περάτων εἰς ὅ τι ἂν θελήσῃ χωρίον, οὕτω καὶ τὸν νοῦν ἐξ ἄλης πολυχρονίου πάντῃ πλανηθέντα καὶ κακωθέντα πρὸς ἡδονῆς καὶ ἐπιθυμίας, δεσποινῶν ἐκτεταμένων, ἐλεῶν ὁ σωτὴρ ἐξ ἀνοδίας εἰς ὁδὸν εὐπετῶς ἂν ἀγάγοι, ἀμεταστρεπτὶ φεύγειν διεγνωκότα φυγήν, οὐ τὴν ἐπονείδιστον λεγομένην, ἀλλὰ τὴν σωτήριον, ἣ οὐκ ἂν τις ἁμάρτῃ λέγων καθόδου κρείττονα.

*Corporis sanitas.*

20. Τὰ μὲν οὖν ἐκτὸς ἀγαθὰ εἴρηται, νῖκαι κατ᾽ ἐχθρῶν, κράτος πολέμων, εἰρήνης βεβαίωσις, καὶ τῶν κατ᾽ εἰρήνην ἀγαθῶν περιουσίαι, πλοῦτοι καὶ τιμαὶ καὶ ἀρχαὶ καὶ τὰ παρεπόμενα τοῖς εὖ πράττουσιν ἐγκώμια, διὰ παντὸς στόματος καὶ φίλων καὶ δυςμενῶν ἐπαινουμένοις, τῶν μὲν διὰ φόβον, τῶν δὲ δι᾽ εὔνοιαν. Λεκτέον δὲ καὶ τὰ τούτων οἰκειότερα, τὰ περὶ τὸ σῶμα. Φησὶν οὖν, ὅτι τοῖς ἀρετὴν διαπονοῦσι, καὶ τοὺς ἱεροὺς νόμους ἡγεμόνας τῶν κατὰ τὸν βίον λόγων καὶ ἔργων προστησαμένοις, ἰδίᾳ τε καὶ κοινῇ περιέσται τὸ εἰς ἅπαν ἄνοσον· εἰ δὲ καὶ γένοιτό τις ἀσθένεια, τοῦ μὲν κακῶσαι χάριν οὐκ ἂν γένοιτο ἄν, τοῦ δὲ ὑπομνῆσαι τὸν θνητὸν ὅτι θνητός ἐστιν, εἰς ὑπεραύχου φρονήματος κατάλυσιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ βελτίωσιν ἠθῶν. Ὑγείᾳ δὲ ἕψεται καὶ εὐαισθησία καὶ τὸ ἐν ἅπασι τοῖς μέρεσιν ὁλόκληρον καὶ παντελές, εἰς τὰς πρὸς ὃ προγέγονεν ἕκαστον ἀκωλύτους ὑπηρεσίας. Ἐδικαίωσε γὰρ ὁ θεὸς γέρας τοῖς σπουδαίοις παρασχεῖν εὖ συνῳκοδομημένην καὶ συνηρμοσμένην ἐκ θεμελίων ἄχρι στέγους οἰκίαν — οἰκία δὲ ψυχῆς συμφυεστάτη σῶμα, ἅτε πολλὰ τῶν εἰς τὸν βίον ἀναγκαίων καὶ χρησίμων ἐνεργοῦν — καὶ μάλιστα διὰ τὸν καθάρσεσι τελείαις νοῦν καθαρθέντα· καὶ μύστην γεγονότα τῶν θείων τελετῶν καὶ μόναις συμπεριπολοῦντα ταῖς οὐρανίων χορείαις καὶ περιόδοις ἐγέραρεν ὁ θεὸς ἠρεμίᾳ, βουληθεὶς ἀμέθεκτον εἶναι, κηραίνοντα περὶ μηδὲν πάθος ὧν αἱ τοῦ σώματος γεννῶσι δυνάμεις, ἐπιτιθέμεναι κατὰ πλεονεξίαν παθῶν δυναστείας. [*] Ἢ γὰρ περιέψυξέ τι ἢ περιέφλεξεν οὐρανός, καὶ αὐχμηρὸν ἢ τὸ ἐναντίον ῥοῶδες ἀπειργάσατο, δι' ὧν ἁπάντων ὁ νοῦς εὐθύνειν ἀδυνατεῖ τὴν τοῦ καθ' αὑτὸν βίου πορείαν. Ἐνδιαιτώμενος δὲ ὑγιεινῷ σώματι, κατὰ πολλὴν εὐμάρειαν ἐνδιατρίψει καὶ ἐνσχολάσει τοῖς σοφίας θεωρήμασι, μακαρίας καὶ εὐδαίμονος ζωῆς ἐπιλαχών. Οὗτός ἐστιν ὁ πολὺν ἄκρατον σπάσας τῆς εὐεργέτιδος τοῦ θεοῦ δυνάμεως, καὶ λόγων ἱερῶν καὶ δογμάτων ἑστιαθείς. Οὗτος, ᾧ φησὶν ὁ προφήτης τὸν θεὸν ἐμπεριπατεῖν οἷα βασιλείῳ· καὶ γάρ ἐστι τῷ ὄντι βασίλειον καὶ οἶκος θεοῦ σοφοῦ διάνοια. Τούτου καλεῖται θεὸς ἰδίως ὁ τῶν συμπάντων θεός· καὶ λαὸς ἐξαιρέτῳ χάριτι πάλιν οὗτος, οὐ τῶν κατὰ μέρος ἀρχόντων, ἀλλὰ τοῦ ἑνὸς καὶ πρὸς ἀλήθειαν ἄρχοντος, ἁγίου ἅγιος. Οὗτός ἐστι ὁ πρὸ μικροῦ πολλαῖς μὲν ἡδοναῖς, πολλαῖς δὲ ἐπιθυμίαις, μυρίαις δὲ ἀνάγκαις κακιῶν καὶ ἐπιθυμιῶν ὑποζευγμένος· τούτου τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κακὰ καὶ ἐν δουλείᾳ συνετέτραφεν ὁ θεός, εἰς ἐλευθερίαν ἐξαιρούμενος. Οὗτος ὁ μὴ ἀπαρρησιάστου τυχὼν εὐεργεσίας, ἀλλὰ διαζεζωσμένος καὶ περιηγγελμένος πάντη διὰ τὴν τοῦ προσωπαΐζοντος ἐξουσίαν, ἐφ' ᾗ οὐχ ὑπεσύρη πρὸς τὰ οὐραῖα, ἀλλ' ἐπὶ κεφαλὴν ἄνω παρεπέμφθη". Ταῦτα δὲ ἀλληγορεῖται τροπικῶς ἐξενεχθέντα· καθάπερ γὰρ ἐν ζῴῳ κεφαλὴ μὲν πρῶτον καὶ ἄριστον, οὐρὰ δὲ ὕστατον καὶ φαυλότατον, οὐ μέρος, συμπληροῦν τὸν τῶν μελῶν ἀριθμόν, σόβητρον τῶν ἐπιπτομένων, τὸν αὐτὸν τρόπον κεφαλὴν τοῦ ἀνθρωπείου γένους ἔσεσθαί φησι τὸν σπουδαῖον, εἴτε ἄνδρα, εἴτε λαόν, τοὺς δὲ ἄλλους ἅπαντας οἷον μέρη σώματος ψυχούμενα ταῖς ἐν κεφαλῇ καὶ ὑπεράνω δυνάμεσιν. — Αὗται μὲν αἱ ὑπὲρ τῶν ἀνθρώπων τῶν ἀγαθῶν εἰσιν εὐχαὶ καὶ τοὺς νόμους ἔργοις ἐπιτελούντων, ἃς φησι τελεσφορηθήσεσθαι χάριτι τοῦ φιλοδώρου θεοῦ, τὰ καλὰ διὰ τὴν πρὸς αὐτὸν ὁμοιότητα σεμνοποιοῦντος καὶ γεραίροντος. Τὰς δὲ κατὰ τῶν ἐκνόμων καὶ ἀθέσμων ὁρισθείσας ἀρὰς ἐπισκεπτέον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ ΑΡΩΝ.

# DE EXSECRATIONIBUS.

[II, 429.]

*Prima hominum impiorum poena est omnis generis inopia.*
(1-3.)

1. [*] *Πρώτην ἀρὰν ὡς κουφότατον κακὸν ἀναγράφει πενίαν καὶ ἔνδειαν καὶ σπάνιν τῶν ἀναγκαίων καὶ μετουσίαν παντελοῦς ἀπορίας. „Τὸν γὰρ σπόρον" φησὶν* (Deut. 28, 38 sqq.) *„ἀτελῆ μὲν ὄντα δῃώσουσι, τελειωθέντα δὲ ἀμήσουσιν ἐξαίφνης ἐπελθόντες πολέμιοι," διττὴν ἐργασόμενοι συμφοράν, λιμὸν μὲν φίλοις, ἐχθροῖς δὲ περιουσίαν. Λυπεῖ γὰρ μᾶλλον ἢ οὐχ ἧττον τῶν ἰδίων κακῶν τὰ δυσμενῶν ἀγαθά. Καὶ ἡσυχαζόντων μὲν τῶν ἐχθρῶν οὐχ ἡσυχάζουσιν αἱ ἐκ φύσεως, ἀργαλεώτεραι δέ, ζημίαι. Σὺ μὲν γὰρ κατασπείρεις τὴν βαθύγειον τῆς πεδιάδος, ἀκρίδων δὲ νέφος ἐξαίφνης καταπτάμενον ἐκθερίσει, καὶ τὰ ὑπολειφθέντα πολλοστὸν εἰς συγκομιδὴν ἔσται μέρος τῶν σπαρέντων. Καὶ σὺ μὲν ἀμπελῶνα φυτεύσεις δαπάναις ἀφειδέσι [καὶ] κακοπαθείαις ἀτρύτοις, ἃς εἰκὸς γεωπόνους ἀναδέχεσθαι· τελειωθέντα δὲ*



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἤδη καὶ βλαστάνοντα καὶ βρίθοντα ὑπ' εὐφορίας σκώληκες ἐπιγενόμενοι τρυγήσουσι. Τοὺς ἐλαιῶνας ὅταν ἴδῃς εὐθηνοῦντας καὶ καρπῶν ἄφθονον πλῆθος, ἡσθήσῃ, ὥσπερ εἰκός, δι' ἐλπίδα συγκομιδῆς εὐτυχοῦς· ὅταν ἄρξῃ συγκομίζειν, αἰσθήσῃ τῆς ἀτυχίας μᾶλλον ἢ τῆς εὐσεβείας· τὸ μὲν γὰρ ἔλαιον καὶ ὅσον πῖον ἐκρυήσεται σύμπαν ἀφανῶς, ὁ δὲ ἐκτὸς ὄγκος αὐτὸς εἰς ἀπάτην ψυχῆς κενὸς κενῆς ὑπολειφθήσεται. Καὶ συνόλως ὅσα σπαρτὰ ἢ δένδρα καρποῖς αὐτοῖς ἐξαναλωθήσεται πρὸς ἐρυσίβης.

2. Ἐφεδρεύσουσι δὲ καὶ ἄλλαι συμφοραὶ δίχα τῶν εἰρημένων, ἐνδείας καὶ ἀπορίας δημιουργοί. Δι' ὧν γὰρ ἡ φύσις ἀνθρώποις ἐχορήγει τὰ ἀγαθά, στειρωθήσεται γῆ καὶ οὐρανός, ἡ μὲν ἀμβλίσκουσα καὶ τελειογονεῖν ἀδυνατοῦσα τοὺς καρπούς, ὁ δὲ μεταβεβηκὼς εἰς ἀγονίαν τῶν ἐτησίων ὡρῶν, μὴ χειμῶνος, μὴ θέρους, μὴ ἔαρος, μὴ μετοπώρου πρὸς τὰς οἰκείας τάξεις ἀνιόντων, ἀλλ' εἰς ἄποιον καὶ πεφορημένην σύγκρισιν ἀποκριθῆναι βιασθέντων δεσποτικοῦ κράτους ἀρχῇ. Οὐ γὰρ ὄμβρος, οὐχ ὑετός, οὐ λεπτὴ ψεκάς, οὐ βραχεῖα λιβάς, οὐ δρόσος, οὐκ ἄλλο τι τῶν αὔξειν δυναμένων ἐπιγενήσεται· τὸ ἐναντίον δὲ ὅσα λυμαντικὰ μὲν φυομένων, φθοροποιὰ δὲ καρπῶν καταπεπανθέντων καὶ ἵνα μὴ τελειωθῇ παρεσκευασμένα. „Θήσω γάρ," φησί (Deut. 28, 23), „τὸν οὐρανὸν ὑμῖν χαλκοῦν, καὶ τὴν γῆν σιδηρᾶν," αἰνιττόμενος τὸ μηδέτερον αὐτῶν [*] τὰ οἰκεῖα καὶ πρὸς ἃ γέγονεν ἐπιτελέσειν ἔργα. Ποῦ γὰρ ἢ σίδηρος ἐσταχυοφόρησεν, ἢ χαλκὸς ὑετὸν ἤνεγκε, ὧν χρεῖα τὰ ζῷα, καὶ μάλιστα τὸ ἐπίκηρον καὶ πολλῶν ἐπιδεές, ἄνθρωπος; Μηνύει δὲ οὐ μόνον ἀφορίαν καὶ τῶν ἐτησίων ὡρῶν φθοράν, ἀλλὰ καὶ πολέμων γενέσεις, καὶ τῶν ἐν τούτοις ἀφο-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑετῶν καὶ ἀριθμητῶν καρπῶν· χαλκὸς γὰρ καὶ σίδηρος πολεμιστηρίων ὅπλων ὕλαι. „Καὶ γῆ μέντοι κονιορτὸν οἴσει, καὶ χοῦς ἄνωθεν ἐξ οὐρανοῦ καταχθήσεται" (Deut. 28, 24), βαρύτατον ἐπιφέρων νεφετὸν εἰς τὴν διὰ πνίγους ἀπώλειαν, ἵνα μηδὲν περιλειφθῇ τῶν ἐπ' ὀλέθρῳ. Πολυάνθρωποι μὲν ἐρημωθήσονται συγγένειαι, κεναὶ δὲ αἱ πόλεις ἐξαπιναίως οἰκητόρων ἔσονται, μνημεῖα παλαιᾶς μὲν εὐτυχίας, προσφάτου δὲ βαρυδαιμονίας ἀπολειφθεῖσαι, πρὸς νουθεσίαν τῶν δυναμένων σωφρονίζεσθαι.

3. Τοσαύτη δὲ ἐφέξει σπάνις τῶν ἀναγκαίων, ὥστε ἀλλοτριωθέντες τούτων τρέψονται ἐπ' ἀλληλοφαγίας οὐ μόνον ὀθνείων καὶ μηδὲν προσηκόντων, ἀλλὰ καὶ τῶν οἰκειοτάτων καὶ φιλτάτων. „Ἁρπάσει γὰρ καὶ πατὴρ υἱοῦ σαρκῶν, καὶ μήτηρ σπλάγχνων θυγατρός, καὶ ἀδελφῶν ἀδελφοὶ καὶ γονέων παῖδες" (Deut. 28, 53)· ἔτι δὲ οἱ ἀσθενέστεροι τῶν δυνατωτέρων κακαὶ καὶ ἐπάρατοι τροφαὶ — τὰ θηρίων πάθη, καὶ συγκεκριμένοι ταῖς ὑπερβολαῖς τῶν συμφορῶν, ἵνα μεγαλουργήσωσιν αἱ κακίαι. Μετὰ γὰρ τῶν ἄλλων ὥσπερ ἐν εὐτυχίαις πολλοῖς ὁ βίος εἰς ἀπόλαυσιν ἀγαθῶν, οὕτως καὶ τοῖς βαρυδαίμοσιν ἐκείνοις ἔργα πολλὰ ἐπιδρυθήσεται τῷ ζῆν, πρὸς ὑπάρξιν καὶ ἀνυποίστων κακῶν μετουσίαν, ἀνιάτων ἀνιάτων. Πό-τον γὰρ ἀπαλλαγήσονται ἐπιτομάς θανάτῳ τὰς ἀνίας, ἢ τοὺς μὴ ἐᾶν φρονιμωθέντων ἔθους ἀγῶν· οἱ δὲ ἐν παρα-πλήξει ἐθέλοιεν ἂν καὶ μακροβιώτατοι γενέσθαι, τῆς ἀνυποίστου βαρυδαιμονίας ἀπλήρωτοι καὶ ἀκορέστως ἔχον-τες. Τοσαῦτα τὸ κεφάλαιον εἶναι δοκοῦν τῶν κακῶν, πενίαν, προσαγορεύεσθαι πέφυκεν, ὅταν θαλάττης ἐπιστῆ-ται δίκη. Καὶ γὰρ αἱ χαλεπαὶ ἄρξεις, δῆμοι, ἔνδεια τρο-φῆς, ἀλλ' εὐπαραίτητα γένοιτο ἂν ἐπὶ καιρῶν, εἰ μόνον

ἀνυπέρθετον φθορὰν ἐργάσοιτο· χρονίζοντα δὲ καὶ τήκοντα ψυχήν τε καὶ σῶμα, τῶν τετραγῳδημένων, ἃ δι' ὑπερβολὰς μεμυθεῦσθαι δοκεῖ, βαρύτατον πέφυκε κακουργεῖν.

*Alia poena est servitus.*

4. Δουλεία τοῖς ἐλευθέροις ἀφορητότατόν ἐστιν, ὑπὲρ ἧς ἀποθνήσκειν σπουδάζουσιν οἱ σώφρονες, [*] ἀγωνιζόμενοι φιλοκινδύνως πρὸς τοὺς ἐπανατεινομένους δεσποτείαν. Ἀφόρητον δὲ καὶ ἐχθρὸς ἄμαχος. Εἰ δὲ ὁ αὐτὸς ἀμφότερα γένοιτο, δεσπότης ὁμοῦ καὶ πολέμιος, τίς ἂν ὑποσταίη; τὸ μὲν δύνασθαι ἀδικεῖν ἐκ δεσποτικῆς ἐξουσίας, τὸ δὲ μηδενὶ συγγινώσκειν ἐξ ἀσυμβάτου δυσμενείας περιπεποιημένος. Ἐχθροῖς οὖν φησὶ δεσπόταις εἰς τὸ ἀνηλεὲς χρήσεσθαι τοὺς ἀλογοῦντας νόμων ἱερῶν, οὐ μόνον ἐξ ἐπιθέσεως τῆς ἐκείνων ὑπαχθέντας, ἀλλὰ καὶ νόμοις ἑκουσίοις ἐκδόντας αὑτοὺς ἕνεκεν τῶν ἀβουλήτων, ἃ καὶ λιμὸς καὶ σπάνις τῶν ἀναγκαίων ἀπεργάζεται. Τὰ γὰρ ἐλάττω κακὰ φυγῇ μειζόνων αἱρετὰ νομίζουσί τινες, εἰ δή τι βραχὺ τῶν εἰρημένων ἐστί. Δουλεύοντες πικρῶν μὲν ἐπιταγμάτων ὑπηρεσίας ἀναδέξονται τοῖς σώμασι, πικροτέρων δὲ θεαμάτων ἀνίαις κατατεινόμενοι τὰς ψυχὰς ἀπαγορεύσουσιν. Ὄψονται γὰρ ὧν συνῳκοδόμησαν ἢ κατεφύτευσαν ἢ περιεποιήσαντο, κληρονόμους γεγονότας ἐχθρούς, ἀλλοτρίων ἀπολαύοντας ἀγαθῶν καὶ ἑτοίμων. Ὄψονται καὶ τὰ πίονα τῶν ἰδίων θρεμμάτων εὐωχουμένους, ἱεροῦντας καὶ παραρτύοντας εἰς ἀπόλαυσιν ἡδίστην, ὑστερούμενοι τῆς ἀφελομένης. Ὄψονται καὶ γυναῖκας, ἃς ἠγάγοντο κουριδίας ἐπὶ γνησίων παίδων σπορᾷ, σώφρονας, οἰκουροὺς καὶ φιλαν-

ὑπὲρ τοῦ μὴ εὐοδεῖν τὴν ἀναπνοήν· πάρεσις γλώσσης, κώφωσις ὤτων, πήρωσις ὀφθαλμῶν, τῶν ἄλλων ἀμυδρότης αἰσθήσεων καὶ σύγχυσις, καίτοι δεινὰ ὄντα, συγκρινόμενα βαρυτέροις οὐ φαίνεται δεινά· τοῦ μὲν ἐν φλεψὶν αἵματος ἀποβαλόντος ὅσον ἦν ἐν αὐτῷ ζωτικόν, τοῦ δὲ †ἑτέρου† ἐν ἀρτηρίαις πνεύματος τὴν ἔξωθεν ἀπὸ τοῦ συμφυοῦς ἀέρος μηκέθ' ὁμοίως ἐπιδεχομένου σωτήριον κρᾶσιν· τῶν δὲ νεύρων ἀνεθέντων καὶ χαλασθέντων, οἷς ἐπακολουθεῖ τῆς ἁρμονίας καὶ συμφωνίας τῶν μελῶν πάρεσις, πρότερον πονηθέντων ἁλμυροῦ καὶ πάνυ πικροῦ φορᾷ ῥεύματος εἰςπαραδυομένου, καὶ ὁπότε στενοῖς ἐγκατακλεισθείη πόροις εὐμαρεῖς διεξόδους οὐκ ἔχουσι, θλιβομένου τε καὶ θλίβοντος εἰς πικρῶν καὶ δυςυπομονήτων γένεσιν ἀλγηδόνων, ἐξ ὧν φύεται τὰ ποδαγρικὰ καὶ ἀρθριτικὰ πάθη καὶ νοσήματα, πρὸς ἃ σωτήριον οὐδὲν ἐπενοήθη φάρμακον, ἀλλ' ἔστιν ἀνθρωπίναις ἐπινοίαις ἀνίατα. Ταῦτα ὁρῶντες ἔνιοι καταπλαγήσονται, πῶς οἱ πρὸ μικροῦ πίονες, εὔσαρκοί τε καὶ εὐεξίᾳ μάλιστα θάλλοντες, οὕτως αἰφνίδιον ἐκτακέντες ῥικνοὶ γεγόνασιν ἶνες αὐτὸ μόνον καὶ λεπτὴ δορά· καὶ πῶς γυναῖκες ἁβροδίαιτοι καὶ πανάπαλοι, διὰ τὴν ἐκ πρώτης ἡλικίας συναυξηθεῖσαν τρυφήν, ὑπὸ κακώσεως δεινῆς ἅμα ταῖς ψυχαῖς καὶ τὰ σώματα ἐξηγρίωνται. Τότε δὴ τότε διώξονται μὲν ἐχθροί, μάχαιρα δὲ ἐκδικήσει δίκην. Οἱ δὲ εἰς τὰς πόλεις καταφεύγοντες, ὅταν ἐν ἀσφαλεῖ γεγενῆσθαι νομίσωσιν, ἐλπίδος ἀπάτῃ φενακισθέντες ἡβηδὸν ἀπολοῦνται προκαταδύντων ἐνέδραις ἐχθρῶν.

*Ignavia et pavor.*

6. Καὶ ἂν ἐπὶ τούτοις μὴ σωφρονίζοιντο, πλαγιάζοντες καὶ τὰς ἐπ' ἀλήθειαν ἀγούσας εὐθυτενεῖς ὁδοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκτρεπόμενοι, δειλία καὶ φόβος ταῖς ψυχαῖς αὐτῶν ἐνιδρυθήσονται (Lev. 26, 36), καὶ φεύξονται μὲν οὐδενὸς διώκοντος, φήμαις δὲ οἷα φιλεῖ ψευδέσι πεσοῦνται προτροπάδην. [*] Φύλλων κτύπος κουφότατος δι' ἀέρος φερόμενος τοσαύτην ἀγωνίαν καὶ πτοίαν ἐργάσεται, ὅσην ὁ βαρύτατος πόλεμος ἐκ δυνατωτέρων ἐχθρῶν, ὡς καὶ τέκνα γονέων, καὶ γονεῖς τέκνων, καὶ ἀδελφοὺς ἀδελφῶν ὑπεριδεῖν, ἐκ μὲν τῆς ἀλλήλων ἐπιβοηθείας ἅλωσιν προςδοκήσαντες, σωτηρίαν δὲ ἐκ τοῦ ἑαυτοὺς ἀποδιδράσκειν ἕκαστοι. Πονηρῶν δὲ ἀνθρώπων ἀτελεῖς ἐλπίδες· μᾶλλον γὰρ ἢ οὐχ ἧττον οἱ διαπεφευγέναι δόξαντες τῶν προκαταληφθέντων ἁλώσονται· καὶ ἂν διαλάθωσι μέντοι τινές, ἐφεδρείαν ἕξουσι τῶν φύσει πολεμίων. Οὗτοι δέ εἰσιν ἀγριώτεροι θῆρες ἐξ ἑαυτῶν εὐοπλοῦντες, οὓς ὁ θεὸς ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς ἐδημιούργει πρὸς ἀνθρώπων τῶν μὲν δυναμένων νουθετεῖσθαι φόβον, τῶν δὲ ἀνιάτως ἐχόντων ἀπαραίτητον δίκην. Ἀπιστήσουσι δὲ οἱ θεασάμενοι τὰς αὐτοῖς θεμελίοις ἀναιρεθείσας πόλεις, εἴποτε ᾠκίσθησαν· ἐν εἴδει δὲ παροιμίας θήσονται τὰς ἐκ λαμπρῶν εὐτυχημάτων ἐξαπιναίους κακοπραγίας, ὅσαι καὶ ἀνεγράφησαν, καὶ εἰσὶν ἄγραφοι (Deut. 28, 61). Παρελεύσονται καὶ ἆσθμα καὶ μέχρι σπλάγχνων τηκεδόνες, ἀθυμίας τε καὶ ἀδημονίας ἐμποιοῦσαι σὺν ἐκθλίψει, ζωὴν ἀνίδρυτον καὶ κρεμαμένην ὥςπερ ἐξ ἀγχόνης ἐργάσονται. Φόβου διαδοχαὶ μεθ' ἡμέραν τε καὶ νύκτωρ τὴν ψυχὴν ἄνω καὶ κάτω κλινοῦσιν, ὡς πρωΐας μὲν ἑσπέραν, ἑσπέρας δὲ ὄρθρον εὔχεσθαι, διὰ τὰς καὶ ἐγρηγορότων κακώσεις ἐμφανεῖς, καὶ κοιμωμένων ἐξ ὀνειράτων ἀποτροπαίους φαντασίας. Ὁ μὲν ἔπηλυς ἄνω ταῖς εὐτυχίαις μετέωρος ἀρθεὶς περίβλεπτος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔσται, θαυμαζόμενος καὶ μακαριζόμενος ἐπὶ δυσὶ τοῖς καλλίστοις, τῷ τε αὐτομολῆσαι πρὸς θεόν, καὶ τῷ γέρας λαβεῖν οἰκειότατον τὴν ἐν οὐρανῷ τάξιν βεβαίαν, ἣν οὐ θέμις εἰπεῖν· ὁ δὲ εὐπατρίδης παρακόψας τὸ νόμισμα τῆς εὐγενείας ὑποσυρήσεται κατωτάτω, πρὸς αὐτὸν τάρταρον καὶ βαθὺ σκότος ἐνεχθείς, ἵνα ταῦτα ὁρῶντες τὰ παραδείγματα πάντες ἄνθρωποι σωφρονίζωνται, μανθάνοντες ὅτι τὴν ἐκ *δυςγενείας* ἀρετὴν φυομένην θεὸς ἀσπάζεται, τὰς μὲν ῥίζας ἐῶν χαίρειν, τὸ δὲ στελεχωθὲν ἔρνος, ὅτι μετέβαλεν ἡμερωθὲν πρὸς εὐκαρπίαν, ἀποδεχόμενος.

*His dictis poenis inprimis afficiuntur qui septimum vel diem vel annum non observant.*

7. Οὕτως καθάπερ ὑπὸ πυρὸς δαπανηθεισῶν τῶν πόλεων καὶ τῆς χώρας ἐρημωθείσης ἄρξεταί ποτε διαπνεῖν καὶ ἀνακύπτειν ἡ πολλὰ γυμνασθεῖσα καὶ τραχηλισθεῖσα γῆ πρὸς οἰκητόρων ἀφορήτου βίας, οἳ τὰς παρθένους [*] ἑβδομάδας ὑπερορίους καὶ τῆς χώρας καὶ τῆς αὐτῶν διανοίας ἀπήλασαν. Μόνας γάρ, ἢ τό γε ἀσφαλέστερον εἰπεῖν, πρώτας ἀνέδειξεν ἑορτὰς ἡ φύσις τὰς ἑβδομάδας ἡμερῶν τε καὶ ἐνιαυτῶν, πρὸς ἀνάπαυλαν, ἀνθρώποις μὲν τὰς ἡμερῶν, τῇ δὲ χώρᾳ τὰς ἐνιαυτῶν. Οἱ δὲ ὅλον τοῦτον παρακαλυψάμενοι τὸν νόμον, τοὺς ἅλας, τὰς σπονδάς, τὸν ἐλέου βωμόν, τὴν κοινὴν ἑστίαν, ἐξ ὧν φιλία καὶ ὁμόνοια ἡρμόζετο — πάντα γὰρ δι᾽ ἑβδομάδος καὶ ἑβδομάς —, ἐβάρυναν μὲν ἀνθρώπους ἀσθενεστέρους οἱ δυνατώτεροι συνεχέσι καὶ ἀδιαστάτοις ἐπιτάγμασιν, ἐβάρυναν δὲ καὶ τὰς ἀρούρας, ἀεὶ κέρδη μεταδιώκοντες ἐκ πλεονεξιῶν ἄδικα, ταῖς ἐπιθυμίαις ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στήσαντες ἀχαλίνους καὶ ἀδίκους ὁρμὰς ἐς τὸ ἀκόρεστον. Ἀντὶ γὰρ τοῦ παρασχεῖν μὲν ἀνθρώποις, κατὰ τὸν ἀψευδέστατον λόγον ἀδελφοῖς, ὧν μία μήτηρ ἡ κοινὴ φύσις, τὰς προστεταγμένας δι' ἓξ ἡμερῶν ἐκεχειρίας, *παρέχειν* δὲ καὶ τῇ χώρᾳ τὰς δι' ἓξ ἐνιαυτῶν ἀνέσεις, μήτε σποραῖς μήτε φυτείαις βαρύνοντας, ἵνα μὴ καμάτοις ἐπαλλήλοις ἀπαγορεύσῃ· ἀμελήσαντες τουτωνὶ τῶν χρηστῶν παραινέσεων εἰς ἡμερότητα προκαλουμένων τὰ μὲν σώματα καὶ τὰς ψυχὰς ὧν ἠδύναντο πάντων, ἀνάγκαις ἀτρύτοις ἐπίεσαν, τῆς δὲ βαθυγείου τὴν ἰσχὺν ὑπετέμοντο φοραῖς ταῖς ὑπὲρ δύναμιν ἀπλήστως προσοδευόμενοι, καὶ δασμοῖς οὐκ ἐτησίοις μόνον, ἀλλὰ καὶ ἐφημέροις ὅλην δι' ὅλων ἐκτραχηλίζοντες. Ὑπὲρ ὧν οἱ μὲν τὰς λεχθείσας ἀρὰς καὶ δίκας ἀναπλήσουσιν· ἡ δὲ ἐκνευρισθεῖσα χώρα καὶ μυρίας ὑπομείνασα κακώσεις, ἀποφορτισαμένη τὸ τῶν ἀσεβῶν οἰκητόρων ἄχθος, ἐπελαφρισθήσεται. Καὶ ὅταν ἐν κύκλῳ περιβλεψαμένη μηδένα θεάσηται τῶν καθελόντων αὐτῆς τὸ μεγαλαύχημα καὶ ἀξίωμα, ἀλλὰ κενὰς μὲν αὐτοῦ τὰς ἀγορὰς θορύβων καὶ πολέμων καὶ ἀδικημάτων, πλήρεις δὲ ἡσυχίας καὶ εἰρήνης καὶ δικαιοσύνης, ἀνηβήσει καὶ ἐπακμάσει, καὶ τοὺς τῶν ἱερῶν ἑβδομάδων καιροὺς ἑορτώδεις ἠρεμήσει καὶ ἀναπαύσεται, συλλεγομένη καθάπερ ἀθλητὴς προηγωνισμένος δύναμιν. Εἶθ' οἷα μήτηρ φιλόστοργος οἰκτιεῖται μὲν υἱοὺς καὶ θυγατέρας οὓς ἀπέβαλεν, οἳ καὶ ἀποθανόντες, καὶ ζῶντες ἔτι μᾶλλον, τοῖς τοκεῦσι πένθος ἐγένοντο. Πάλιν δὲ νεάσασα εὐφορήσει καὶ τέξεται γενεὰν ἀνεπίληπτον, ἐπανόρθωμα τῆς πρότερον. „Ἡ γὰρ ἔρημος", ἦ φησὶν ὁ προφήτης (Jes. 54, 1), „εὔτεκνός [*] τε καὶ πολύπαις", ὅπερ λόγιον καὶ ἐπὶ ψυχῆς ἀλληγορεῖται. Πολλὴ μὲν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γὰρ ὅταν ᾖ, παθῶν καὶ κακιῶν ἀνάπλεως, οἷα περικεχυμένων αὐτῇ τέκνων, ἡδονῶν, ἐπιθυμιῶν, ἀφροσύνης, ἀκολασίας, ἀδικίας, ἀσθενεῖ καὶ νοσεῖ καὶ ἐπικήρως ἔχουσα θανατᾷ, στειρωθεῖσα δὲ καὶ ἀγονήσασα τούτων ἢ καὶ ἀποβαλοῦσα ἀθρόως γίνεται μὲν ἐκ μεταβολῆς ἁγνὴ παρθένος, παραδεξαμένη δὲ τὸν θεῖον σπόρον διαπλάττει καὶ ζωογονεῖ περιμάχητα φύσει καὶ θαυμαστὰ κάλλη, φρόνησιν, ἀνδρίαν, σωφροσύνην, δικαιοσύνην, ὁσιότητα, εὐσέβειαν, τὰς ἄλλας ἀρετάς τε καὶ εὐπαθείας, ὧν οὐ μόνον ἡ γένεσις εὔτεκνον ἀγαθόν, ἀλλὰ καὶ ἡ προσδοκία τῆς γενέσεως ἐλπίδι προγανοῦσα τὴν ἀσθένειαν. Ἐλπὶς δὲ χαρὰ πρὸ χαρᾶς ἐστίν, εἰ καὶ ἐνδεὴς παρὰ τελείαν, ἀλλά τοι τῆς ἐπιγινομένης καθ' ἑκάτερα βελτίων, ὅτι τε τὸ αὐχμηρὸν ἀναχαλᾷ καὶ λιπαίνει τῶν φροντίδων, καὶ ὅτι φθάνουσα τὸ μέλλον καὶ πλῆρες ἀγαθὸν εὐαγγελίζεται.

*Has exsecrationes passi qui resipuerint, Deum propitium habebunt, tribus usuri intercessoribus: uno Dei ipsius bonitate, altero maiorum sanctitate, tertio ipsorum ad frugem reditu.* (8. 9.)

8. Τὰς μὲν οὖν ἀρὰς καὶ τιμωρίας, ἃς ὑπομένειν ἄξιον τοὺς τῶν ἱερῶν νόμων δικαιοσύνης καὶ εὐσεβείας ὑπερορῶντας καὶ ταῖς πολυθέοις δόξαις ὑπαχθέντας, ὧν ἀθεότης τὸ τέλος, λήθῃ τῆς συγγενοῦς καὶ πατρίου διδασκαλίας, ἣν ἐκ πρώτης ἡλικίας ἐπαιδεύθησαν, τὴν τοῦ Ἑνὸς φύσιν τὸν ἀνωτάτω νομίζειν θεόν, ᾧ δεῖ μόνῳ προσκεκληρῶσθαι τοὺς ἄπλαστον ἀλήθειαν ἀντὶ πεπλασμένων μύθων μεταδιώκοντας, οὐδὲν ὑποστειλάμενος δεδήλωκα. Ἐὰν μέντοι μὴ ἐπ' ὀλέθρῳ δέξωνται τὰς δυνά-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεις μᾶλλον ἢ νουθεσίᾳ, καὶ καταιδεσθέντες ὅλῃ ψυχῇ μεταβάλωσι, κακίσαντες μὲν αὑτοὺς τῆς πλάνης, ἐξαγορεύσαντες δὲ καὶ ὁμολογήσαντες ὅσα ἥμαρτον καθ᾽ αὑτοὺς διανοίᾳ κεκαθαρμένῃ, τὸ πρῶτον εἰς τὸ τοῦ συνειδότος ἀψευδὲς καὶ ἀνύπουλον, ἔπειτα καὶ γλώττῃ πρὸς βελτίωσιν τῶν ἀκουόντων, εὐμενείας τεύξονται τῆς ἐκ τοῦ σωτῆρος καὶ ἵλεω θεοῦ, τῷ γένει τῶν ἀνθρώπων ἐξαίρετον παρασχομένου καὶ μεγίστην δωρεάν, τὴν πρὸς τὸν αὐτοῦ λόγον συγγένειαν, ἀφ᾽ οὗ καθάπερ ἀρχετύπου γέγονεν ὁ ἀνθρώπειος νοῦς. Καὶ ἂν γὰρ ἐν ἐσχατιαῖς ὦσι γῆς, δουλεύοντες παρὰ τοῖς αἰχμαλώτους αὐτοὺς ἀπάγουσιν ἐχθροῖς, ὥςπερ ἀφ᾽ ἑνὸς συνθήματος ἡμέρᾳ μιᾷ πάντες ἐλευθερωθήσονται, τῆς ἀθρόας πρὸς ἀρετὴν μεταβολῆς κατάπληξιν ἐργασαμένης τοῖς δεσπόταις· μεθήσονται γὰρ αὐτούς, αἰδεσθέντες κρειττόνων ἄρχειν.

9. Ὅταν δὲ τύχωσιν τῆς ἀπροσδοκήτου ταύτης ἐλευθερίας οἱ πρὸ μικροῦ σποράδες ἐν Ἑλλάδι καὶ βαρβάρῳ κατὰ νήσους καὶ κατὰ ἠπείρους, ἀναστάντες [*] ὁρμῇ μιᾷ πρὸς ἕνα συντείνουσιν ἀλλαχόθεν ἄλλοι τὸν ἀποδειχθέντα χῶρον, ξεναγούμενοι πρός τινος θειοτέρας ἢ κατὰ φύσιν ἀνθρωπίνης ὄψεως, ἀδήλου μὲν ἑτέροις, μόνοις δὲ τοῖς ἀνασωζομένοις ἐμφανοῦς, τρισὶ χρησόμενοι παρακλήτοις τῶν πρὸς τὸν πατέρα καταλλαγῶν· ἑνὶ μὲν ἐπιεικείᾳ καὶ χρηστότητι τοῦ παρακαλουμένου, ὃς συγγνώμην πρὸ τιμωρίας ἀεὶ τίθεται· δευτέρῳ δὲ τῇ τῶν ἀρχηγετῶν τοῦ ἔθνους ὁσιότητι, ὅτι ταῖς ἀφειμέναις σωμάτων ψυχαῖς ἄπλαστον καὶ γυμνὴν ἐπιδεικνυμέναις πρὸς τὸν ἄρχοντα θεραπείαν τὰς ὑπὲρ υἱῶν καὶ θυγατέρων ἱκετείας οὐκ ἀτελεῖς εἰώθασι ποιεῖσθαι, γέρας αὐτοῖς παρέχοντος τοῦ πατρὸς τὸ ἐπήκοον ἐν εὐχαῖς· τρίτῳ δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δι' ὃ μάλιστα καὶ ἡ τῶν λεχθέντων εὐμένεια φθάνει προαπαντῶσα. τοῦτο δέ ἐστι βελτίωσις τῶν ἀγομένων εἰς σπονδὰς καὶ συμβάσεις, οἳ μόλις ἐξ ἀνοδίας εἰς ὁδὸν ἠδυνήθησαν ἐλθεῖν, ἧς τὸ πέρας οὐδὲν ἕτερον ἢ εὐαρεστεῖν τῷ θεῷ, καθάπερ υἱοὺς πατρί. Παραγενομένων δὲ πολισθήσονται πάλιν αἱ ἐρείπιοι γενόμεναι πρὸ μικροῦ, καὶ ἡ ἔρημος οἰκισθήσεται, καὶ ἡ στειρωθεῖσα γῆ μεταβαλεῖ πρὸς εὐγονίαν. Αἵ τε πατέρων καὶ προγόνων εὐτυχίαι βραχὺ μέρος εἶναι νομισθήσονται διὰ τὰς ἀφθόνους τῶν ἐν χερσὶν περιουσίας, αἳ καθάπερ ἀενάων πηγῶν τοῦ θεοῦ χαρίτων ῥέουσαι βαθὺν πλοῦτον ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ περιποιήσουσι φθόνου κρείττονα. Μεταβολὴ δὲ πάντων ἐξαπιναίως ἔσται· τρέψει γὰρ ὁ θεὸς τὰς ἀρὰς ἐπὶ τοὺς μετανενοηκότων ἐχθρούς, οἵτινες κακοπραγίαις τοῦ ἔθνους ἐφήδοντο κατακερτομοῦντες καὶ ἐπιχλευάζοντες, ὡς αὐτοὶ μὲν ἀναφαίρετον ἕξοντες καιρὸν εὐτυχίας, ὃν παισὶ καὶ ἐκγόνοις κατὰ διαδοχὴν ἀπολείψειν ἤλπισαν, ἀεὶ δὲ ἐποψόμενοι τοὺς ἀντιπάλους ἐν βεβαίῳ καὶ ἀκλινεῖ δυστυχίᾳ ταμιευθησομένῃ καὶ ταῖς ἔπειτα γενεαῖς, ὑπὸ φρενοβλαβείας οὐ συνιέντες ὅτι καὶ τῆς πρὸ μικροῦ λαμπρότητος ἀπήλαυσαν οὐ δι' ἑαυτούς, ἀλλὰ διὰ νουθεσίαν ἑτέρων, οἷς τὰ πάτρια καταλύσασι φάρμακον ἀνευρέθη σωτήριον, λύπη, τῶν δυσμενῶν ἀγαθὰ περιαιρήσασι. Κλαύσαντες οὖν καὶ στενάξαντες τὴν ἰδίαν τροπὴν ἐπὶ τὴν ἀρχαίαν καὶ προγονικὴν ἀνακάμψουσιν εὐτυχίαν διαυλοδρομήσαντες, οἷς μὴ εἰς ἅπαν ἐξοκεῖλαι συνέβη. Οἱ δὲ γελάσαντες τὰς ὀλοφύρσεις ἐκείνων, καὶ δημοτελεῖς ἑορτὰς ἄγειν ψηφισάμενοι τὰς ἀποφράδας αὐτῶν καὶ τὰ πένθη κατευωχηθέντες, καὶ συνόλως τὴν [*] ἑτέρων κακοδαιμονίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐδαιμονήσαντας, ὅταν ἄρξωνται κομίζεσθαι τὰ ἐπίχειρα τῆς ὠμότητος, αἰσθήσονται, διότι οὐκ εἰς ἀφανεῖς καὶ ἠμελημένους ἐξημάρτανον, ἀλλ' εἰς εὐπατρίδας, ἔχοντας ἐναύσματα τῆς εὐγενείας, ἀφ' ὧν ἀναρριπισθέντων ἐξέλαμψεν ἡ πρὸ μικροῦ σβεσθεῖσα εὔκλεια. Καθάπερ γὰρ ὑποτμηθέντων τῶν στελεχῶν, ὅταν μὴ ἀφαιρεθῶσιν αἱ ῥίζαι, νέα ἔρνη βλαστάνουσιν, ὑφ' ὧν τὰ γεράνδρυα παρευημερεῖται· τὸν αὐτὸν τρόπον καὶ ἐν ψυχαῖς βραχυτάτου σπέρματος τῶν εἰς ἀρετὴν ὑπολειφθέντος, ἄλλων παραιρεθέντων, οὐδὲν ἧττον ἀπὸ τοῦ βραχέος φύεται τὰ τιμιώτατα καὶ κάλλιστα τῶν ἐν ἀνθρώποις, δι' ἃ πάλιν εὐανδροῦσαι αἱ πόλεις συνοικίζονται, καὶ ἔθνη πρὸς πολυανθρωπίαν ἐπιδίδωσιν.

# ΠΕΡΙ
# ΕΥΓΕΝΕΙΑΣ.

# DE
# NOBILITATE.

[II, 438.]

*Nobilis non est illustri stirpe ortus, sed sapiens.*

1. Τοῖς δὲ ὑμνοῦσι τὴν εὐγένειαν ὡς μέγιστον ἀγαθὸν καὶ μεγάλων ἀγαθῶν αἴτιον οὐ μετρίως ἐπιτιμητέον, εἰ πρῶτον μὲν οἴονται τοὺς ἐκ παλαιοπλούτων καὶ παλαιενδόξων εὐγενεῖς, μήτε τῶν προγόνων, ἀφ' ὧν αὐχοῦσι γενέσθαι, διὰ τὰς ἀφθόνους περιουσίας εὐδαιμονησάντων, ἐπειδὴ τὸ πρὸς ἀλήθειαν ἀγαθὸν οὐδενὶ τῶν ἐκτός, ἀλλ' οὐδὲ τῶν περὶ σῶμα, μᾶλλον δὲ οὐδὲ παντὶ μέρει ψυχῆς, ἀλλὰ μόνῳ τῷ ἡγεμονικῷ πέφυκεν ἐνδιαιτᾶσθαι. Βουληθεὶς γὰρ ὁ θεὸς διὰ ἡμερότητα καὶ φιλανθρωπίαν καὶ παρ' ἡμῖν τοῦτο ἱδρύσασθαι, νεὼν ἀξιοπρεπέστερον ἐπὶ γῆς οὐχ εὗρε λογισμοῦ κρείττω· ὁ γὰρ νοῦς ἀγαλματοφορεῖ τὸ ἀγαθόν, κἂν ἀπιστῶσί τινες τῶν ἢ μὴ γευσαμένων σοφίας ἢ χείλεσιν ἄκροις — ἄργυρος γὰρ καὶ χρυσός, τιμαί τε καὶ ἀρχαί, καὶ σώματος [*] εὐεξίαι

μοι εὐμορφίας ἐοίκασι τοῖς ἐν τοῖς ἡγεμονίαις ἐπὶ χρυσὸν τετυγμένοις πρὸς τὴν εἰς βασιλίδος ἀρετῆς ὑπηρεσίαν εὐγενεστάτων φασὶ μὴ ἰδόντας. Ἐπειδὴ τοίνυν ἡ εὐγένεια κεκαθαρμένης διανοίας [ καὶ ] καθαρωτάτης τελείως κλῆρος οἰκεῖος, μόνους χρὴ λέγειν εὐγενεῖς τοὺς σώφρονας καὶ δικαίους, κἂν τύχωσιν ἐξ οἰκοτρίβων ἢ ἀργυρωνήτων γεγονότες. Τοῖς δὲ ἐξ ἀγαθῶν πονηροῖς γεγονόσιν ἄβατον ἔστω τὸ εὐγενείας χωρίον· ἄποικος γὰρ καὶ ἄπολις πᾶς φαῦλος, ἐκ πατρίδος, ἀρετῆς, ἐληλαμένος, ἥτις καὶ τῷ ὄντι σοφῶν ἀνδρῶν ἐστὶ πατρίς. Τούτῳ κατὰ τὸ ἀναγκαῖον ἕπεται δυσγένεια, κἂν ἢ πάππων ἢ προπάππων γένοιτο τοὺς βίους ἀνεπιλήπτων, ἀλλοτριοῦντι ἑαυτὸν καὶ ποῤῥωτάτω τῆς εὐγενείας διαζευγνύντι ἑαυτὸν ἔν τε λόγοις καὶ ἔργοις. Ἀλλὰ γὰρ πρὸς τῷ μὴ παραπέμπειν τοὺς πονηροὺς εὐγενεῖς, ἔτι καὶ πάντας αὐτοὺς ἐμοῦ πολεμίους ἀποφαίνουσ' εὐγένειαν καθαιροῦντας τὸ προγονικὸν ἀξίωμα, καὶ ὅσον ἐν τῷ γένει λαμπρὸν ἐξαμαυροῦντάς τε καὶ σβεννύντας.

*Hoc dictum probatur: vel paraphrastice.*

2. Διό μοι δοκοῦσι φιλοσοφώτατοι τινὲς ἀπαγορήσεις χρηματίζειν κατὰ υἱῶν, ἀποσχοινίζοντες αὐτοὺς τῆς οἰκίας καὶ συγγενείας, ὅταν τὴν ἐκ φύσεως ἐν τοῖς γεννήμασι πονηρίαν καὶ ὑπερβάλλουσαν εὕρωσιν ἢ ἐν ἐκείνοις μοχθηρίᾳ κατακορεῖς ὦσιν. Τὸ δὲ ἀληθὲς τοῦ λόγου ῥᾴδιον καὶ ἀφ' ἑτέρων διαγνῶναι. Τί γὰρ τοὺς ὄμμασι πεπηρωμένῳ γένοιτ' ἂν εἰς τὸ βλέπειν ὄφελος, ὀξυωπίας προγονικῆς ἐστερημένῳ; ἢ πρὸς ἑρμηνείαν τῷ πηρωμένῳ γλῶτταν, γονεῖς ἢ πάππους γενέσθαι μεγαλοφώνους; Τί δὲ ὄνησαι πρὸς ὑγείαν τὸν ἐκ μακρᾶς καὶ φθινώδους

νόσου κατεσκελετευμένον, ἐὰν οἱ τοῦ γένους ἀρχηγέται δι' ἀθλητικὴν ῥώμην ἐν Ὀλυμπιονίκαις ἢ περιοδονίκαις γράφονται; μένουσι γὰρ οὐδὲν ἧττον αἱ τοῦ σώματος κῆρες ἐν ὁμοίῳ, βελτίωσιν οὐκ ἐνδεχόμεναι διὰ τὰς τῶν οἰκείων εὐπραγίας. Τὸν αὐτὸν δὴ τρόπον οὔτε τοῖς ἀδίκοις δίκαιοι γονεῖς, οὔτε ἀκολάστοις σώφρονες, οὔτε συνόλως ἀγαθοὶ πονηροῖς ὄφελος· οὔτε γὰρ οἱ νόμοι τοῖς παρανομοῦσιν, ὧν εἰσὶν αὐτοὶ κολασταί. Νόμοι δὲ τίνες ἂν εἶεν ἄγραφοι ἢ οἱ βίοι τῶν ζηλωσάντων ἀρετήν; Ὅθεν οἶμαι τὴν εὐγένειαν, εἰ θεὸς αὐτὴν εἰς ἀνθρωπόμορφον ἰδέαν ἐτύπωσεν, στᾶσαν πρὸς τοὺς ἀφηνιαστὰς ἀπογόνους ταῦτ' ἂν εἰπεῖν· „Τὸ συγγενὲς οὐχ αἵματι μετρεῖται μόνον πρυτανευούσης ἀληθείας, ἀλλὰ πράξεων ὁμοιότητι καὶ θήρᾳ τῶν αὐτῶν. Ὑμεῖς δὲ τὰ ἐναντία ἐπετηδεύσατε, τὰ μὲν ἐμοὶ φίλα νομίσαντες ἐχθρά, τὰ δὲ καὶ [*] δυσμενῆ φίλα. Παρ' ἐμοὶ μὲν γὰρ αἰδὼς καὶ ἀλήθεια μετριοπάθειά τε καὶ ἀτυφία καὶ ἀκακία τίμια, παρ' ὑμῖν δὲ ἄτιμα. Καὶ ἐμοὶ μὲν ἐχθρὰ τὸ ἀναίσχυντον, τὸ ψεῦδος, ἡ ἀμετρία τῶν παθῶν, ὁ τῦφος, αἱ κακίαι, ὑμῖν δὲ οἰκειότατα. Τί δὴ μελετήσαντες ἀλλοτρίωσιν τὴν δι' ἔργων, τὴν ἐν λόγῳ συγγένειαν εὐπρεπὲς ὄνομα ὑποδυόμενοι καθυποκρίνεσθε; Παραγωγὰς γὰρ κεκομψευμένας καὶ ἀπάτας οὐκ ἀνέχομαι. Διότι ῥάδιον μὲν καὶ τῷ τυχόντι εὐπροσώπους λόγους εὑρεῖν, ἤθη δὲ ὑπαλλάξαι πονηρὰ χρηστοῖς οὐ ῥᾴδιον. Εἰς ἅπερ ἀφορῶσα καὶ νῦν ἐχθροὺς νομίζω καὶ αὖθις ἡγήσομαι τοὺς τὰ τῆς ἐχθρᾶς ὑπεκκαύματα ζωπυρήσαντας, καὶ μᾶλλον τῶν εἰς δυσγένειαν ὀνειδιζομένων ὑποβλέψομαι. Τούτοις μὲν γὰρ ἀπολογία τὸ μηδὲν οἰκεῖον ἔχειν καλοκἀγαθίας· ὑπόδικοι δὲ ὑμεῖς οἱ ἐκ μεγάλων φύντες

οἴκων, οἷς αὔχημα καὶ κλέος τὰ λαμπρὰ γένη. Παριδρυμένων γὰρ καὶ τρόπον τινὰ συμπεφυκότων ἀρχετύπων ἀγαθῶν οὐδὲν ἀπομάξασθαι καλὸν διενοήθητε. "Ὅτι δὲ ἐν ἀρετῆς κτήσει τίθετε τὸ εὐγενές, καὶ τὸν ἔχοντα ταύτην εὐγενῆ μόνον ὑπειλήφατε, ἀλλ' οὐχ ὅςτις ἂν καλῶν καὶ ἀγαθῶν γένηται γονέων, δῆλον ἐκ πολλῶν."

*Exemplis Caini et Adami.*

3. Αὐτίκα τοὺς ἐκ τοῦ γηγενοῦς φύντας τίς οὐκ ἂν εὐπατρίδας εἴποι καὶ εὐπατριδῶν ἀρχηγέτας; οἳ γένος ἐξαίρετον ἔλαχον παρὰ τοὺς ἔπειτα, βλαστήσαντες ἐκ τῶν πρώτων νυμφίων ἀνδρός τε καὶ γυναικός, τότε πρῶτον εἰς ὁμιλίαν κοινὴν ἐπὶ σπορᾷ τοῦ ὁμοίου συνελθόντων. Ἀλλ' ὅμως δυοῖν γενομένοιν ὁ πρεσβύτερος ὑπέμεινε (Gen. cap. IV. tot.) τὸν νεώτερον δολοφονῆσαι, καὶ τὸ μέγιστον ἄγος, ἀδελφοκτονίαν, ἐργασάμενος πρῶτος αἵματι ἀνθρωπίνῳ τὴν γῆν ἐμίανεν. Τί δὴ τοῦτον ὤνησεν ἡ εὐγένεια, τὴν ἐν ψυχῇ δυςγένειαν ἐπιδειξάμενον; Ἣν καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἔφορος Θεὸς ἰδὼν ἐστύγησε, καὶ προβαλόμενος τιμωρίας ὥρισεν· οὐκ εὐθὺς ἀνελών, ὅπως ἀναισθήτως ἔχῃ συμφορῶν, ἀλλὰ μυρίους ἐπικρεμάσας τοὺς ἐν αἰσθήσει θανάτους, λύπαις καὶ φόβοις ἐπαλλήλοις, εἰς κακῶν ὀδυνηροτάτων ἀντίληψιν. Ἐγένετο δέ τις τῶν μετὰ ταῦτα σφόδρα δοκίμων ἀνὴρ ὁσιώτατος, οὗ τὴν εὐσέβειαν ἀνάγραπτον ἠξίωσεν ἐν ἱεραῖς βίβλοις (Gen. cap. VII. tot.) ὁ τοὺς νόμους διαταξάμενος. Ἐν γοῦν τῷ μεγάλῳ κατακλυσμῷ, τῶν πόλεων ἀφανιζομένων πανωλεθρίᾳ — καὶ γὰρ τῶν ὀρέων τὰ ὑψηλότατα [*] τῇ συναυξήσει καὶ ἐπιτάσει τῆς περὶ τὴν φορὰν πλημμύρας κατεπίνετο —, μόνος μετὰ τῶν οἰκείων



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διασώζεται, τῆς καλοκἀγαθίας ἆθλον ἀράμενος, οὗ μεῖζον οὐκ ἔστιν εὑρεῖν. Ἀλλὰ καὶ τούτῳ τριῶν γενομένων παίδων καὶ συναπολελαυκότων τῆς πατρῴας δωρεᾶς εἷς ἐτόλμησε τὸν αἴτιον τῆς σωτηρίας πατέρα κατακερτομεῖν, γέλωτα καὶ χλεύην, εἴ τι παρεσφάλη μὴ καθ᾿ ἑκούσιον γνώμην, τιθέμενος, καὶ τοῖς μὴ εἰδόσιν ἀπογυμνῶν ἃ κρύπτειν θέμις, ἐπὶ τῇ τοῦ γεννήσαντος αἰσχύνῃ (Gen. 9, 22)· τοιγαροῦν ἀπὸ τῆς λαμπρᾶς εὐγενείας ἐπάρατος γενόμενος καὶ τοῖς μετ᾿ αὐτὸν ἀρχὴ κακοδαιμονίας, ὧν ἄξιον ἦν τυγχάνειν τὸ ἠμεληκότα γονέων τιμῆς. Ἀλλὰ τί τούτων μεμνῆσθαι προσῆκεν ἀφέμενον τοῦ πρώτου καὶ γηγενοῦς; ὃς ἕνεκα εὐγενείας οὐδενὶ θνητῷ σύγκριτος, χερσὶ μὲν θείαις εἰς ἀνδριάντα τὸν σωματοειδῆ τυπωθεὶς ἀκρότητι τέχνης πλαστικῆς, ψυχῆς δὲ ἀξιωθεὶς ἀπ᾿ οὐδενὸς ἔτι τῶν εἰς γέννησιν ἡκόντων, ἐμπνεύσαντος θεοῦ τῆς ἰδίας δυνάμεως ὅσον ἠδύνατο δέξασθαι θνητὴ φύσις. Ἦν ἄρ᾿ οὐχ ὑπερβολὴ τῆς εὐγενείας, μηδεμιᾶς τῶν ἄλλων, αἳ δὴ ὠνομάσθησαν, εἰς σύγκρισιν ἐλθεῖν δυναμένης; τῶν μὲν γὰρ τὸ κλέος ἐκ προγόνων εὐγενείας. Ἄνθρωποι δὲ οἱ πρόγονοι, ζῷα ἐπίκηρα καὶ φθαρτά, καὶ αἱ τούτων ἀβέβαιοι καὶ ἐφήμεροι τὰ πολλὰ εὐπραγίαι. Τοῦ δὲ πατὴρ μὲν θνητὸς οὐδεὶς οὐδὲ αἴτιος, ἀλλ᾿ ἢ θεός. Οὗ τρόπον τινὰ γενόμενος εἰκὼν κατὰ τὸν ἡγεμόνα νοῦν ἐν ψυχῇ, δέον ἀκηλίδωτον τὴν εἰκόνα φυλάξαι, καθ᾿ ὅσον οἷόν τε ἦν ἐπακολουθήσαντα ταῖς τοῦ γεννήσαντος ἀρεταῖς, προτεθέντων εἰς αἱρέσεις καὶ φυγὰς τῶν ἐναντίων, ἀγαθοῦ τε καὶ κακοῦ, καὶ καλοῦ καὶ αἰσχροῦ, καὶ ἀληθοῦς καὶ ψευδοῦς, τὰ μὲν ψευδῆ καὶ αἰσχρὰ καὶ κακὰ προθύμως εἵλετο, τῶν δὲ ἀγαθῶν καὶ καλῶν καὶ ἀληθῶν ἠλόγησεν· ἐφ᾿ οἷς εἰκότως θνητὸν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀντ᾽ ἀθανάτου βίον ἀνθυπηλλάξατο, μακαριότητος καὶ εὐδαιμονίας ἀποσφαλείς, καὶ ῥᾷστα μετέβαλεν εἰς ἐπίπονον καὶ κακοδαίμονα ζωήν (Gen. 3, 19).

*Exemplo Esavi.*

4. Ἀλλ᾽ οὗτοι μὲν ἔστωσαν κοινοὶ πᾶσιν ἀνθρώποις ὅροι, τοῦ μὴ ἐπὶ μεγάλοις γένεσι σεμνύνεσθαι τοὺς καλοκἀγαθίας ἀμοιροῦντας· Ἰουδαίοις δὲ καὶ ἕτεροι δίχα τῶν κοινῶν ἐξαίρετοι. Τῶν γὰρ τοῦ γένους ἀρχηγετῶν εἰσιν, οὓς αἱ τῶν προγόνων ἀρεταὶ συνόλως οὐδὲν ὤνησαν, ἐπ᾽ ἐπιλήπτοις καὶ [*] ὑπαιτίοις πράξεσιν ἁλόντας, εἰ καὶ πρὸς ἑτέρου μηδενὸς ἐλεγχθέντας, ἀλλ᾽ οὖν ὑπὸ τοῦ συνειδότος, ὃ μόνον ἐξ ἁπάντων δικαστήριον, τέχναις λόγων οὐ παράγεται. Πολύπαις ἦν ὁ πρῶτος, ἐκ τριῶν παιδοποιησάμενος γυναικῶν, οὐ δι᾽ ἡδονῆς ἀπόλαυσιν, ἀλλὰ δι᾽ ἐλπίδα τοῦ πληθῦναι τὸ γένος. Ἀλλ᾽ ἐκ πολλῶν εἷς μόνος ἀπεδείχθη κληρονόμος τῶν πατρῴων ἀγαθῶν· οἱ δὲ ἄλλοι πάντες γνώμης ὑγιοῦς σφαλέντες καὶ μηδὲν τῶν τοῦ γεννήσαντος ἀπομαξάμενοι διῳκίσθησαν, ἀλλοτριωθέντες τῆς ἀοιδίμου εὐγενείας. Πάλιν ἐκ τοῦ δοκιμασθέντος κληρονόμου δύο δίδυμοι γεννῶνται, μηδὲν ὅτι μὴ χεῖρας, καὶ ταύτας ἕνεκά τινος οἰκονομίας, ὅμοιον ἐπιφερόμενοι, μήτε τοῖς σώμασι, μήτε ταῖς γνώμαις· ὁ μὲν γὰρ νεώτερος καταπειθὴς τοῖς γονεῦσιν ἀμφοτέροις ἦν καὶ ὄντως εὐάρεστος, ὡς καὶ θεοῦ τυχεῖν ἐπαινέτου· ὁ δὲ μείζων ἀπειθής, ἐκ τῶν γαστρὸς καὶ τῶν μετὰ γαστέρα ἡδονῶν ἀκρατῶς ἔχων, ὑφ᾽ ὧν ἀνεπείσθη καὶ πρεσβείων ἐξίστασθαι τῷ μετ᾽ αὐτόν, καὶ μετανοεῖν εὐθὺς ἐφ᾽ οἷς ἐξέστη, καὶ φονᾶν κατὰ τοῦ ἀδελφοῦ, καὶ μηδὲν ἕτερον ἢ δι᾽ ὧν λυπήσει τοὺς γονεῖς πραγματεύεσθαι.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τοιγαροῦν τῷ μὲν εὐχὰς τίθενται τὰς ἀνωτάτω, βεβαιοῦντος αὐτὰς θεοῦ καὶ μηδεμίαν ἀξιώσαντος ἀτελῆ καταλιπεῖν· τῷ δὲ κατ' ἔλεον χαρίζονται τὴν ὑπήκοον τάξιν, ἵνα δουλεύῃ τῷ ἀδελφῷ, νομίζοντες, ὅπερ ἐστίν, ἀγαθὸν εἶναι τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον, καὶ εἴγε ὑπέμεινε τὴν δουλείαν ἄσμενος, δευτερείων ἂν ἠξιοῦτο, ὡς ἐν ἄθλοις, ἀρετῆς. Νυνὶ δὲ ἀπαυθαδιάσας καὶ δραπετεύσας τῆς καλῆς ἐπιστασίας αὐτῷ τε καὶ τοῖς ἀπογόνοις μεγάλων αἴτιος ὀνειδῶν ἐγένετο, ὡς τὸν ἄβιωτον αὐτοῦ βίον ἐστηλιτεῦσθαι — πρὸς σαφέστατον ἔλεγχον, τοῦ μηδὲν τὴν εὐγένειαν ὠφελεῖν τοὺς ἀναξίους εὐγενείας.

*Exempla antecedentibus contraria: Abrahamus.*

5. Οὗτοι μὲν οὖν εἰσὶ τῆς ἐπιλήπτου τάξεως, οὓς ἐξ ἀγαθῶν πονηροὺς γενομένους ὤνησαν μὲν οὐδὲν αἱ πατέρων ἀρεταί, αἱ δὲ ἐν τῇ ψυχῇ κακίαι μυρία ἔβλαψαν. Ἔχω δὲ εἰπεῖν ἑτέρους τοὺς ἐξ ἐναντίας ἀμείνω τεταγμένους τάξιν, οἷς πρόγονοι μὲν ὑπαίτιοι, ζηλωτὸς δὲ καὶ ἀνάπλεως εὐφημίας ὁ τούτων βίος. Τοῦ τῶν Ἰουδαίων ἔθνους ὁ πρεσβύτατος γένους μὲν ἦν Χαλδαίου, πατρὸς δὲ ἀστρονομικοῦ τῶν περὶ τὰ μαθήματα διατριβόντων, οἳ τοὺς ἀστέρας θεοὺς νομίζουσι καὶ τὸν [*] σύμπαντα οὐρανόν τε καὶ κόσμον, παρ' οὓς τό τε εὖ καὶ τὸ χεῖρον ἑκάστοις φασὶν ἀποβαίνειν, οὐδὲν ἔξω τῶν αἰσθητῶν αἴτιον ὑπολαμβάνοντες εἶναι. Τούτου δὲ τί ἂν εἴη χαλεπώτερον ἢ μᾶλλον ἀπελέγξαι τὴν ἐν τῇ ψυχῇ δυσγένειαν δυνάμενον, δι' ἐπιστήμης τῶν πολλῶν καὶ δευτέρων καὶ γεννητῶν εἰς ἀνεπιστημοσύνην ἰούσης τοῦ ἑνὸς καὶ πρεσβυτάτου καὶ γεννητοῦ καὶ ποιητοῦ τῶν ὅλων, καὶ διά τε ταῦτα ἀρίστου, καὶ διὰ μυρία ἄλλα, ἃ διὰ μέγεθος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀνθρώπινος λογισμὸς οὐ χωρεῖ; Ὃν ἐν τῷ λαβεῖν καὶ ἐπιθειάσας κατέλιπε μὲν πατρίδα καὶ γενεὰν καὶ πατρῷον οἶκον, εἰδώς, ὅτι μένοντος μὲν αἱ τῆς πολυθέου δόξης ἐγκαταμένουσαι ἀπάται ἔμελλον ἀνήνυτον κατασκευάζουσιν εἰς τὴν τοῦ ἑνὸς εὕρεσιν, ὅς ἐστιν ἀΐδιος μόνος, καὶ τῶν ἄλλων πατήρ, νοητῶν τε καὶ αἰσθητῶν, εἰ δὲ μετανασταίη, μετανασταίη καὶ τῆς διανοίας ἡ ἀπάτη, μεθαρμοσαμένη τὴν ψευδῆ δόξαν εἰς ἀλήθειαν. Ἅμα δὲ καὶ τὸν πόθον, ὃν ἐπόθει γνῶναι τὸ Ὄν, συγκροτοῦντα λόγια τὰ χρησθέντα, οἷς ὑφηγουμένοις ἐπὶ τὴν τοῦ ἑνὸς ἀοκνοτάτῃ σπουδῇ ζήτησιν ᾔει· καὶ οὐ πρότερον ἀνῆκεν ἢ τρανοτέρας λαβεῖν φαντασίας, οὐχὶ τῆς οὐσίας — τοῦτο γὰρ ἀμήχανον —, ἀλλὰ τῆς ὑπάρξεως αὐτοῦ καὶ προνοίας, ᾗ δίκαιον. Διὸ καὶ πιστεῦσαι λέγεται (Gen. 15, 6) τῷ θεῷ πρῶτος, ἐπειδὴ καὶ πρῶτος ἀκλινῆ καὶ βεβαίαν ἔσχεν ὑπόληψιν, ὡς ἔστιν ἓν αἴτιον τὸ ἀνωτάτω, καὶ προνοεῖ τοῦ τε κόσμου καὶ τῶν ἐν αὐτῷ. Κτησάμενος δὲ πίστιν, τὴν ἀρετῶν βεβαιοτάτην, συνεκτᾶτο καὶ τὰς ἄλλας ἁπάσας, ὡς παρὰ τοῖς ὑποδεξαμένοις νομίζεσθαι βασιλεύς (Gen. 23, 6), οὐχὶ ταῖς παρασκευαῖς — ἰδιώτης γὰρ ἦν —, ἀλλὰ τῷ περὶ τὴν ψυχὴν μεγέθει, φρονήματος ὢν βασιλικοῦ. Καὶ δὴ θεραπεύοντες αὐτὸν διετέλουν ὡς ἄρχοντα ὑπήκοοι, τὸ περὶ πάντα μεγαλεῖον τῆς φύσεως αὐτοῦ καταπληττόμενοι, τελειοτέρας οὔσης ἢ κατὰ ἄνθρωπον. Οὐδὲ γὰρ ὁμιλίαις ἐχρῆτο ταῖς αὐταῖς, ἀλλ' ἐπιθειάζων τὰ πολλὰ περιττοτέραις. Ὁπότε γοῦν κατασχεθείη, μετέβαλλε πάντα πρὸς τὸ βέλτιον, τὰς ὄψεις, τὴν χρόαν, τὸ μέγεθος, τὰς σχέσεις, τὰς κινήσεις, τὴν φωνήν, τοῦ θείου πνεύματος, ὅπερ ἄνωθεν καταπνευσθὲν εἰσῳκίσατο τῇ ψυχῇ, περιτιθέν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος τῷ μὲν [*] σώματι κάλλος ἐξαίρετον, τοῖς δὲ λόγοις πειθώ, τοῖς δὲ ἀκούουσι σύνεσιν. Ἆρ᾽ οὐκ ἂν εἴποι τις τὸν μετανάστην τουτονί, τὸν πάντων ἔρημον οἰκείων καὶ φίλων εὐγενέστατον εἶναι; τῆς πρὸς θεὸν συγγενείας ὀρεχθέντα καὶ σπουδάσαντα μηχανῇ πάσῃ γνώριμον αὐτῷ γενέσθαι, καὶ ταχθέντα μὲν τάξιν τὴν ἀρίστην ἐν προφήταις, πιστεύσαντα μηδενὶ τῶν ἐν γενέσει πρὸ τοῦ ἀγενήτου καὶ πάντων πατρός; βασιλέα δέ, ὡς ἔφην, καὶ παρὰ τοῖς ὑποδεξαμένοις νομισθέντα, μήθ᾽ ὅπλοις, μήτε στρατιωτικαῖς δυνάμεσιν, ὡς ἐνίοις ἔθος, λαβόντα τὴν ἀρχήν, ἀλλὰ χειροτονίᾳ θεοῦ τοῦ παναρέτου καὶ τοὺς εὐσεβείας ἐραστὰς αὐτοκρατέσιν ἐξουσίαις γεραίροντος ἐπ᾽ ὠφελείᾳ τῶν συντυγχανόντων; Οὗτος ἅπασιν ἐπηλύτοις εὐγενείας ἐστὶν ὁ κανών, δυσγένειαν μὲν τὴν ἐξ ἀλλοκότων νομίμων καὶ ἐκθέσμων ἐθῶν, ἃ λίθοις καὶ ξύλοις καὶ συνόλως ἀψύχοις ἰσοθέους ἀπένειμε τιμάς, καταλιποῦσι, καλὴν δὲ ἀποικίαν στειλαμένοις πρὸς ἔμψυχον τῷ ὄντι καὶ ζῶσαν πολιτείαν, ἧς ἔφορος καὶ ἐπίσκοπος ἀλήθεια.

*Nobiles mulieres.*

6. Ταύτην τὴν εὐγένειαν οὐ μόνον θεοφιλεῖς ἄνδρες, ἀλλὰ καὶ γυναῖκες ἐζήλωσαν, ἀπομαθοῦσαι μὲν ἀμαθίαν τὴν σύντροφον περὶ τιμῆς τῶν χειροκμήτων, παιδευθεῖσαι δὲ τὴν περὶ μοναρχίας ἐπιστήμην, ᾗ μοναρχεῖται ὁ κόσμος. Θάμαρ (Gen. 38, 6) ἦν τῶν ἀπὸ τῆς Παλαιστίνης Συρίας γύναιον, ἐν οἰκείᾳ πόλει τραφὲν πολυθέῳ, γεμούσῃ ξοάνων καὶ ἀγαλμάτων, καὶ συνόλως ἀφιδρυμάτων. Ἀλλ᾽ ἐπειδὴ καθάπερ ἐκ σκότους βαθέος ἐδυνήθη βραχεῖαν αὐγὴν ἀληθείας ἰδεῖν, θανάτου κινδύνῳ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*πρὸς εὐσέβειαν ηὐτόνησεν, ὀλίγα φροντίσασα τοῦ ζῆν, εἰ μὴ μέλλοι καλῶς ζῆν· τὸ δὲ καλῶς ἀνέφερεν ἐπ' οὐδὲν ἕτερον ἢ ἐπὶ τὴν θεραπείαν καὶ ἱκεσίαν τοῦ ἑνὸς αἰτίου. Καίτοι δυσὶν ἀδελφοῖς ἀμφοτέροις πονηροῖς ἐν μέρει γεγαμημένη, κουριδίῳ μὲν τῷ προτέρῳ, τῷ δὲ ὕστερον καὶ ἔχοντι ἐπιδικασίας νόμῳ, γονεὰν τοῦ προτέρου μὴ καταλιπόντος, ἀλλ' ὅμως ἀκηλίδωτον διαφυλάξασα τὸν ἑαυτῆς βίον ἴσχυσε καὶ προσηκούσης τοῖς ἀγαθοῖς εὐφημίας ἐπιλαχεῖν καὶ τοῖς μεθ' αὐτὴν ἅπασιν εὐγενείας ἀρχὴ γενέσθαι. Ἀλλ' αὕτη μὲν εἰ καὶ ἀλλόφυλος, ἀλλ' οὖν γε ἐλευθέρα, καὶ ἐξ ἐλευθέρων ἴσως καὶ οὐκ ἀσήμων· θεράπαιναι δὲ τῶν ὑπὲρ Εὐφράτην ἐν ἐσχατιαῖς τῆς Βαβυλῶνος γεννηθεῖσαι, προικίδιαι μὲν ἐδόθησαν γαμουμέναις ταῖς τροφιμαίαις, ἄξιαι δὲ κριθεῖσαι [*] παρελθεῖν εἰς εὐνὴν ἀνδρὸς σοφοῦ τὸ μὲν πρῶτον ἐκ παλλακίδων εἰς γαμετῶν ὄνομα καὶ σχῆμα παρῆλθον καὶ ἀντὶ θεραπαινίδων ἰσότιμοι ταῖς δεσποίναις ὀλίγου δέω φάναι κατέστησαν, ὑπ' ἐκείνων, ὅπερ ἦν ἀπιστότατον, πρὸς τὸ αὐτὸ ἀξίωμα παραπεμφθεῖσαι· φθόνος γὰρ οὐκ εἰσοικίζεται σοφῶν ψυχαῖς, οὐ μὴ παρόντος κοινοπραγοῦσι τῶν ἀγαθῶν. Οἱ δὲ ἐκ τούτων νόθοι παῖδες γνησίων οὐδὲν διήνεγκαν, οὐ μόνον παρὰ τῷ γεννήσαντι — θαυμαστὸν γὰρ οὐδέν, εἰ τοῖς μὴ ὁμογαστρίοις ἁπάντων μόνος πατὴρ τὴν αὐτὴν εὔνοιαν παρεῖχεν —, ἀλλὰ καὶ παρὰ ταῖς μητρυιαῖς· αἱ μὲν γὰρ τὸ εἰς προγόνους μῖσος ἀναιρούμεναι εἰς ἄληκτον μεθηρμόσαντο κηδεμονίαν. Οἱ δὲ πρόγονοι τῇ κατ' ἀντίδοσιν εὐνοίᾳ τὰς μητρυιὰς ὡς φύσει μητέρας ἐξετίμησαν· ἀδελφοί τε μόνῃ τῇ μίξει τοῦ γένους μερισθέντες οὐκ ἐφ' ἡμισείας στοργῆς ἀλλήλους ἠξίωσαν, ἀλλ' εἰς τὸ διπλάσιον τὸ τοῦ φιλεῖν καὶ ἀντιφιλεῖσθαι*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πάθος συναυξήσαντες καὶ τὸ δοκοῦν ὑστερίζειν προσανεπλήρωσαν, τοῖς ἐξ ἀμφοῖν γεγονόσιν εἰς ἁρμονίαν καὶ κρᾶσιν ἠθῶν συνδραμεῖν σπουδάσαντες.

*Qui aliud opinantur, reprobantur.*

7. Ἔτι τοίνυν μεταδοτέον αὐτοῦ τοῖς ὡς ἴδιον ἀγαθὸν τὸ ἀλλότριον, εὐγένειαν, ὑποδυομένοις, οἳ δίχα τῶν εἰρημένων ἐχθροὶ δικαίως νομισθεῖεν καὶ τοῦ τῶν Ἰουδαίων ἔθνους, καὶ τῶν πανταχοῦ πάντων· τοῦ μὲν, ὅτι διδόασι τοῖς ὁμοφύλοις ἐκεχειρίαν, ὀλιγωρεῖν ὑγιαινούσης βεβαίου, καὶ οὐ πεποιθήσει *) προγονικῆς ἀρετῆς· τῶν δὲ, ὅτι καὶ ἂν ἐπ' αὐτὴν φθάσωσιν ἀκρότητα καλοκἀγαθίας, οὐδὲν ὠφεληθήσονται, διὰ τὸ μὴ τυχεῖν γονέων καὶ πάππων ἀνεπιλήπτων. Ἧς οὐκ οἶδ' εἴ τις βλαβερωτέρα γένοιτο ἂν εἰσήγησις, εἰ μήτε τοῖς ἐξ ἀγαθῶν πονηρευομένοις ἐπακολουθήσει τιμωρὸς δίκη, οὔτε τοῖς ἐκ πονηρῶν ἀγαθοῖς ἕψεται τιμή, τοῦ νόμου δικάζοντος ἕκαστον αὐτὸν ἀφ' ἑαυτοῦ, μὴ συγγενῶν ἀρεταῖς ἢ κακίαις ἐπαινοῦντος ἢ κολάζοντος.

---

*) Mang. emendari vult: ὑγιαίνοντος βίου τῇ πεποιθήσει.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΠΕΡΙ
# ΤΟΥ ΠΑΝΤΑ ΣΠΟΥΔΑΙΟΝ ΕΙΝΑΙ ΕΛΕΥΘΕΡΟΝ.

# QUOD LIBER SIT QUISQUIS VIRTUTI STUDET.

[II, 445.]

*Qui vere liber fieri cupit, sapientiam magistram adeat necesse est.* (1. 2.)

1. *Ὁ μὲν πρότερος λόγος ἦν ἡμῖν, ὦ Θεόδοτε, περὶ τοῦ πάντα δοῦλον εἶναι φαῦλον, ὡς καὶ διὰ πολλῶν καὶ εἰκότων καὶ ἀληθινῶν ἐπιστωσάμεθα. Οὑτοσὶ δὲ ἐκείνου συγγενής, ὁμοπάτριος καὶ ὁμομήτριος ἀδελφὸς καὶ τρόπον τινὰ δίδυμος, καθ' ὃν ἐπιδείξομεν, ὅτι πᾶς ὁ ἀστεῖος ἐλεύθερος. Τὸν μὲν οὖν τῶν Πυθαγορείων ἱερώτατον θίασον, λόγος ἔχει, μετὰ πολλῶν καὶ ἄλλων καλῶν καὶ τοῦτο ἀναδιδάσκειν, „ταῖς λεωφόροις μὴ βαδίζειν ὁδοῖς", οὐχ ἵνα κρημνοβατῶμεν — οὐ γὰρ ποσὶ κάματον παρήγγελλεν —, ἀλλ' αἰνιττόμενος διὰ συμβόλου τὸ μήτ' ἔργοις μήτε λόγοις δημώδεσι καὶ πεπατημέ-*

νοις χρῆσθαι. Ὅσοι δὲ φιλοσοφίαν γνησίως ἠσπάσαντο, καταπειθεῖς γενόμενοι τῷ προστάγματι λόγον αὐτό, μᾶλλον δὲ θεσμὸν ἰσούμενον χρησμῷ ὑπετόπησαν, καὶ δόξας ἀγελαίους ὑπερκύψαντες ἀτραπὸν ἄβατον ἐκαινοτόμησαν ἰδιώταις λόγων καὶ δογμάτων, ἰδέας ἀνασπείλαντες ὧν οὐδενὶ μὴ καθαρῷ θέμις ψαῦσαι. Λέγω δὲ μὴ καθαρούς, ὅσοι ἢ παιδείας εἰς ἅπαν ἄγευστοι [*] διετέλεσαν, ἢ πλαγίως ἀλλὰ μὴ ἐπ' εὐθείας αὐτῆς ἐγεύσαντο, κάλλος τὸ σοφίας εἰς τὸ σοφιστείας αἶσχος παραχαράξαντες. Οὗτοι τὸ νοητὸν φῶς ἰδεῖν μὴ δυνάμενοι δι' ἀσθένειαν τοῦ κατὰ ψυχὴν ὄμματος, ὃ ταῖς μαρμαρυγαῖς πέφυκεν ἐπισκιάζεσθαι, καθάπερ ἐν νυκτὶ διάγοντες ἀπιστοῦσι τοῖς ἐν ἡμέρᾳ ζῶσι, καὶ ὅσα ἂν αὐτοῖς ἡλιακῶν ἀκτίνων ἐπικρατούντων εἰλικρινέστατα περιαθρήσαντες διηγῶνται, τεράστια νομίζουσι φάσμασιν ἐοικότα, τῶν ἐν τοῖς θαύμασιν οὐ διαφέροντα. Πῶς γὰρ οὐκ ἐκτόπια καὶ θαύματα ὄντως, φυγάδας μὲν καλεῖν τοὺς μὴ μόνον ἐν μέσῃ τῇ πόλει διατρίβοντας, ἀλλὰ καὶ βουλεύοντας καὶ δικάζοντας καὶ ἐκκλησιάζοντας, ἔστι δὲ ὅτε καὶ ἀγορανομίας καὶ γυμνασιαρχίας καὶ τὰς ἄλλας λειτουργίας ὑπομένοντας; πολίτας δὲ τοὺς ἢ μὴ ἐγγραφέντας τὸ παράπαν ἢ ὧν ἀτιμία καὶ φυγὴ κατέγνωσται, πέραν ὅρων ἀνθρώπους ἐληλαμένους, οὐ μόνον οὐκ ἐπιβῆναι τῆς χώρας, ἀλλ' οὐδ' ἐξ ἀπόπτου τὸ πατρῷον ἔδαφος θεάσασθαι δυναμένους; εἰ μή τισι ποιναῖς ἐλαύνοιντο θανατῶντες· ἔφεδροι γὰρ καταστειχόντων κολασταὶ μυρίοι, καὶ δι' ἑαυτῶν ἠκονημένοι, καὶ νόμων προστάξεσιν ὑπηρετοῦντες.

2. Πῶς δὲ οὐ παράλογα καὶ γέμοντα πολλῆς ἀναισχυντίας ἢ μανίας ἢ — οὐκ ἔχω τί λέγω· διὰ γὰρ ὑπερ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βολὴν οὐδ' οἰκείων ὀνομάτων εὐπορῆσαι ῥᾴδιον — πλουσίους μὲν ὀνομάζειν τοὺς ἀπορωτάτους καὶ τῶν ἀναγκαίων ἐνδεεῖς, λυπρῶς καὶ ἀθλίως ἀποζῶντας, μόλις τὸ ἐφήμερον πορίζοντας, ἐν εὐθηνίᾳ κοινῇ λιμὸν ἐξαίρετον ἔχοντας, ἀρετῆς αὔρᾳ, καθάπερ ἀέρι φασὶ τοὺς τέττιγας, τρεφομένους; πένητας δὲ τοὺς ἀργύρῳ καὶ χρυσῷ καὶ πλήθει κτημάτων καὶ προσόδων, καὶ ἄλλων ἀμυθήτων ἀγαθῶν ἀφθονίᾳ περιῤῥεομένους, ὧν ὁ πλοῦτος οὐ συγγενεῖς καὶ φίλους αὐτὸ μόνον ὤνησεν, ἀλλὰ καὶ τῆς οἰκίας ἔξω προελθὼν μεγάλους ὁμίλους δημοτῶν καὶ φυλετῶν, διαβὰς δέ τι μεῖζον καὶ πόλει χορηγεῖ τὰ πάντα, ὧν εἰρήνη χρεῖος ἢ πόλεμος; Ἀπὸ δὲ τῆς αὐτῆς ὀνειρώξεως τοῖς μὲν ἀμφιθαλέσι καὶ τῷ ὄντι εὐπατρίδαις, ὧν οὐ γονεῖς μόνοι, ἀλλὰ καὶ πάπποι καὶ πρόγονοι μέχρι τῶν ἀρχηγετῶν καὶ πρὸς ἀνδρῶν καὶ πρὸς γυναικῶν ἐπιφανέστατοι γεγόνασι, δουλείαν ἐπιτολμῶσιν ἐπιφημίσαι, τοῖς δὲ ἐκ τριγονίας στιγματίαις, παιδόθρεψι καὶ παλαιοδούλοις, ἐλευθερίαν. Ἔστι δὲ [*] τὰ τοιαῦτα, ὡς ἔφην, πρόφασις ἀνθρώπων, οἳ διάνοιαν μὲν ἠμαύρωνται, δοῦλοι δὲ εἰσι δόξης, ἐπανέχοντες αἰσθήσεσιν, ὧν τὸ συνέδριον ὑπὸ τῶν κρινομένων ἀεὶ δεκαζόμενον, ἀβέβαιον. Χρῆν δὲ αὐτούς, εἴπερ ὅλως ἐζήλουν ἀλήθειαν, μὴ τῶν τὰ σώματα καμνόντων ἐν τῷ φρονεῖν ἐλαττοῦσθαι· ἐκεῖνοι μὲν γὰρ ἑαυτοὺς ἐπιτρέπουσιν ἰατροῖς ὑγείας ὀρεγόμενοι, κατοκνοῦσι δὲ οὗτοι νόσον ψυχῆς, ἀπαιδευσίαν, ἀποδύσασθαι, γενόμενοι σοφῶν ἀνδρῶν ὁμιληταί, παρ' ὧν οὐ μόνον ἐστὶν ἀπομαθεῖν ἀμαθίαν, ἀλλὰ καὶ τὸ ἴδιον ἀνθρώπου κτῆμα προσλαβεῖν, ἐπιστήμην. Ἐπειδὴ δὲ κατὰ τὸν λιγυρώτατον Πλάτωνα „φθόνος ἔξω θείου χοροῦ ἵσταται", θειότατον καὶ κοινωνικώτατον, σοφία,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συγκλείει μὲν οὐδέποτε τὸ ἑαυτῆς φροντιστήριον, ἀναπεπταμένη δὲ ἀεὶ εἰσδέχεται τοὺς ποτίμων διψῶντας λόγων, οἷς ἀκράτου διδασκαλίας ἄφθονον ἐπαντλοῦσα νᾶμα, μεθύειν τὴν νηφάλιον ἀναπείθει μέθην. Οἱ δὲ ὥσπερ ἐν ταῖς τελεταῖς ἱεροφαντηθέντες, ὅταν ὀργίων γεμισθῶσι, πολλὰ τῆς πρόσθεν ὀλιγωρίας ἑαυτοὺς κακίζουσιν, ὡς οὐ φεισάμενοι χρόνου, βίον δὲ τρίψαντες ἀβίωτον, ἐν ᾧ φρονήσεως ἐχήρευσαν. Ἄξιον οὖν νεότητα τὴν πανταχοῦ πᾶσαν τὰς ἀπαρχὰς τῆς πρώτης ἀκμῆς μηδενὶ μᾶλλον ἢ παιδείᾳ ἀναθεῖναι, ᾗ καὶ ἐνηβῆσαι καὶ ἐγγηρᾶσαι καλόν. Ὥσπερ γάρ φασι τὰ καινὰ τῶν ἀγγείων ἀναφέρειν τὰς τῶν πρώτων εἰς αὐτὰ ἐγχυθέντων ὀσμάς, οὕτω καὶ αἱ νέων ψυχαὶ τοὺς πρώτους τῶν φαντασιῶν τύπους ἀνεξαλείπτους ἐναποματτόμεναι, τῇ φορᾷ τῶν αὖθις ἐπεισρεόντων ἥκιστα κατακλυζόμεναι τὸ ἀρχαῖον διαφαίνουσιν εἶδος.

*Libertas duplex. Liber est, qui Deum ducem sequitur, mortem non timet.*

3. Ἅλις μὲν δὴ τούτων. Ἀκριβωτέον δὲ τὸ ζητούμενον, ἵνα μὴ τῇ τῶν ὀνομάτων ἀσαφείᾳ παραγόμενοι πλαζώμεθα, καταλαβόντες δὲ περὶ οὗ ὁ λόγος, τὰς ἀποδείξεις εὐσκόπως ἐφαρμόττωμεν. Δουλεία τοίνυν ἡ μὲν ψυχῶν, ἡ δὲ σωμάτων λέγεται. Δεσπόται δὲ τῶν μὲν σωμάτων ἄνθρωποι, ψυχῶν δὲ κακία καὶ πάθη. Κατὰ τὰ αὐτὰ δὲ καὶ ἡ ἐλευθερία· ἡ μὲν γὰρ ἄδειαν σωμάτων ἀπ᾽ ἀνθρώπων σωμάτων δυνατωτέρων, ἡ δὲ διανοίας ἐκεχειρίαν ἀπὸ τῆς τῶν παθῶν δυναστείας [*] ἐργάζεται. Τὸ μὲν οὖν πρότερον οὐδὲ εἷς ζητεῖ· μυρίαι γὰρ ἀνθρώπων τύχαι, καὶ πολλοὶ πολλάκις καιροῖς ἀβουλήτοις τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σφόδρα ἀστείων τὴν ἐκ γένους ἀπέβαλον ἐλευθερίαν. Ἀλλ' ἔστιν ἡ σκέψις περὶ τρόπων, οὓς οὔτ' ἐπιθυμίαι οὔτε φόβοι οὔθ' ἡδοναὶ οὔτε λῦπαι κατέζευξαν, ὥσπερ ἐξ εἱρκτῆς προεληλυθότων, καὶ δεσμῶν οἷς ἐπεσφίγγοντο, διαφειμένων. Ἀνελόντες οὖν ἐκποδὼν τὰς προφασιστικὰς ἐλευθερίας καὶ τὰ φύσεως μὲν ἀλλότρια, δόξης δὲ ἠρτημένα ὀνόματα οἰκοτρίβων ἢ ἀργυρωνήτων ἢ αἰχμαλώτων, τὸν ἀψευδῶς ἐλεύθερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι, κἂν μυρίοι γράφωσι δεσπότας ἑαυτούς. Ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον, οὐδὲν τῶν Πυθοχρήστων διαφέρον·

„Θεὸς ἐμοὶ ἄρχων, θνητῶν δὲ οὐδὲ εἷς."

Τῷ γὰρ ὄντι μόνος ἐλεύθερος, ὁ μόνῳ θεῷ χρώμενος ἡγεμόνι, κατ' ἐμὴν δὲ διάνοιαν καὶ τῶν ἄλλων ἡγεμών, ἐπιτετραμμένος τὰ περίγεια, οἷα μεγάλου βασιλέως, θνητὸς ἀθανάτου, διάδοχος. Ἀλλ' ὁ μὲν περὶ τῆς ἀρχῆς τοῦ σοφοῦ λόγος εἰς καιρὸν ἐπιτηδειότερον ὑπερκείσθω, τὸν δὲ περὶ ἐλευθερίας τανῦν ἀκριβωτέον. Εἰ δή τις ἔξω προελθὼν τῶν πραγμάτων ἐθελήσειε διακῦψαι, γνώσεται σαφῶς, ὅτι οὐδὲν ἄλλο ἄλλῳ συγγενὲς οὕτως, ὡς αὐτοπραγία ἐλευθερίᾳ. Διότι πολλὰ μὲν τῷ φαύλῳ τὰ ἐμποδών, φιλαργυρία, φιλοδοξία, φιληδονία· τῷ δὲ ἀστείῳ τὸ παράπαν οὐδέν, ἐπανισταμένῳ καὶ ἐπιβεβηκότι καθάπερ ἐν ἄθλων ἀγωνισταῖς καταπαλαισθεῖσιν, ἔρωτι, φόβῳ, δειλίᾳ, λύπῃ, τοῖς ὁμοιοτρόποις. Ἔμαθε γὰρ ὀλιγωρεῖν ἐπιταγμάτων, ὅσα οἱ ψυχῆς παρανομώτατοι ἄρχοντες ἐπιτάττουσι, διὰ ζῆλον καὶ πόθον ἐλευθερίας, ἧς τὸ αὐτοκέλευστον καὶ ἐθελουργὸν κλῆρος ἴδιος. Ἐπαινεῖται παρά τισιν ὁ τρίμετρον ἐκεῖνο ποιήσας·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

„Τίς ἐστι δοῦλος, τοῦ θανεῖν ἄφροντις ὤν;"

ὡς μάλα συνιδὼν τὸ ἀκόλουθον. Ὑπέλαβε γάρ, ὅτι οὐδὲν οὕτω δουλοῦσθαι πέφυκε διάνοιαν, ὡς τὸ ἐπὶ θανάτῳ δέος, ἕνεκα τοῦ πρὸς τὸ ζῆν ἱμέρου.

*Liber non timet paupertatem, obscuritatem, dolorem et alia mala.*

[illegible]. Χρὴ δὲ λελογίσθαι, ὅτι οὐχ ὁ τοῦ θανεῖν μόνον ἄφροντις ὢν ἀδούλωτος, ἀλλὰ καὶ ὁ τοῦ πένεσθαι καὶ ἀδοξεῖν καὶ ἀλγεῖν καὶ τῶν ἄλλων ὅσα οἱ πολλοὶ κακὰ νομίζουσι, κακοὶ τῶν [*] πραγμάτων ὄντες αὐτοὶ κριταί, οἵτινες ἐκ τῶν χρειῶν δοκιμάζουσι τὸν δοῦλον, εἰς τὰς ὑπηρεσίας ἀφορῶντες, δέον εἰς τὸ ἀδούλωτον ἦθος. Ὁ μὲν γὰρ ἀπὸ ταπεινοῦ καὶ δουλοπρεποῦς φρονήματος ταπεινοῖς καὶ δουλοπρεπέσι παρὰ γνώμην ἐγχειρῶν τὴν ἑαυτοῦ, δοῦλος ὄντως. Ὁ δὲ πρὸς τὸν παρόντα καιρὸν ἁρμοζόμενος τὰ οἰκεῖα, καὶ ἑκουσίως ἅμα καὶ τλητικῶς ἐγκαρτερῶν τοῖς ἀπὸ τύχης, καὶ μηδὲν καινὸν ἐπ' ἀνθρώπων εἶναι νομίζων, ἀλλ' ἐξητακὼς ἐπιμελῶς, ὅτι τὰ μὲν θεῖα αἰωνίῳ τάξει καὶ εὐδαιμονίᾳ τετίμηται, τὰ δὲ θνητὰ πάντα σάλῳ καὶ κλύδωνι πραγμάτων διαφερόμενα πρὸς ἀνίσους ῥοπὰς ταλαντεύει, καὶ γενναίως ὑπομένων τὰ συμπίπτοντα, φιλόσοφος εὐθύς τε καὶ ἐλεύθερος. Ὅθεν οὐδὲ παντὶ τῷ προστάττοντι ὑπακούσεται, κἂν αἰκίας καὶ βασάνους καί τινας φοβερωτέρας ἀπειλὰς ἐπανατείνηται, νεανιευόμενος δὲ ἀντικηρύξει·

„Πίμπρα, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ τ' ἄνω εἰς οὐρανόν,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον." *)

*) Euripides in Syleo.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Res exemplis illustratur. (Duo athletae.)*

5. Ἤδη ποτὲ εἶδον ἐν ἀγῶνι παγκρατιαστῶν τὸν μὲν ἐπιφέροντα τὰς πληγὰς καὶ χερσὶ καὶ ποσί, καὶ πάσας εὐσκόπως καὶ μηδὲν παραλελοιπότα τῶν εἰς τὸ νικᾶν, ἀπειρηκότα καὶ παρειμένον καὶ πέρας ἀστεφάνωτον ἐξελθόντα τοῦ σταδίου· τὸν δὲ τυπτόμενον ὑπὸ πυκνότητος σαρκῶν πεπιλημένον, στρυφνόν, ναστόν, ὄντως γέμοντα πνεύματος ἀθλητικοῦ, δι' ὅλου νενευρωμένον, οἷα πέτρον καὶ σίδηρον, οὐδὲν μὲν πρὸς τὰς πληγὰς ἐνδόντα, τὴν δὲ τοῦ ἀντιπάλου δύναμιν τῷ καρτερικῷ καὶ παγίῳ τῆς ὑπομονῆς καθῃρηκότα μέχρι παντελοῦς νίκης. Ὅμοιον δὴ τούτῳ πεπονθέναι μοι δοκεῖ ὁ ἀστεῖος· τὴν γὰρ ψυχὴν εὖ μάλα κραταιωθεὶς ἰσχυρογνώμονι λογισμῷ θᾶττον ἀναγκάζει τὸν βιαζόμενον ἀπειπεῖν ἢ ὑπομένει τι δρᾶσαι τῶν παρὰ γνώμην. Ἀλλ' ἄπιστον ἴσως τοῖς μὴ πεπονθόσιν ἀρετὴν τὸ λεγόμενον, καὶ γὰρ κἀκεῖνο τοῖς τοὺς παγκρατιαστὰς οὐκ ἰδοῦσι· γέγονε δὲ οὐδὲν ἧττον ἐπ' ἀληθείας. Εἰς ταῦτα δὲ ἀπιδὼν Ἀντισθένης „δυσβάστακτον" εἶπεν „εἶναι τὸν ἀστεῖον"· ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον καὶ φορούμενον, ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος ἔχον ἀσάλευτον. Ὁ δὲ δὴ τῶν Ἰουδαίων νομοθέτης (Gen. 16, 12!) τὰς τοῦ σοφοῦ χεῖρας [*] βαρείας εἰσάγει, διὰ συμβόλων τὰς πράξεις αἰνιττόμενος, οὐκ ἐπιπολαίως, ἀλλὰ παγίως ἐρηρεισμένας ἀπὸ διανοίας ἀρρεποῦς. Πρὸς οὐδενὸς οὖν ἀναγκάζεται, ἅτε καταπεφρονηκὼς μὲν ἀλγηδόνων, καταπεφρονηκὼς δὲ θανάτου, νόμῳ δὲ φύσεως ὑπηκόους ἔχων πάντας ἄφρονας. Ὅνπερ γὰρ τρόπον αἰγῶν μὲν καὶ βοῶν καὶ προβάτων αἰπόλοι καὶ βουκόλοι καὶ νομεῖς ἀφηγοῦνται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς δὲ ἀγέλας ἀμήχανον ἐπιτάξαι ποιμέσι· καὶ τὸν αὐτὸν τρόπον οἱ μὲν πολλοὶ θρέμμασιν ἐοικότες ἐπιστάτου καὶ ἄρχοντος δέονται. Ἡγεμόνες δέ εἰσιν οἱ ἀστεῖοι, τὴν τῶν ἀγελαρχῶν τεταγμένοι τάξιν. Ὅμηρος μὲν οὖν ποιμένας λαῶν εἴωθε καλεῖν τοὺς βασιλέας· ἡ δὲ φύσις τοῖς ἀγαθοῖς κυριώτερον τουτὶ τὸ ὄνομα ἐπεφήμισεν. Εἴγε ἐκεῖνοι ποιμαίνονται τὸ πλέον ἢ ποιμαίνουσιν — ἄκρατος γὰρ αὐτοὺς ἄγει καὶ εὐμορφία, πέμματά τε καὶ ὄψα, καὶ τὰ μαγείρων καὶ σιτοποιῶν ἡδύσματα, ἵνα τὰς ἀργύρου καὶ χρυσοῦ καὶ τῶν σεμνοτέρων ἐπιθυμίας παραλείπω —, τοῖς δὲ ὑπ' οὐδενὸς συμβέβηκε δελεάζεσθαι, νουθετεῖν δὲ μᾶλλον καὶ ὅσους ἂν αἴσθωνται πάγαις ἡδονῆς ἁλισκομένους.

*Liber et in bello et in pace.*

6. Ὅτι δὲ οὐχ αἱ ὑπηρεσίαι μηνύματά εἰσι δουλείας, ἐναργεστάτη πίστις οἱ πόλεμοι. Τοὺς γὰρ στρατευομένους ἰδεῖν ἔστιν αὐτουργοὺς ἅπαντας, οὐ μόνον τὰς πανοπλίας κομίζοντας, ἀλλὰ καὶ ὅσα πρὸς τὴν ἀναγκαίαν χρῆσιν ὑποζυγίων τρόπον ἐπηχθισμένους, εἶτ' ἐφ' ὑδρείαν ἐξιόντας καὶ φρυγανισμὸν καὶ χιλὸν κτήνεσι. Τὰ γὰρ πρὸς τοὺς ἐχθροὺς ἐν ταῖς στρατείαις τί δεῖ μακρηγορεῖν, τάφρους ἀνατεμνόντων ἢ τείχη κατασκευαζόντων ἢ τριήρεις ναυπηγούμενων, ἢ ὅσα ὑπουργίας ἢ τέχνης πάντα χερσὶ καὶ τῷ ἄλλῳ σώματι ὑπηρετούντων. Ἔστι δέ τις καὶ κατ' εἰρήνην πόλεμος τῶν ἐν τοῖς ὅπλοις οὐκ ἀποδέων, ὃν ἀδοξία καὶ πενία καὶ δεινὴ σπάνις τῶν ἀναγκαίων συγκροτοῦσιν, ὑφ' οὗ βιασθέντες ἐγχειρεῖν καὶ τοῖς δουλοπρεπεστάτοις ἀναγκάζονται, σκάπτοντες, γεωπονοῦντες, βαναύσους ἐπιτηδεύοντες τέχνας, ὑπηρετοῦντες ἀ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅπως ἕνεκα τοῦ παρατρίβεσθαι, πολλάκις δὲ καὶ κατὰ μέσην ἀγορὰν ἀχθοφοροῦντας ἐν ἡλικιωτῶν καὶ συμφοιτητῶν καὶ συνεφήβων ὄψεσιν. Ἕτεροι δέ εἰσιν ἐκ γένους δοῦλοι, τὰ τῶν ἐλευθέρων εὐμοιρίᾳ τύχης μετιόντες· ἐπίτροποι γὰρ οἰκιῶν, κτημάτων καὶ μεγάλων οὐσιῶν, ἔστι δὲ ὅτε καὶ ὁμοδούλων ἄρχοντες καθίστανται. Πολλοὶ δὲ καὶ γυναῖκας καὶ παῖδας ὀρφανοὺς δεσποτῶν ἐπετράπησαν, φίλων καὶ συγγενῶν προκριθέντες εἰς πίστιν· ἀλλ' ὅμως εἰσὶ δοῦλοι, δανείζοντες, ὠνούμενοι, προσόδους ἐκλεγόμενοι, θεραπευόμενοι. Τί οὖν θαυμαστόν, εἰ καὶ κατὰ τὸ ἐναντίον ὤλισθε *τις* ἀπορίας [*] δουλικὰς χρείας ἐπιτελεῖ; Τῷ δὲ ὑπουργεῖν ἑτέροις τὴν ἐλευθερίαν ἀφαιρεῖται. Καὶ πῶς πατρὸς μὲν ἢ μητρὸς ἐπιταγμάτων παῖδες ἀνέχονται, γνώριμοι δὲ ὧν ἂν ὑφηγηταὶ διακελεύωνται; Δοῦλος γὰρ ἑκὼν οὐδείς. Οἵ γε μὴν γονεῖς οὐ τοσαύτην ὑπερβολὴν ἐπιδείξονταί ποτε μισοτεκνίας, ὥσθ' ἃ μόνον σύμβολα δουλείας ἐστί, τὰς ὑπηρεσίας ἀναγκάσαι ἂν παῖδας τοὺς ἑαυτῶν ὑπομένειν. Εἰ δέ τινας ὑπ' ἀνδραποδοκαπήλων ἐπευωνιζομένους ἰδών τις οἴεται δούλους εὐθὺς εἶναι, πολὺ διαμαρτάνει τῆς ἀληθείας· οὐ γὰρ ἡ πρᾶσις κύριον ἀποφαίνει τὸν πριάμενον, ἢ τὸν πραθέντα δοῦλον, ἐπεὶ καὶ πατέρες υἱῶν τιμὰς κατέθεσαν, καὶ υἱοὶ πολλάκις πατέρων, ἢ κατὰ λῃστείας ἀπαχθέντων ἢ κατὰ πόλεμον αἰχμαλώτων γενομένων, οὓς οἱ τῆς φύσεως νόμοι, τῶν κατ' ἀνθρώπους ὄντες βεβαιότεροι, γράφουσιν ἐλευθέρους. Ἤδη δέ τινες καὶ προσυπερβάλλοντες εἰς τὸ ἐναντίον περιήγαγον τὸ πρᾶγμα, δεσπόται γενόμενοι τῶν πριαμένων ἀντὶ δούλων. Ἐγὼ γοῦν ἐθεασάμην πολλάκις εὔμορφα παιδισκάρια καὶ φύσει στωμύλα δεινὰ ἑρμηνεῦσαι, ὑφ' ὧν κάλλει καὶ τῇ περὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λόγους χάριτι, πορθοῦντα τοὺς κεκτημένους· ἑλεπόλεις γὰρ ταῦτά γε ψυχῶν ἀνιδρύτων καὶ ἀνερματίστων, μηχανημάτων ἁπάντων ὅσα ἐπ' ἀνατροπῇ τειχῶν κατασκευάζεται σθεναρώτατα. Σημεῖον δέ· θεραπεύουσιν, ἱκετεύουσιν, εὐμένειαν ὡς παρὰ τύχης καὶ ἀγαθοῦ δαίμονος αἰτεῖσθαι γλίχονται, καὶ παρορώμενοι μὲν σφαδάζουσιν, εἰ δὲ αὐτὸ μόνον τὸ βλέμμα ἵλεων θεάσαιντο, γεγηθότες ἀνορχοῦνται. Εἰ μὴ καὶ τὸν λέοντας ὠνησάμενον δεσπότην φατέον εἶναι λεόντων, ὃς εἰ μόνον ἐπανατείνοι τὰς ὄψεις, οἵους ἐπρίατο κυρίους ὁ δύστηνος, ὡς χαλεποὺς καὶ ὠμοθύμους, αὐτίκα παθὼν εἴσεται. Τί οὖν; οὐκ οἰόμεθα τὸν σοφὸν ἀδουλότερον εἶναι λεόντων, ἐλευθερίᾳ καὶ ἀτρώτῳ ψυχῇ τὴν ἀλκὴν ἔχοντα μᾶλλον, ἢ εἰ σώμασι φύσει δούλοις καὶ εὐτονίᾳ κραταιοτάτῃ ἰσχύος ἀφηνιάζοι;

*Liber est Dei amicus et qui sub legibus vivit.*

7. Μάθοι δὲ ἄν τις τὴν ἐλευθερίαν, ἣ περὶ τὸν σπουδαῖόν ἐστι, καὶ ἐξ ἑτέρων·

„Δοῦλος εὐδαίμων πρὸς ἀλήθειαν οὐδείς.“

Τί γὰρ ἀθλιώτερον ἢ πάντων ἄκυρον εἶναί τινα, καὶ ἑαυτοῦ; Ὁ δέ γε σοφὸς εὐδαίμων, ἕρμα καὶ πλήρωμα καλοκἀγαθίας ἐπιφερόμενος, ἐν ᾗ τὸ κῦρος ἐστὶν ἁπάντων. Ἀναμφιβόλως καὶ ἐξ ἀνάγκης ὁ σπουδαῖος ἐλευθερός ἐστι. Πρὸς τούτοις ἔτι οὐκ ἂν εἴποι τις τοὺς φίλους τοῦ θεοῦ ἐλευθέρους εἶναι; εἰ μὴ τοῖς μὲν τῶν βασιλέων ἑταίροις [*] ἄξιον μὴ μόνον ἐλευθερίαν, ἀλλὰ καὶ ἀρχὴν συνομολογεῖν συνεπιτροπεύουσι καὶ συνδιέπουσι τὴν ἡγεμονίαν, τοῖς δὲ θεῶν τῶν Ὀλυμπίων δουλείαν ἐπιφημι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στέον, οἳ διὰ τὸ φιλόθεον εὐθὺς γενόμενοι θεοφιλεῖς, ἴσῃ ἀντιτιμηθέντες εὐνοίᾳ παρ' ἀληθείᾳ δικαζούσῃ, καθάπερ οἱ ποιηταί φασι, πανάρχοντές τε καὶ βασιλέων βασιλῆές εἰσι. Νεανικώτερον δὲ ὁ τῶν Ἰουδαίων νομοθέτης προσυπερβάλλων, ἅτε γυμνῆς ὡς λόγος ἀσκητὴς φιλοσοφίας, τὸν ἔρωτι θείῳ κατεσχημένον καὶ τὸ Ὂν μόνον θεραπεύοντα οὐκέτι ἄνθρωπον, ἀλλὰ θεὸν ἀπετόλμησεν εἰπεῖν· ἀνθρώπων μέντοι θεόν, οὐ τῶν τῆς φύσεως μερῶν, ἵνα τῷ πάντων καταλείπῃ πατρὶ τὸ θεὸν εἶναι βασιλεῖ καὶ θεῷ. Ἆρα ἄξιον τὸν προνομίας τοσαύτης τετυχηκότα δοῦλον, ἢ μόνον ἐλεύθερον εἶναι νομίζειν; Ὃς εἰ καὶ θείας οὐκ ἠξίωται μοίρας καθ' αὑτόν, ἀλλά τοι διὰ τὸ φίλῳ θεῷ χρῆσθαι πάντως ὤφειλεν εὐδαιμονεῖν· οὔτε γὰρ ἀσθενὴς ὁ ὑπέρμαχος, οὔτε φιλικῶν ἀμελὴς δικαίων θεός, ἑταιρεῖος ὢν καὶ τὰ κατὰ τοὺς ἑταίρους ἐφορῶν. Ἔτι τοίνυν, ὥσπερ τῶν πόλεων αἱ μὲν ὀλιγαρχούμεναι καὶ τυραννούμεναι δουλείαν ὑπομένουσι, χαλεποὺς καὶ βαρεῖς ἔχουσαι δεσπότας τοὺς ὑπαγομένους καὶ κρατοῦντας, αἱ δὲ νόμοις ἐπιμεληταῖς χρώμεναι καὶ προστάταις εἰσὶν ἐλεύθεραι· οὕτω καὶ τῶν ἀνθρώπων, παρ' οἷς μὲν ἂν ὀργὴ ἢ ἐπιθυμία ἢ τι ἄλλο πάθος ἢ καὶ ἐπίβουλος κακία δυναστεύει, πάντως εἰσὶ δοῦλοι, ὅσοι δὲ μετὰ νόμου ζῶσιν, ἐλεύθεροι. Νόμος δὲ ἀψευδής, ὁ ὀρθὸς λόγος, οὐχ ὑπὸ τοῦ δεῖνος ἢ τοῦ δεῖνος, θνητοῦ φθαρτός, ἐν χαρτιδίοις ἢ στήλαις, ἄψυχος ἀψύχοις, ἀλλ' ὑπ' ἀθανάτου φύσεως ἄφθαρτος ἐν ἀθανάτῳ διανοίᾳ τυπωθείς. Διὸ καὶ θαυμάσαι ἄν τις τῆς ἀμβλυωπίας τοὺς τρανὰς οὕτω πραγμάτων ἰδιότητας μὴ συνορῶντας, οἳ μεγίστοις μὲν δήμοις Ἀθηναίων καὶ Λακεδαιμονίων πρὸς ἐλευθερίαν αὐταρκεστάτους εἶναί φασι τοὺς Σόλωνος καὶ Λυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κούργου νόμους, κρατοῦντάς τε καὶ ἄρχοντας, πειθαρχούντων αὐτοῖς τῶν πολιτευομένων· σοφοῖς δὲ ἀνδράσι τὸν ὀρθὸν λόγον, ὃς καὶ τοῖς ἄλλοις ἐστὶ πηγὴ νόμοις, οὐχ ἱκανὸν εἶναι πρὸς μετουσίαν ἐλευθερίας τοῖς ὑπακούουσι πάντων, ἅττ' ἂν ἢ προτάττει ἢ ἀπαγορεύει. Πρὸς τοίνυν τοῖς εἰρημένοις ἐναργεστάτη πίστις ἐλευθερίας ἡ ἰσηγορία, ἣν οἱ σπουδαῖοι πάντες ἄγουσι πρὸς ἀλλήλους. Ὅθεν καὶ τὰ τρίμετρα φιλοσόφως ἐκεῖνά φασιν εἰρῆσθαι·

[*] „Οὐ γὰρ μετεῖναι τῶν νόμων δούλοις ἔφυ."

Καὶ πάλιν·

„Δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου."

Καθάπερ οὖν ὁ μουσικὸς λόγος ἅπασι τοῖς ἐπιτετηδευκόσι μουσικὴν ἰσηγορίας τῆς ἐν τῇ τέχνῃ μεταδίδωσι, καὶ ὁ γραμματικὸς ἢ γεωμετρικὸς γραμματικοῖς ἢ γεωμέτραις· οὕτω καὶ ὁ ἐν τῷ βίῳ νόμος τοῖς ἐμπείροις τῶν βιωτικῶν. Οἱ δὲ σπουδαῖοι ἅπαντες ἔμπειροι τῶν κατὰ τὸν βίον πραγμάτων εἰσί, ὁπότε καὶ τῶν ἐν ἁπάσῃ τῇ φύσει· καὶ εἰσί τινες αὐτῶν ἐλεύθεροι, ὥστε καὶ ὅσοι τούτοις ἰσηγορίας μετέχουσιν. Οὐδεὶς ἄρα τῶν σπουδαίων δοῦλος, ἀλλ' ἐλεύθεροι πάντες.

*Contra insipiens vere servus.*

8. Ἀπὸ δὲ τῆς αὐτῆς ἀφορμῆς καὶ ὅτι δοῦλος ὁ ἄφρων ἐστίν, ἐπιδειχθήσεται. Ὥσπερ γὰρ ὁ κατὰ μουσικὴν νόμος οὐ δίδωσιν ἰσηγορίαν ἀμούσοις πρὸς μεμουσωμένους, οὐδ' ὁ κατὰ γραμματικὴν ἀγραμμάτοις πρὸς γραμματικούς, οὐδὲ συνόλως ὁ τεχνικὸς πρὸς τεχνί-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τας ἀτέχνοις· οὕτως οὐδ' ὁ βιωτικὸς νόμος ἰσηγορίας μεταδίδωσι τοῖς κατὰ τὸν βίον ἀπείροις πρὸς ἐμπείρους. Τοῖς δὲ ἐλευθέροις ἡ ἐκ νόμου πᾶσιν ἰσηγορία δίδοται, καὶ εἰσί τινες τῶν σπουδαίων ἐλεύθεροι· καὶ τῶν βιωτικῶν ἄπειροι μὲν οἱ φαῦλοι, ἐμπειρότατοι δὲ οἱ σοφοί. Οὐκ ἄρα εἰσί τινες τῶν φαύλων ἐλεύθεροι, δοῦλοι δὲ πάντες. Ὁ δὲ Ζήνων, εἰ καί τις ἄλλος ὑπ' ἀρετῆς ἀχθείς, νεανικώτερον ἀποδείκνυσι περὶ τοῦ μὴ εἶναι τοῖς φαύλοις ἰσηγορίαν πρὸς ἀστείους. Φησὶ γάρ· „Οὐκ οἰμώξεται ὁ φαῦλος, ἐὰν ἀντιλέγῃ τῷ σπουδαίῳ;" Οὐκ ἄρ' ἐστὶν ἰσηγορία τῷ φαύλῳ πρὸς σπουδαῖον. Οἶδ' ὅτι πολλοὶ τοῦ λόγου καταχερτομήσουσιν, ὡς αὐθαδείᾳ τὸ πλέον ἐρωτηθέντος ἢ συνέσει. Μετὰ δὲ τὴν χλεύην παυσάμενοι τοῦ γέλωτος ἢν ἐθελήσωσι διακύψαι καὶ τὸ λεγόμενον σαφῶς ἐρευνῆσαι, καταπλαγέντες αὐτοῦ τὸ ἀψευδὲς εἴσονται, ὅτι ἐπ' οὐδενὶ μᾶλλον οἰμώξεταί τις ἢ τῷ μὴ πειθαρχεῖν τῷ σοφῷ. Ζημία γὰρ χρημάτων ἢ ἀτιμία ἢ φυγαὶ ἢ αἱ διὰ πληγῶν ὕβρεις ἢ ὅσα ὁμοιότροπα, βραχέα ἢ τὸ μηδὲν ἔβλαψεν, ἀντιτιθέμενα κακίαις καὶ ὧν αἱ κακίαι δημιουργοί. Τοὺς δὲ πολλούς, οὐ συνορῶντας ψυχῶν βλάβας διὰ λογισμοῦ πήρωσιν, ἐπὶ μόναις ταῖς ἐκτὸς συμβέβηκεν ἄχθεσθαι, τὸ κριτήριον ἀφῃρημένους, δι' οὗ μόνον καταλαβεῖν ἐστι διανοίας ζημίαν. Εἰ δὲ δυνηθεῖεν ἀναβλέψαι, θεώμενοι τὰς δι' ἀφροσύνης ἀπάτας καὶ τὰς ἐκ [*] δειλίας ἀπορίας καὶ ὅσα ἀκολασία παρῴνησεν ἢ ἀδικία παρηνόμησεν, ἐπὶ ταῖς τοῦ ἀρίστου συμφοραῖς λύπης ἀπαύστου γεμισθέντες οὐδὲ παρηγορίας δι' ὑπερβολὰς κακῶν ἀνέξονται. Ἔοικε δὲ ὁ Ζήνων ἀρύσασθαι τὸν λόγον, ὥσπερ ἀπὸ τῆς πηγῆς, τῆς Ἰουδαίων νομοθεσίας (Gen. 28, 1 ss.), ἐν ᾗ δυοῖν ὄντοιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀδελφοῖν, τοῦ μὲν σώφρονος, τοῦ δὲ ἀκολάστου, λαβὼν οἶκτον ὁ κοινὸς ἀμφοῖν πατὴρ τοῦ μὴ ἐπ' ἀρετὴν ἥκοντος εὔχεται ἵνα δουλεύσῃ τῷ ἀδελφῷ, τὸ δοκοῦν μέγιστον εἶναι κακόν, δουλείαν, ἀγαθὸν τελεώτατον ὑπολαμβάνων ἄφρονι, τὸ μὲν αὐτεξούσιον ἀφῃρημένῳ πρὸς τὸ μὴ σὺν ἀδείᾳ πλημμελεῖν, ἐκ δὲ τῆς τοῦ προεστῶτος προστασίας βελτιωθησομένῳ τὸ ἦθος.

*Rei veritas syllogismis ostenditur.*

9. Τὰ μὲν οὖν λεχθέντα πρὸς τὴν τοῦ ζητουμένου διασύστασιν ἔμοιγε ἀποχρῶντα ἦν. Ἐπεὶ δὲ τὰ ποικίλα τῶν νοσημάτων ἰατροῖς ἔθος ποικιλωτέραις θεραπείαις ἰᾶσθαι, ἀνάγκη καὶ τοῖς παραδόξοις νομιζομένοις τῶν προβλημάτων διὰ τὸ ἀηθὲς ἐπάγειν πίστεις ἐπαλλήλους προσεγχρίμπτοντας· μόλις γὰρ ἔνιοι συνεχείᾳ πληττόμενοι τῶν ἀποδείξεων αἰσθάνονται. Λέγεται τοίνυν οὐκ ἄπο σκοποῦ, ὅτι ὁ φρονίμως πάντα ποιῶν εὖ ποιεῖ πάντα· ὁ δὲ εὖ ποιῶν πάντα ὀρθῶς ποιεῖ πάντα· ὁ δὲ ὀρθῶς πάντα ποιῶν, καὶ ἀναμαρτήτως καὶ ἀμέμπτως καὶ ἀνεπιπλήκτως καὶ ἀνυπευθύνως καὶ ἀζημίως· ὥστ' ἐξουσίαν σχήσει πάντα δρᾶν καὶ ζῆν ὡς βούλεται. Ὧι δὲ ταῦτ' ἔξεστιν, ἐλεύθερος ἂν εἴη. Ἀλλὰ μὴν πάντα φρονίμως ποιεῖ ὁ ἀστεῖος· μόνος ἄρα ἐστὶν ἐλεύθερος. Καὶ μὴν ὃν μὴ ἐνδέχεται μήτ' ἀναγκάσαι μήτε κωλῦσαι, ἐκεῖνος οὐκ ἂν εἴη δοῦλος· τὸν δὲ σπουδαῖον οὐκ ἔστιν ἀναγκάσαι οὐδὲ κωλῦσαι, οὐκ ἄρα δοῦλος ὁ σπουδαῖος. Ὅτι δὲ οὔτ' ἀναγκάζεται, οὔτε κωλύεται, δῆλον· κωλύεται μὲν γὰρ ὁ μὴ τυγχάνων ὧν ὀρέγεται· ὀρέγεται δὲ ὁ σοφὸς τῶν ἀπ' ἀρετῆς ὧν ἀποτυγχάνειν οὐ πέφυκε· καὶ μὴν εἰ ἀναγκάζεται, δῆλον ὅτι ἄκων τι ποιεῖ. Ἐν οἷς δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἱ πράξεις, ἢ ἀπ' ἀρετῆς εἰσι κατορθώματα, ἢ ἀπὸ κακίας ἁμαρτήματα, ἢ μέσα καὶ ἀδιάφορα. Τὰ μὲν οὖν ἀπ' ἀρετῆς οὐ βιασθεὶς, ἀλλ' ἑκών· αἱρετὰ γάρ εἰσιν αὐτῷ πάνθ' ὅσα δρᾷ. Τὰ δὲ ἀπὸ κακίας ἅτε φευκτὰ οὐδ' ὄναρ πράττει. Οὐδὲ μὴν τὰ ἀδιάφορα εἰκός, πρὸς ἃ καθάπερ ἐπὶ πλάστιγγος ἡ διάνοια ἰσοῤῥοπεῖ, δεδιδαγμένη μήτε ὡς ὁλκὸν ἔχουσι δύναμιν ἐνδιδόναι, μήτ' ὡς ἀποστροφῆς ἀξίοις δυςχεραίνειν. Ἐξ ὧν ἐστι δῆλον, ὅτι οὐδὲν ἄκων ποιεῖ, οὐδ' ἀναγκάζεται· δοῦλος δὲ εἴπερ ἦν, ἠναγκάζετο ἄν. Ὥστ' ἐλεύθερος ἂν εἴη ὁ ἀστεῖος.

*Reperiuntur vero etiam revera homines vera illa libertate gaudentes, quamvis pauci.*

10. Ἐπειδὴ δέ τινες τῶν [*] ἥκιστα συγκεχορευκότων μούσαις, λόγων ἀποδεικτικῶν οὐ συνιέντες, οἳ τὰς καθόλου τῶν πραγμάτων ἐμφάσεις παριστᾶσιν, εἰώθασιν ἐρωτᾶν· Τίνες οὖν ἢ πρότερον γεγόνασιν ἄνδρες ἢ νῦν εἰσιν, ὁποίους ἀναπλάττεσθε; καλόν γε ἀποκρίνασθαι, ὅτι καὶ πάλαι τινὲς ἦσαν τῶν καθ' αὑτοὺς οἳ ἀρετῇ διέφερον, ἡγεμόνι μόνῳ θεῷ χρώμενοι καὶ κατὰ νόμον, τὸν ὀρθὸν φύσεως λόγον, ζῶντες, οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ἐλευθέρου φρονήματος ἀναπιμπλάντες. Καὶ ἐφ' ἡμῶν αὐτῶν ἔτι εἰσὶν ὥςπερ εἰκόνες ἀπὸ ἀρχετύπου γραφῆς, σοφῶν ἀνδρῶν καλοκἀγαθίας, τυπωθέντες. Οὐ γὰρ εἰ αἱ τῶν ἀντιλεγόντων ψυχαὶ κεχηρεύκασιν ἐλευθερίας, ὑπ' ἀφροσύνης καὶ τῶν ἄλλων κακιῶν δουλαγωγηθεῖσαι, διὰ τοῦτο καὶ τὸ ἀνθρώπων γένος. Εἰ δὲ μὴ κατὰ στίφη μεγάλα προΐασιν ἀγεληδὸν, θαυμαστὸν οὐδέν· πρῶτον μὲν, ὅτι τὰ λίαν καλὰ σπάνια· εἶτα ἐπειδὴ τὸν τῶν εἰκαιοτέρων ἐκτρεπό-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μενοι πολὺν ὅμιλον θεωρίᾳ τῶν τῆς φύσεως σχολάζουσιν, εὐχόμενοι μέν, εἴπως ἐνῆν, ἐπανορθώσασθαι τὸν βίον — κοινωφελὲς γὰρ ἡ ἀρετή —, τὸ δὲ ἀδυνατοῦντες, πλημμυρούντων κατὰ πόλεις ἀλλοκότων πραγμάτων, ἃ ψυχῆς πάθη κακίᾳ συνηυξήθησαν, ἀποδιδράσκουσιν, ὡς μὴ τῇ ῥύμῃ τῆς φορᾶς καθάπερ ἀπὸ χειμάῤῥου βίας κατασυρῆναι. Ἡμᾶς δέ, εἰ βελτιώσεώς τις ζῆλος ἦν, ἰχνηλατεῖν ἔδει τὰς τούτων καταδύσεις καὶ ἱκέτας καθεζομένους παρακαλεῖν, ἵνα τεθηριωμένον τὸν βίον προςελθόντες ἐξημερώσωσιν, ἀντὶ πολέμου καὶ δουλείας καὶ κακῶν ἀμυθήτων εἰρήνην καὶ ἐλευθερίαν καὶ τὴν τῶν ἄλλων ἀγαθῶν ἀφθονίαν περιῤῥεομένην ἀπαγγείλαντες. Νυνὶ δὲ χρημάτων μὲν ἕνεκα πάντας μυχοὺς ἐρευνῶμεν καὶ γῆς στρυφνὰς καὶ ἀποκρότους φλέβας ἀναστέλλομεν, καὶ μεταλλεύεται μὲν πολλὴ τῆς πεδιάδος, μεταλλεύεται δὲ οὐκ ὀλίγη τῆς ὀρεινῆς, χρυσὸν καὶ ἄργυρον, χαλκόν τε καὶ σίδηρον, καὶ τὰς ἄλλας ὕλας ἀναζητούντων. Θεοπλαστοῦσα δὲ ἡ κενὴ δόξα τὸν τῦφον ἄχρι καὶ βυθοῦ κατέβη θαλάττης διερευνωμένη, μή τι τῶν πρὸς αἴσθησιν ἀφανὲς ἐναπόκειταί που καλόν· καὶ λίθων πολυτελῶν ἀνευροῦσα ἰδέας, τὰς μὲν πέτραις προςπεφυκυίας, τὰς δὲ ὀστρέοις, αἳ καὶ τιμαλφέστεραι γεγόνασιν, ὄψεως ἀπάτην ἐξετίμησε. Φρονήσεως δὲ ἢ σωφροσύνης ἢ ἀνδρίας ἢ δικαιοσύνης ἕνεκα γῆ μὲν ἀπόρευτός ἐστι καὶ ἡ βάσιμος, πελάγη δὲ ἄπλωτα, τὰ καθ' ἑκάστην ὥραν τοῦ ἔτους ναυκλήροις ἐκπλεόμενα. Καίτοι τίς ἢ μακρᾶς ὁδοιπορίας ἢ τοῦ θαλαττεύειν ἐστὶ [*] χρεία πρὸς ἔρευναν καὶ ζήτησιν ἀρετῆς, ἧς τὰς ῥίζας ὁ ποιῶν οὐ μακράν, ἀλλ' οὑτωσὶ πλησίον ἐβάλλετο; καθάπερ καὶ ὁ σοφὸς τῶν Ἰουδαίων νομοθέτης φησίν (Deut. 30, 14)· „Ἐν τῷ στόματί σου

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν ταῖς χερσί σου," αἰνιττόμενος διὰ συμβόλων λόγους, πράξεις, βουλάς, ἃ δὴ πάντα γεωργικῆς τέχνης δεῖται. Οἱ μὲν οὖν ἀργίαν πόνου προτιμήσαντες οὐ μόνον τὰς βλάστας ἐκώλυσαν, ἀλλὰ καὶ τὰς ῥίζας ἀφανίσαντες ἔφθειραν. Οἱ δὲ σχολὴν μὲν βλαβερὰν ἡγούμενοι, πονεῖν δὲ ἐθέλοντες, ὥσπερ εὐγενῆ μοσχεύματα γεωργοῦντες, τῷ συνεχεῖ τῆς ἐπιμελείας οὐρανομήκεις ἐστελέχωσαν ἀρετάς, ἀειθαλῆ καὶ ἀθάνατα ἔρνη, καρπὸν φέροντα εὐδαιμονίας οὐδέποτε λήγοντα, ἤ, ὥς τινες, οὐ φέροντα, ἀλλ᾽ αὐτὰ ὄντα εὐδαιμονίαν, ἃ Μωσῆς ὀνόματι συνθέτῳ καλεῖν εἴωθεν ὁλοκαρπώματα. Ἐπὶ μὲν γὰρ τῶν ἐκ γῆς βλαστανόντων οὐδ᾽ ὁ καρπὸς δένδρα, οὐδὲ τὰ δένδρα καρπός, ἐπὶ δὲ τῶν ἐν ψυχῇ φυομένων ὅλα δι᾽ ὅλων εἰς καρποῦ φύσιν μεταβέβληκε τὰ ἔρνη, τὸ φρονήσεως, τὸ δικαιοσύνης, τὸ ἀνδρίας, τὸ σωφροσύνης.

*Inter paucos illos referendi sunt septem Graeciae sapientes, Persarum Magi, Indorum Gymnosophistae.*

11. Ἔχοντες οὖν τοιαύτας πρὸς αὐτῆς ἀφορμὰς οὐκ ἐρυθριῶμεν ἔνδειαν σοφίας ἀνθρώπων γένει καταγγέλλοντες, ἣν δυνατὸν ἦν ἐκφυσήσαντας καθάπερ ἐν ὕλῃ σπινθῆρα τυφόμενον ζωπυρῆσαι; Ἀλλὰ γὰρ πρὸς ἃ μὲν σπεύδειν ἐχρῆν ὡς συγγενέστατα καὶ οἰκειότατα, πολὺς ὁ ὄκνος καὶ ῥᾳθυμία συνεχής, ὑφ᾽ ὧν τὰ καλοκἀγαθίας σπέρματα διαφθείρεται· ὧν δὲ εἰκὸς ἦν ὑστερίζειν, ἵμερος καὶ πόθος ἄπληστος. Διὰ τοῦτο πλουσίων μὲν καὶ ἐνδόξων καὶ ταῖς ἡδοναῖς χρωμένων μεστὴ γῆ καὶ θάλαττα, φρονίμων δὲ καὶ δικαίων καὶ ἀστείων ὀλίγος ἀριθμός. Τὸ δὲ ὀλίγον, εἰ καὶ σπάνιον, οὐκ ἀνύπαρκτον.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Μάρτυς δὲ ἡ Ἑλλὰς καὶ ἡ βάρβαρος. Ἐν τῇ μὲν γὰρ οἱ ἐτύμως *προσονομασθέντες* ἑπτὰ σοφοὶ ἤνθησαν, καὶ ἄλλων πρότερον καὶ αὖθις ὡς εἰκὸς ἀκμασάντων, ὧν ἡ μνήμη, παλαιοτέρων μὲν ὄντων, μήκει χρόνων οὐκ ἠφανίσθη, νεαζόντων δὲ ἔτι διὰ τὴν ἐπιπολάζουσαν τῶν συνόντων ὀλιγωρίαν ἐξαμαυροῦται. Κατὰ δὲ τὴν βάρβαρον, ἐν ᾗ πρεσβευταὶ λόγων καὶ ἔργων πολυανθρωπότατα στίφη καλῶν καὶ ἀγαθῶν ἐστὶν ἀνδρῶν· ἐν Πέρσαις μὲν τὸ Μάγων, οἳ τὰ φύσεως ἔργα διερευνώμενοι πρὸς ἐπίγνωσιν ἀληθείας καθ᾽ ἡσυχίαν τὰς θείας ἀρετὰς τρανωτέραις ἐμφάσεσιν ἱεροφαντοῦνταί τε καὶ ἱεροφαντοῦσιν· ἐν Ἰνδοῖς δὲ τὸ Γυμνοσοφιστῶν, οἳ πρὸς τῇ φυσικῇ καὶ τὴν ἠθικὴν φιλοσοφίαν [*] διαπονοῦντες ὅλον ἐπίδειξιν ἀρετῆς πεποίηνται τὸν βίον.*

### *Inter Iudaeos Essaei.* (12. 13.)

12. *Ἔστι δὲ καὶ ἡ Παλαιστίνη καὶ Συρία καλοκἀγαθίας οὐκ ἄγονος, ἣν πολυανθρωποτάτου ἔθνους τῶν Ἰουδαίων οὐκ ὀλίγη μοῖρα νέμεται. Λέγονταί τινες παρ᾽ αὐτοῖς ὄνομα Ἐσσαῖοι, πλῆθος ὑπὲρ τετρακισχιλίους, κατ᾽ ἐμὴν δόξαν — οὐκ ἀκριβεῖ τύπῳ διαλέκτου Ἑλληνικῆς — παρώνυμοι ὁσιότητος, ἐπειδὴ καὶ ἐν τοῖς μάλιστα θεραπευταὶ θεοῦ γεγόνασιν, οὐ ζῶα καταθύοντες, ἀλλ᾽ ἱεροπρεπεῖς τὰς ἑαυτῶν διανοίας κατασκευάζειν ἀξιοῦντες. Οὗτοι τὸ μὲν πρῶτον κωμηδὸν οἰκοῦσι, τὰς πόλεις ἐκτρεπόμενοι διὰ τὰς τῶν πολιτευομένων χειροήθεις ἀνομίας, εἰδότες ἐκ τῶν συνόντων, ὡς ἀπ᾽ ἀέρος φθοροποιοῦ νόσον, ἐγγινομένην προσβολὴν ψυχαῖς ἀνίατον. Ὧν οἱ μὲν γεωπονοῦντες, οἱ δὲ τέχνας μετιόντες ὅσαι συνεργάτιδες εἰρήνης, ἑαυτούς τε καὶ τοὺς πλησιά-*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ζοντας ὠφελοῦσιν, οὐκ ἄργυρον καὶ χρυσὸν θησαυροφυλακοῦντες, οὐδ' ἀποτομὰς γῆς μεγάλας κτώμενοι δι' ἐπιθυμίαν προσόδων, ἀλλ' ὅσα πρὸς τὰς ἀναγκαίας χρείας τοῦ βίου ἐκπορίζοντες. Μόνοι γὰρ ἐξ ἁπάντων σχεδὸν ἀνθρώπων ἀχρήματοι καὶ ἀκτήμονες γεγονότες ἐπιτηδεύσει τὸ πλεῖον ἢ ἐνδείᾳ εὐτυχίας πλουσιώτατοι νομίζονται, τὴν ὀλιγοδείαν καὶ εὐκολίαν, ὅπερ ἐστί, κρίνοντες περιουσίαν. Βελῶν ἢ ἀκόντων ἢ ξιφιδίων ἢ κράνους ἢ θώρακος ἢ ἀσπίδος οὐδένα παρ' αὐτοῖς ἂν εὕροις δημιουργόν, ἢ ὁπλοποιὸν ἢ μηχανοποιόν, ἢ συνόλως τι τῶν κατὰ πόλεμον ἐπιτηδεύοντα, ἀλλ' οὐδὲ ὅσα τῶν κατ' εἰρήνην εὐόλισθα εἰς κακίαν· ἐμπορίας γὰρ ἢ καπηλείας ἢ ναυκληρίας οὐδ' ὄναρ ἴσασι, τὰς εἰς πλεονεξίαν ἀφορμὰς ἀποδιοπομπούμενοι. Δοῦλός τε παρ' αὐτοῖς οὐδὲ εἷς ἐστιν, ἀλλ' ἐλεύθεροι πάντες ἀνθυπουργοῦντες ἀλλήλοις. Καταγινώσκουσί τε τῶν δεσποτῶν, οὐ μόνον ὡς ἀδίκων, ἰσότητα λυμαινομένων, ἀλλὰ καὶ ὡς ἀσεβῶν, θεσμὸν φύσεως ἀναιρούντων, ἣ πάντας ὁμοίως γεννήσασα καὶ θρέψασα μητρὸς δίκην ὡς ἀδελφοὺς γνησίους, οὐ λεγομένους, ἀλλ' ὄντας ὄντως [*] ἀπειργάσατο· ὧν τὴν συγγένειαν ἡ ἐπίβουλος πλεονεξία παρευημερήσασα διέσεισεν, ἀντ' οἰκειότητος ἀλλοτριότητα, καὶ ἀντὶ φιλίας ἔχθραν ἐργασαμένη. Φιλοσοφίας τε τὸ μὲν λογικόν, ὡς οὐκ ἀναγκαῖον εἰς κτῆσιν ἀρετῆς, λογοθήραις, τὸ δὲ φυσικόν, ὡς μεῖζον ἢ κατὰ ἀνθρωπίνην φύσιν, μετεωρολέσχαις ἀπολιπόντες, πλὴν ὅσον αὐτοῦ περὶ ὑπάρξεως Θεοῦ καὶ τῆς τοῦ παντὸς γενέσεως φιλοσοφεῖται. Τὸ ἠθικὸν εὖ μάλα διαπονοῦσιν, ἀλείπταις χρώμενοι τοῖς πατρίοις νόμοις, οὓς ἀμήχανον ἀνθρωπίνην ἐπινοῆσαι ψυχὴν ἄνευ κατακωχῆς ἐνθέου. Τούτους ἀναδιδάσκον-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ται μὲν καὶ παρὰ τὸν ἄλλον χρόνον, ἐν δὲ ταῖς ἑβδόμοις διαφερόντως. Ἱερὰ γὰρ ἡ ἑβδόμη νενόμισται, καθ' ἣν τῶν ἄλλων ἀνέχοντες ἔργων καὶ εἰς ἱεροὺς ἀφικνούμενοι τόπους, οἳ καλοῦνται συναγωγαί, καθ' ἡλικίας ἐν τάξεσιν ὑπὸ πρεσβυτέροις νέοι καθέζονται, μετὰ κόσμου τοῦ προσήκοντος ἔχοντες ἀκροατικῶς. Εἶθ' ὁ μὲν τὰς βίβλους ἀναγινώσκει λαβών, ἕτερος δὲ τῶν ἐμπειροτάτων ὅσα μὴ γνώριμα παρελθὼν ἀναδιδάσκει· τὰ γὰρ πλεῖστα διὰ συμβόλων ἀρχαιοτρόπῳ ζηλώσει παρ' αὐτοῖς φιλοσοφεῖται. Παιδεύονται δὲ εὐσέβειαν, ὁσιότητα, δικαιοσύνην, οἰκονομίαν, πολιτείαν, ἐπιστήμην τῶν πρὸς ἀλήθειαν ἀγαθῶν καὶ κακῶν καὶ ἀδιαφόρων, αἱρέσεις ὧν χρὴ, καὶ φυγὰς τῶν ἐναντίων, ὅροις καὶ κανόσι τριττοῖς χρώμενοι, τῷ τε φιλοθέῳ, καὶ φιλαρέτῳ, καὶ φιλανθρώπῳ. Τοῦ μὲν οὖν φιλοθέου δείγματα παρέχονται μυρία· τὴν παρ' ὅλον τὸν βίον συνεχῆ καὶ ἐπάλληλον ἁγνείαν, τὸ ἀνώμοτον, τὸ ἀψευδὲς, τὸ πάντων μὲν ἀγαθῶν αἴτιον, κακοῦ δὲ μηδενὸς νομίζειν εἶναι τὸ θεῖον. Τοῦ δὲ φιλαρέτου· τὸ ἀφιλοχρήματον, τὸ ἀφιλόδοξον, τὸ ἀφιλήδονον, τὸ ἐγκρατὲς, τὸ καρτερικὸν, ἔτι δὲ ὀλιγόδειαν, ἀφέλειαν, εὐκολίαν, τὸ ἄτυφον, τὸ νόμιμον, τὸ εὐσταθὲς, καὶ ὅσα τούτοις ὁμοιότροπα. Τοῦ δὲ φιλανθρώπου· εὔνοιαν, ἰσότητα, τὴν παντὸς λόγου κρείττονα κοινωνίαν, περὶ ἧς οὐκ ἄκαιρον βραχέα εἰπεῖν. Πρῶτον μὲν τοίνυν οὐδενὸς οἰκία τίς ἐστιν ἰδία, ἣν οὐχὶ πάντων εἶναι συμβέβηκε· πρὸς γὰρ τῷ κατὰ θιάσους συνοικεῖν ἀναπέπταται καὶ τοῖς ἑτέρωθεν ἀφικνουμένοις τῶν ὁμοζήλων. Εἶτ' ἐστὶ ταμεῖον ἓν πάντων καὶ δαπάναι, καὶ κοιναὶ μὲν ἐσθῆτες, κοιναὶ δὲ τροφαὶ συσσίτια πεποιημένων· τὸ γὰρ ὁμωρόφιον ἢ ὁμοδίαιτον ἢ ὁμοτράπεζον οὐκ ἂν τις εὕροι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρ' ἑτέροις μᾶλλον ἔργῳ βεβαιούμενον, [*] καὶ μήποτ' εἰκότως. Ὅσα γὰρ ἂν μεθ' ἡμέραν ἐργασάμενοι λάβωσιν ἐπὶ μισθῷ, ταῦτα οὐκ ἴδια φυλάττουσιν, ἀλλ' εἰς μέσον προτιθέντες κοινὴν τοῖς ἐθέλουσι χρῆσθαι τὴν ἀπ' αὐτῶν παρασκευάζουσιν ὠφέλειαν. Οἵτε νοσηλεύοντες οὐχ, ὅτι πορίζειν ἀδυνατοῦσιν, ἀμελοῦνται, πρὸς τὰς νοσηλείας ἐκ τῶν κοινῶν ἔχοντες ἐν ἑτοίμῳ, ὡς μετὰ πάσης ἀδείας ἐξ ἀφθονωτέρων ἀναλίσκειν. Αἰδὼς δέ ἐστι πρεσβυτέρων καὶ τιμὴ καὶ φροντίς, οἷα γονέων ὑπὸ γνησίων παίδων, χερσὶ καὶ διανοίαις μυρίαις ἐν ἀφθονίᾳ τῇ πάσῃ γηροτροφουμένων.

13. Τοιούτους ἡ δίχα περιεργείας Ἑλληνικῶν ὀνομάτων ἀθλητὰς ἀρετῆς ἀπεργάζεται φιλοσοφία, γυμνάσματα προτιθεῖσα τὰς ἐπαινετὰς πράξεις, ἐξ ὧν ἡ ἀδούλωτος ἐλευθερία βεβαιοῦται. Σημεῖον δὲ πολλῶν κατὰ καιροὺς ἐπαναστάντων τῇ χώρᾳ δυνατῶν, καὶ φύσεσι καὶ προαιρέσεσι χρησαμένων διαφερούσαις. Οἱ μὲν γὰρ πρὸς τὸ ἀτίθασσον ἀγριότητα θηρίων ἐκνικῆσαι σπουδάσαντες οὐδὲν παραλιπόντες τῶν εἰς ὠμότητα, τοὺς ὑπηκόους ἀγεληδὸν ἱερεύοντες, ἢ καὶ ζῶντας ἔτι μαγείρων τρόπον κατὰ μέλη καὶ μέρη κρεουργοῦντες, ἄχρι τοῦ τὰς αὐτὰς ὑπομεῖναι συμφορὰς ὑπὸ τῆς τὰ ἀνθρώπεια ἐφορώσης δίκης οὐκ ἐπαύσαντο. Οἱ δὲ τὸ παρακεκινημένον καὶ λελυττηκὸς εἰς ἕτερον εἶδος κακίας μεθαρμοσάμενοι, πικρίαν ἄλεκτον ἐπιτηδεύσαντες, ἡσυχῇ διαλαλοῦντες, ἠρεμαιοτέρας φωνῆς ὑποκρίσει βαρύμηνι ἦθος δεικνύμενοι, κυνῶν ἰοβόλων τρόπον προσσαίνοντες, ἀνιάτων γενόμενοι κακῶν αἴτιοι, κατὰ πόλεις μνημεῖα τῆς αὐτῶν ἀσεβείας καὶ μισανθρωπίας ἀπέλιπον τὰς τῶν πεπονθότων ἀλήστους συμφοράς. Ἀλλὰ γὰρ οὐδεὶς οὐδὲ τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σφόδρα ὠμοθύμων, οὐδὲ τῶν πάνυ δολερῶν καὶ ὑπούλων ἴσχυσε τὸν λεχθέντα ὅμιλον τῶν Ἐσσαίων ἢ ὁσίων αἰτιάσασθαι, πάντες δέ, ἀσθενέστεροι τῆς τῶν ἀνδρῶν καλοκἀγαθίας γενόμενοι, καθάπερ αὐτονόμοις καὶ ἐλευθέροις οὖσιν ἐκ φύσεως προςηνέχθησαν, ᾄδοντες αὐτῶν τὰ συσσίτια καὶ τὴν παντὸς λόγου κρείττονα κοινωνίαν, ἣ βίου τελείου καὶ σφόδρα εὐδαίμονός ἐστι σαφέστατον δεῖγμα.

*Inter Gymnosophistas Indicos Calanus. Zenonis dictum.*

14. Χρὴ δέ, ἐπειδὴ τὰς ἐν τοῖς πλήθεσιν ἀρετὰς οὐκ οἴονταί τινες εἶναι τελείας, ἀλλ᾽ ἄχρι συναυξήσεως καὶ ἐπιδόσεως αὐτὸ μόνον ἵστασθαι, μάρτυρας βίους τῶν κατὰ μέρος ἀνδρῶν ἀγαθῶν παραγαγεῖν, οἳ σαφέσταται πίστεις ἐλευθερίας εἰσί. Κάλανος ἦν Ἰνδὸς γένος τῶν Γυμνοσοφιστῶν. Οὗτος καρτερικώτατος τῶν καθ᾽ αὑτὸν ἁπάντων [*] νομισθείς, οὐ μόνον ὑπ᾽ ἐγχωρίων, ἀλλὰ καὶ πρὸς ἀλλοφύλων, ὃ δὴ σπανιώτατόν ἐστιν, ἐχθρῶν βασιλέων ἐθαυμάσθη, λόγοις ἐπαινετοῖς σπουδαῖα ἔργα συνυφήνας. Ἀλέξανδρος γοῦν ὁ Μακεδὼν βουλόμενος ἐπιδείξασθαι τῇ Ἑλλάδι τὴν ἐν τῇ βαρβάρῳ σοφίαν, καθάπερ ἀπ᾽ ἀρχετύπου γραφῆς ἀπεικόνισμα καὶ μίμημα, τὸ μὲν πρῶτον παρεκάλει Κάλανον συναποδημεῖν, μέγιστον περιποιήσοντα κλέος ὅλῃ Ἀσίᾳ καὶ ὅλῃ Εὐρώπῃ. Ὡς δὲ οὐκ ἔπειθεν, „Ἀναγκασθήσῃ“ ἔφη „συνακολουθεῖν.“ Ὁ δὲ εὐθυβόλως πάνυ καὶ εὐγενῶς „Τίνος οὖν“ εἶπεν „ἄξιόν με τοῖς Ἕλλησιν ἐπιδείξεις, Ἀλέξανδρε, εἴγε ἀναγκασθήσομαι ποιεῖν ἃ μὴ βούλομαι;“ Ἆρ᾽ οὐ γέμων μὲν ἐλευθερίας ὁ λόγος, πολὺ δὲ μᾶλλον ὁ νοῦς; Ἀλλὰ καὶ ἐν τοῖς βεβαιοτέροις φωνῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γράμμασιν ἤθους ἀδουλώτου τύπους ἐστηλίτευσεν ἀριδήλους. Μηνύει δὲ ἡ πεμφθεῖσα ἐπιστολὴ τῷ βασιλεῖ·

„Κάλανος Ἀλεξάνδρῳ.

Φίλοι πείθουσι χεῖρας καὶ ἀνάγκην προςφέρειν Ἰνδῶν φιλοσόφοις, οὐδ' ἐν ὕπνῳ ἑωρακότες ἡμέτερα ἔργα. Σώματα γὰρ μετοίσεις ἐκ τόπου εἰς τόπον, ψυχὰς δὲ οὐκ ἀναγκάσεις ποιεῖν, ἃ μὴ βούλονται, μᾶλλον ἢ πλίνθους καὶ ξύλα φωνὴν ἀφεῖναι. Πῦρ μεγίστους τοῖς ζῶσι σώμασι πόνους καὶ φθορὰν ἐργάζεται· τούτου ὑπεράνω ἡμεῖς γενόμεθα, ζῶντες καιόμεθα. Οὐκ ἔστι βασιλεὺς οὔτε ἄρχων ὃς ἀναγκάσει ἡμᾶς ποιεῖν ἃ μὴ προαιρούμεθα. Ἑλλήνων δὲ φιλοσόφοις οὐκ ἐξομοιούμεθα, ὅσοι αὐτῶν εἰς πανήγυριν λόγους ἐμελέτησαν· ἀλλὰ λόγοις ἔργα παρ' ἡμῖν ἀκόλουθα, καὶ ἔργοις λόγοι βραχεῖς ἄλλην ἔχουσι δύναμιν, καὶ μακαριότητα καὶ ἐλευθερίαν περιποιοῦντες."

Ἐπὶ δὴ τοιαύταις ἀποφάσεσι καὶ γνώμαις ἆρ' οὐκ ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι, ὅτι „θᾶττον ἂν ἀσκὸν βαπτίσαι πλήρη πνεύματος, ἢ βιάσαιτο τὸν σπουδαῖον ὁντινοῦν ἄκοντα δρᾶσαί τι τῶν ἀβουλήτων"; Ἀνένδοτος γὰρ καὶ ἀήττητος ψυχή, ἣν ὀρθὸς λόγος δόγμασι παγίοις ἐνεύρωσε.

*Dicta ex Euripide.*

15. Τῆς δὲ σπουδαίων ἐλευθερίας μάρτυρές εἰσι ποιηταὶ καὶ συγγραφεῖς, ὧν ταῖς γνώμαις Ἕλληνες ὁμοῦ καὶ βάρβαροι σχεδὸν ἐξ αὐτῶν σπαργάνων ἐντρεφόμενοι βελτιοῦνται τὰ ἤθη, πᾶν ὅσον ἐξ ὑπαιτίου τροφῆς καὶ διαίτης ἐν ταῖς ψυχαῖς κεκιβδήλευται, μεταχαραττόμενοι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πρὸς τὸ δόκιμον. Ἴδε γοῦν οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς·

[*] „Πίμπρα, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ τ' ἄνεισ' εἰς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.“

Τῷ γὰρ ὄντι θωπεία καὶ κολακεία καὶ ὑπόκρισις, ἐν οἷς λόγοι γνώμαις διαμάχονται, δουλοπρεπέστατα· τὸ δὲ ἀνόθως καὶ γνησίως ἐκ καθαροῦ τοῦ συνειδότος ἐλευθεροστομεῖν εὐγενέσιν ἁρμόττον. Πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς, ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ, καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὤν, ἀλλὰ καὶ δεσπότης ἐσόμενος τοῦ πριαμένου; Ὁ γοῦν Ἑρμῆς πυνθανομένῳ εἰ φαῦλός ἐστιν, ἀποκρίνεται·

„Ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον
πρόσχημα σεμνός, κ' οὐ ταπεινός, οὐδ' ἄγαν
εὔογκος ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν
ἰδόντι λαμπρός, καὶ ξύλῳ δραστήριος.
Οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας
αὑτοῦ πρίασθαι βούλεται· σὲ δ' εἰσορῶν
πᾶς τις δέδοικεν. Ὄμμα γὰρ πυρὸς γέμεις,
ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.“

Εἶτ' ἐπιλέγει τὸ ἦθος αὐτοῦ·

„σου κατηγορεῖ
σιγῶντος, ὡς ἂν εἴης οὐχ ὑπήκοος,
τάσσειν δὲ μᾶλλον ἢ ἐπιτάσσεσθαι θέλοις.“

Ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διέδειξεν ἔργοις τὸ τῆς φύσεως ἀδούλωτον. Τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ πρόφασιν εὐωχεῖτο· πολὺν δὲ οἶνον ἐμφορήσας ἄθροον εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεῖ δὲ ἀφικομένῳ καὶ δυσανασχετοῦντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ ἐπὶ τῇ περιττῇ καταφρονήσει, μηδὲν μήτε τῆς χρόας, μήτε ὧν ἔπραττε μεταβαλών, εὐτολμότατά φησι·

„Κλῖθητι καὶ πίωμεν, ἐν τούτῳ δέ μου
τὴν πεῖραν εὐθὺ λάμβανε, καὶ κρείττων ἔσῃ."

Τοῦτον οὖν πότερον δοῦλον ἢ κύριον τοῦ δεσπότου ἀποφαντέον, μὴ μόνον ἀπελευθεριάζειν, ἀλλὰ καὶ ἐπιτάγματα ἐπιτάσσειν τῷ κτησαμένῳ τολμῶντα, ὡς καὶ εἰ ἀφηνιάζοι, τύπτειν καὶ προπηλακίζειν, εἰ δὲ καὶ βοηθοὺς ἐπάγοιτο, πάντας ἄρδην ἀπολλύναι; Γέλως οὖν ἂν εἴη καὶ φλυαρία πολλὴ τὰ κατὰ τὰς λεγομένας ὠνὰς γράμματα, ἐπειδὰν καθ' ὧν γράφεται παρευημερηθῇ σθεναρωτέρᾳ δυνάμει, χαρτιδίων ἀγράφων ἀκυρότερα, ὑπὸ σητῶν ἢ χρόνων ἢ εὐρῶτος εἰς ἅπαν διαφθαρησόμενα.

*Anaxarchus et Zeno.*

16. [*] Ἀλλ' οὐ χρή, φήσει τις, τὰς τῶν ἡρώων παράγειν εἰς πίστιν ἀρετάς· μείζους γὰρ ἢ κατὰ ἀνθρωπίνην φύσιν γενομένους Ὀλυμπίοις ἁμιλλᾶσθαι, μικτῆς γενέσεως, ἀθανάτων καὶ θνητῶν ἀνακραθέντων σπερμάτων, ἐπιλαχόντας, ἡμιθέους εἰκότως προσαγορευθέντας, τοῦ θνητοῦ μίγματος ὑπὸ τῆς ἀφθάρτου μερίδος κατακρατηθέντος, ὡς μηδὲν εἶναι παράδοξον, εἰ τῶν ἐπ' αὐτοῖς δουλείαν τεχναζόντων ὠλιγώρουν. Ἔστω ταῦτα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μὴ καὶ Ἀνάξαρχος ἢ Ζήνων ὁ Ἐλεάτης ἥρωες ἢ ἐκ θεῶν; Ἀλλ' ὅμως ὑπὸ τυράννων ὠμοθύμων καὶ τῇ φύσει πικρῶν, ἔτι μᾶλλον ἐπ' αὐτοῖς ἐκθηριωθέντων στρεβλούμενοι κεκαινουργημέναις αἰκίαις, ὥσπερ ἀλλότρια ἢ ἐχθρῶν ἐπιφερόμενοι σώματα μάλα καταφρονητικῶς ἠλόγουν τῶν φοβερῶν. Τὴν γὰρ ψυχὴν ἐθίσαντες ἐξ ἀρχῆς δι' ἐπιστήμης ἔρωτα, τῆς μὲν πρὸς τὰ πάθη κοινωνίας ἀφίστασθαι, παιδείας δὲ καὶ σοφίας περιέχεσθαι, μετανάστασιν μὲν τοῦ σώματος εἰργάσαντο, φρονήσει δὲ καὶ ἀνδρείᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς σύνοικον ἀπέφηναν. Τοιγαροῦν ὁ μὲν κρεμάμενος καὶ κατατεινόμενος ὑπὲρ τοῦ τι τῶν ἀρρήτων ἐκλαλῆσαι, πυρὸς καὶ σιδήρου, τῶν ἐν τῇ φύσει κραταιοτάτων, φανεὶς δυνατώτερος, ἀποτραγὼν τοῖς ὀδοῦσι τὴν γλῶτταν εἰς τὸν βασανιστὴν ἠκόντισεν, ἵνα μηδ' ἄκων ἃ καλὸν ἡσυχάζειν φθέγξοιτο βιασθείς. Ὁ δὲ τλητικώτατα εἶπε· „Πτίσσε τὸν Ἀναξάρχου ἀσκόν· Ἀνάξαρχον γὰρ οὐκ ἂν δύναιο.“ Αὗται γέμουσαι θράσους αἱ εὐτολμίαι τὴν ἡρωϊκὴν εὐγένειαν οὐ μετρίως ὑπερβάλλουσι· διότι τοῖς μὲν τὸ κλέος ἐν τοῖς φυτεύσασιν ἀκούσιον, τῶν δὲ ἐν ἑκουσίοις ἀρεταῖς, αἳ τοὺς ἀδόλως χρωμένους ἀθανατίζειν πεφύκασι.

*Exempla ex aliis hominum ordinibus.*

17. Παλαιστὰς οἶδα καὶ παγκρατιαστὰς πολλάκις ὑπὸ φιλοτιμίας καὶ τῆς εἰς τὸ νικᾶν σπουδῆς, ἀπαγορευόντων αὐτοῖς τῶν σωμάτων, μόνῃ ψυχῇ διαπνέοντας ἔτι καὶ διαθλοῦντας, ἣν ἐθίσαντες καταφρονητικῶς ἔχειν τῶν φοβερῶν ἐγκαρτεροῦσιν ἄχρι τῆς τοῦ βίου τελευτῆς. Εἶτ' οἰόμεθα τοὺς μὲν ἀσκητὰς τῆς ἐν σώμασιν εὐτονίας ἐπιβεβηκέναι φόβῳ θανάτου ἢ δι' ἐλπίδα νίκης ἢ ὑπὲρ τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ τὴν ἰδίαν ἧτταν ἐπιδεῖν, τοὺς δὲ τὸν ἀόρατον νοῦν γυμνάζοντας ἐν ἑαυτοῖς, ὃς ἀψευδῶς ἄνθρωπός ἐστιν οἶκον ἐπιφερόμενος τὸ αἰσθητὸν εἶδος, καὶ [*] λόγοις μὲν τοῖς ἐκ φιλοσοφίας, ἔργοις δὲ τῆς ἀρετῆς ἀλείφοντας, οὐχ ὑπὲρ ἐλευθερίας ἐθελήσειν ἀποθνήσκειν, ἵνα ἐν ἀδουλώτῳ φρονήματι τὴν εἱμαρμένην ἀνύσωσι πορείαν; Ἐν ἀγῶνί φασιν ἱερῷ δύο ἀθλητὰς ἰσοῤῥόπῳ κεχρημένους ἀλκῇ τὰ αὐτὰ ἀντιδρῶντάς τε καὶ ἀντιπάσχοντας, μὴ πρότερον ἀπειπεῖν, ἢ ἑκάτερον τελευτῆσαι.

„Δαιμόνιε, φθίσει σε τὸν μένος" *) —

εἴποι ἄν τις ἐπὶ τῶν τοιούτων. Ἀλλὰ γὰρ ὑπὲρ κοτίνων καὶ σελίνων εὐκλεὴς ἀγωνισταῖς ἡ τελευτή, σοφοῖς δὲ οὐ πολλῷ μᾶλλον ἐλευθερίας, ἧς ὁ πόθος ταῖς ψυχαῖς μόνον, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἐνίδρυται, καθάπερ τι μέρος ἡνωμένον οὐ τῶν ἐπιτυχόντων, οὗ διακοπέντος ἅπασαν τὴν κοινωνίαν φθείρεσθαι συμβέβηκε; Λακωνικοῦ παιδὸς ᾄδεται, παρ' οἷς ἰχνηλατεῖν ἔθος τὰς ἀρετάς, τὸ ἐκ γένους ἢ φύσεως ἀδούλωτον. Ἐπειδὴ γὰρ αἰχμάλωτος ἀπήχθη ὑπό τινος τῶν Ἀντιγόνου, τὰς μὲν ἐλευθέρας χρείας ὑπέμεινεν, ταῖς δὲ δουλικαῖς ἠναντιοῦτο, φάσκων οὐχὶ δουλεύσειν. Καίτοι μήπω τοῖς Λυκούργου νόμοις παγίως ἐντραφῆναι διὰ τὴν ἡλικίαν δυνηθείς, ὅτι μόνον αὐτῶν ἐγεύσατο, τοῦ παρόντος βιότου βίαιον θάνατον εὐτυχέστερον κρίνας, ἀπογνοὺς ἀπολύτρωσιν ἄσμενος ἑαυτὸν διεχρήσατο. Λέγεται δὲ καὶ πρὸς Μακεδόνων ἁλούσας τὰς Δαρδανίδας γυναῖκας αἴσχιστον κακὸν δουλείαν ὑπολαβούσας, οὓς ἐκουροτρόφουν παῖδας εἰς τὸ

*) Hom. Il. 6, 407.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

βαθύτατον τοῦ ποταμοῦ ῥίπτειν, ἐπιφωνοῦσας· „Ἀλλ' ὑμεῖς γε οὐ δουλεύσετε, πρὶν δὲ ἄρξασθαι βίου βαρυδαίμονος, τὸ χρέων ἐπιπεμόντες ἐλεύθεροι τὴν ἀναγκαίαν καὶ πανυστάτην ὁδὸν περαιώσεσθε.“ Πολυξένην δὲ ὁ τραγῳδὸς Εὐριπίδης, ἀλογοῦσαν μὲν θανάτου, φροντίζουσαν δὲ ἐλευθερίας εἰσάγει, δι' ὧν φησιν·

„Ἑκοῦσα θνήσκω, μή τις ἅψηται χροὸς
τοῦ 'μου· παρέξω γὰρ δέρην εὐκαρδίως,
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατε.“ *)

*Xanthiorum populus. Diogenes. Chareas. Theodorus.*

18. Εἶτ' οἰόμεθα γυναίοις μὲν καὶ μειρακίοις, ὧν τὰ μὲν φύσει ὀλιγόφρονα, τὰ δὲ ἡλικίᾳ εὐολίσθῳ χρώμενα, τοσοῦτον ἐλευθερίας ἔρωτα ἐντήκεσθαι, ὡς ὑπὲρ τοῦ μὴ ταύτην ἀφαιρεθῆναι, εἰς θάνατον ὡς ἐπ' ἀθανασίαν ὁρμᾶν, τοὺς δὲ σοφίας ἀκράτου σπάσαντας οὐκ εὐθὺς ἐλευθέρους εἶναι, [*] πηγήν τινα εὐδαιμονίας τὴν ἀρετὴν ἑαυτοῖς περιφέροντας, ἣν ἐπίβουλος οὐδεμία πώποτε δύναμις κατέλυσε, τὸν ἀρχῆς καὶ βασιλείας ἔχουσαν αἰώνιον κλῆρον; Ἀλλὰ γὰρ καὶ δήμους ὅλους ἀκούομεν ὑπὲρ ἐλευθερίας ἅμα καὶ πίστεως τῆς πρὸς ἀποθανόντας εὐεργέτας, αὐθαίρετον πανώλεθρίαν ὑποστάντας, ὥσπερ φασὶν οὐ πρὸ πολλοῦ Ξανθίους. Ἐπειδὴ γὰρ εἷς τῶν ἐπιθεμένων Ἰουλίῳ Καίσαρι, Βροῦτος, † καὶ † ἐπιὼν ἐπ' αὐτοὺς ἐστράτευσε, δεδιότες οὐ πόρθησιν, ἀλλὰ δουλείαν τὴν ὑπ' ἀνδροφόνου κτείναντος ἡγεμόνα καὶ εὐεργέτην — ἀμφότερα γὰρ αὐτῷ Καῖσαρ ἦν — ἀπεμάχοντο μὲν ἐφ' ὅσον οἷοί τε ἦσαν δυνατῶς τὸ πρῶτον, ὑπαναλούμενοι

*) Hecub. v. 548 ss.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ ἐκ τοῦ κατ' ὀλίγον ἔτι ἀντίσχον. Ὡς δὲ ἅπασαν τὴν ἰσχὺν ἐδαπανήθησαν, γύναια καὶ γονεῖς καὶ τέκνα συνελάσαντες εἰς τὰς σφῶν οἰκίας ἕκαστοι καθιέρευον, καὶ σωρηδὸν τὰ σφάγια νήσαντες, πῦρ ἐνέντες καὶ ἑαυτοὺς ἐπικατασφάξαντες, ἐλεύθεροι τὸ πεπρωμένον ἀπ' εὐγενοῦς καὶ ἐλευθέρου φρονήματος ἐξέπλησαν. Ἀλλ' οὗτοι μὲν πικρίαν ἀμείλικτον τυραννικῶν ἐχθρῶν ἀποδιδράσκοντες πρὸ ἀδόξου βίου τὸν μετ' εὐκλείας θάνατον ᾑροῦντο. Οἷς δὲ ἐπέτρεπε ζῆν τὰ πράγματα τὰ τυχηρά, τλητικῶς ὑπέμενον, τὴν Ἡράκλειον εὐτολμίαν ἀπομιμούμενοι· καὶ γὰρ ἐκεῖνος τῶν Εὐρυσθέως ἐπιταγμάτων διεφάνη κρείττων. Ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης ὕψει καὶ μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥσθ' ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόγις τὰς ἀναγκαίας παρεῖχον αὐτῷ τροφάς, οὐθ' ὑπὸ τῆς παρούσης τύχης γναμφθείς, οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας, „Ἀτοπώτατον οὖν“ ἔφη „γίνεται, δελφάκια μὲν ἢ προβάτια, ὁπότε μέλλοι πιπράσκεσθαι, τροφαῖς ἐπιμελεστέραις εἰς εὐσαρκίαν πιαίνειν, ζῴων δὲ τὸ ἄριστον, ἄνθρωπον, ἀσιτίαις καὶ συνεχέσι ἐνδείαις κατασκληκευθέντα, ἐπευωνίζεσθαι.“ Λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπειδὴ μεθ' ἑτέρων αἰχμαλώτων ἔμελλεν ἀπεμπολεῖσθαι, καθίσας πρότερον ἠρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον. Ἑνὸς δὲ οὐ μόνον λυπουμένου, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, „Οὐ παύσῃ τῆς συννοίας;“ ἔφη· „χρῶ τοῖς παροῦσι·

καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.“ *)

*) Hom. Il. 24, 602 ss.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

[*] Εἶτ' ἐπινεανιευόμενός τινι τῶν ὠνητικῶς ἐχόντων, πρὸς τὸν πυθόμενον· „Τί οἶδας;" „Ἄρχειν" εἶπεν „ἀνθρώπων," ἔνδοθεν, ὡς ἔοικε, τῆς ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. Ἤδη δὲ καὶ πρὸς χαριεντισμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐφ' ᾧ οἱ ἄλλοι συννοίας γέμοντες κατήφουν, ἐτράπετο. Λέγεται γοῦν, ὅτι θεασάμενός τινα τῶν ὠνουμένων, ὃν θήλεια νόσος εἶχεν, ἐκ τῆς ὄψεως οὐκ ἄῤῥενα, προσελθὼν ἔφη· „Σύ με πρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς," ὡς τὸν μὲν δυςωπηθέντα ἐφ' οἷς ἑαυτῷ σύνοιδε καταδῦναι, τοὺς δὲ ἄλλους τὸ σὺν εὐτολμίᾳ εὐθυβόλον ἐκπλήττεσθαι. Ἆρά γε τῷ τοιούτῳ δουλείαν, ἀλλ' οὐ μόνην ἐλευθερίαν δίχα ἀνυπευθύνου ἡγεμονίας ἐπιφημιστέον; — Ζηλωτὴς δὲ τῆς τούτου παῤῥησίας ἐγένετό τις Χαιρέας τῶν ἀπὸ παιδείας. Ἀλεξανδρείαν γὰρ οἰκῶν τὴν πρὸς Αἰγύπτῳ, δυςχεράναντός ποτε Πτολεμαίου καὶ ἀπειλήσαντος οὐ μετρίως, τῆς ἐκείνου βασιλείας οὐδὲν ἐλάττονα τὴν ἐν τῇ ἑαυτοῦ φύσει νομίσας ἐλευθερίαν, ἀντέλεξεν·

„Αἰγυπτίοισιν ἄνασσε! σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,
οὐδ' ὄθομαι κοτέοντος" —.

Ἔχουσι γάρ τι βασιλικὸν αἱ εὐγενεῖς ψυχαί, τὸ λαμπρὸν πλεονεξίᾳ τύχης οὐκ ἀμαυρούμεναι, ὃ προτρέπει καὶ τοῖς τὸ ἀξίωμα ὑπερόγκοις ἐξ ἴσου διαφέρεσθαι, ἀλαζονείᾳ παῤῥησίαν ἀντιτάττον. Θεόδωρον λόγος ἔχει τὸν ἐπικληθέντα ἄθεον, ἐκπεσόντα τῶν Ἀθηνῶν καὶ πρὸς Λυσίμαχον ἐλθόντα, ἐπειδή τις τῶν ἐν τέλει τὸν δρασμὸν ὠνείδισεν, ἅμα καὶ τὰς αἰτίας ἐπιλέγων, ὅτι ἐπὶ ἀθεότητι καὶ διαφθορᾷ τῶν νέων καταγνωσθεὶς ἐξέπεσεν, „Οὐκ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξέπεσον" φάναι, „τὸ δὲ αὐτὸ ἔπαθον τῷ Διὸς Ἡρακλεῖ· καὶ γὰρ ἐκεῖνος ἐξετέθη πρὸς τῶν Ἀργοναυτῶν, οὐκ ἀδικῶν, ἀλλ' ὅτι μόνος πλήρωμα καὶ ἔρμα καθ' αὑτὸν ὢν ἐναυβάρει, δέος παρασχὼν τοῖς συμπλέουσι, μὴ τὸ σκάφος ὑπέραντλον γένηται. Καὶ ἐγὼ διὰ τοῦτο μετανέστην, ὕψει καὶ μεγέθει τῆς ἐμῆς διανοίας τῶν πολιτευομένων Ἀθήνησιν οὐ δυνηθέντων συνδραμεῖν, ἀλλὰ καὶ φθονηθείς." Προσανερομένου δὲ Λυσιμάχου· „Μὴ καὶ ἐκ τῆς πατρίδος ἐξέπεσες φθόνῳ;" — πάλιν ἀποκρίνασθαι· „Φθόνῳ μὲν οὔ, φύσεως δὲ ὑπερβολαῖς, ἃς ἡ πατρὶς οὐκ ἐχώρει. Καθάπερ γὰρ Σεμέλης, ἡνίκα Διόνυσον ἐκύει, τὸν ὡρισμένον ἄχρι τῆς [*] ἀποτέξεως χρόνον ἐνεγκεῖν οὐ δυνηθείσης, καταπλαγεὶς Ζεὺς τὴν τοῦ κατὰ γαστρὸς φύσιν ἠλιτόμηνον ἐξέκαυσε, καὶ ἰσότιμον τοῖς οὐρανίοις ἀπέφηνε θεοῖς· οὕτω καὶ ἐμέ, τῆς πατρίδος βραχυτέρας οὔσης ἢ ὥστε δέξασθαι φιλοσόφου φρονήματος ὄγκον τοσοῦτον, δαίμων τις ἢ θεὸς ἀναστήσας εἰς εὐτυχέστερον τόπον Ἀθήνας ἀποικίσαι διενοήθη."

*Ex ipsis animalibus galli gallinacei.*

19. Τῆς δὲ ἐν σοφοῖς ἐλευθερίας, ὥσπερ καὶ τῶν ἄλλων ἀνθρωπίνων ἀγαθῶν, καὶ ἐν τοῖς ἀλόγοις ζώοις παραδείγματα σκοπῶν ἄν τις εὕροι. Οἱ γοῦν ἀλεκτρυόνες οὕτως εἰώθασι φιλοκινδύνως ἀγωνίζεσθαι, ὥστε ὑπὲρ τοῦ μὴ εἶξαι καὶ παραχωρῆσαι, κἂν ἡττῶνται ταῖς δυνάμεσιν, οὐχ ἡττῶνται ταῖς εὐτολμίαις· ἄχρι γὰρ θανάτου παραμένουσιν. Ὁ συνιδὼν Μιλτιάδης, ὁ τῶν Ἀθηναίων στρατηγός, ἡνίκα βασιλεὺς ὁ Περσῶν ἅπασαν τὴν ἀκμὴν τῆς Ἀσίας ἀναστήσας μυριάσι πολλαῖς διέβαινεν ἐπὶ τὴν Εὐρώπην, ὡς ἀναρπάσων αὐτοβοεὶ τὴν Ἑλ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λάδα, συναγαγὼν ἐν τῷ παναθηναϊκῷ τοὺς συμμάχους ὀρνίθων ἀγῶνα ἐπέδειξε, λόγου παντὸς δυνατωτέραν ὑπολαβὼν ἔσεσθαι τὴν διὰ τῆς τοιαύτης ὄψεως παρακέλευσιν· καὶ γνώμης οὐχ ἥμαρτε. Θεασάμενοι γὰρ τὸ τλητικὸν καὶ φιλότιμον ἄχρι τελευτῆς ἐν ἀλόγοις ἀήττητον, ἁρπάσαντες τὰ ὅπλα πρὸς τὸν πόλεμον ὥρμησαν, ὡς ἐχθρῶν ἐναγωνιούμενοι σώμασι, τραυμάτων καὶ σφαγῶν ἀλογοῦντες, ὑπὲρ τοῦ καὶ ἀποθανόντες ἐν ἐλευθέρῳ τῷ γοῦν τῆς πατρίδος ἐδάφει ταφῆναι. Προτροπῆς γὰρ εἰς βελτίωσιν οὐδὲν οὕτως αἴτιον, ὡς ἡ τῶν ἀφανεστέρων ἐλπίδος μείζων κατόρθωσις. Τοῦ δὲ περὶ τοὺς ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων·

„Οὐδ' ὅγε σῶμα τυπεὶς διφυεῖς τε
κόρας ἐπιλάθεται ἀλκᾶς,
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅγε δουλοσύνας προβέβουλε.“

Τοὺς οὖν σοφοὺς τί οἰόμεθα οὐκ ἀσμενέστατα δουλείας ἀνταλλάξεσθαι τελευτήν; τὰς δὲ τῶν νέων καὶ εὐφυῶν ψυχὰς ἆρ' οὐκ ἄτοπον λέγειν ἐν ἄθλοις ἀρετῆς ὀρνίθων ἐλαττοῦσθαι, καὶ μόλις φέρεσθαι τὰ δευτερεῖα; Καὶ μὴν οὐδ' ἐκεῖνό τις τῶν ἐπὶ βραχὺ παιδείας ἁψαμένων ἀγνοεῖ, ὅτι καλὸν μὲν πρᾶγμα ἐλευθερία, αἰσχρὸν δὲ δουλεία, καὶ ὅτι τὰ μὲν καλὰ πρόςεστι τοῖς ἀγαθοῖς, τὰ δὲ αἰσχρὰ τοῖς φαύλοις. Ἐξ ὧν ἐναργέστατα παρίσταται, τὸ μήτε τινὰ τῶν σπουδαίων δοῦλον εἶναι, καὶ ἂν μυρίοι τὰ δεσποτῶν σύμβολα προφέροντες ἐπανατείνωνται, μήτε τῶν ἀφρόνων ἐλεύθερον, καὶ ἂν Κροῖσος ἢ Μίδας ἢ ὁ μέγας βασιλεὺς ὢν τυγχάνῃ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Studium libertatis apud Graecos. Athenienses. Argonautae. Antigenides tibicen.*

20. [*] Τὸ δὲ ἐλευθερίας μὲν ἀοίδιμον κάλλος, δουλείας δὲ ἐπάρατον αἶσχος ὑπὸ τῶν παλαιοτέρων καὶ πολυχρονιωτέρων, καὶ ὡς ἐν θνητοῖς ἀθανάτων, οἷς θέμις ἀψευδεῖν, πόλεών τε καὶ ἐθνῶν μαρτυρεῖται. Βουλαί τε γὰρ καὶ ἐκκλησίαι καθ' ἑκάστην σχεδὸν ἡμέραν ἀθροίζονται περί τινος μᾶλλον ἢ ἐλευθερίας, παρούσης μέν, βεβαιώσεως, εἰ δὲ ἀπείη, κτήσεως. Ἡ δὲ Ἑλλὰς καὶ βάρβαρος κατὰ ἔθνη στασιάζουσι καὶ πολεμοῦσιν ἀεί, τί βουλόμεναι ὅτι μὴ δουλείαν μὲν ἀποδιδράσκειν, ἐλευθερίαν δὲ περιποιεῖσθαι; Διὸ καὶ ἐν ταῖς μάχαις ἡ λοχαγῶν καὶ ταξιαρχῶν καὶ στρατηγῶν μεγίστη παρακέλευσις ἥδ' ἐστί· „Κακῶν τὸ βαρύτατον, ἄνδρες σύμμαχοι, δουλείαν ἐπιφερομένην ἀπωσώμεθα! Τοῦ καλλίστου τῶν ἐν ἀνθρώποις ἀγαθῶν, ἐλευθερίας, μὴ περιίδωμεν! ἥδ' ἐστὶν ἀρχὴ καὶ πηγὴ τῆς εὐδαιμονίας, ἀφ' ἧς αἱ κατὰ μέρος ῥέουσιν ὠφέλειαι.“ Διό μοι δοκοῦσιν οἱ τῶν Ἑλλήνων ὀξυδερκέστατοι διάνοιαν Ἀθηναῖοι — ὅπερ γὰρ ἐν ὀφθαλμῷ κόρη ἢ ἐν ψυχῇ λογισμός, τοῦτ' ἐν Ἑλλάδι Ἀθῆναι — τὴν ἐπὶ ταῖς σεμναῖς θεαῖς πομπὴν ὅταν στέλλωσι, δοῦλον μηδένα προςλαμβάνειν τὸ παράπαν, ἀλλὰ δι' ἐλευθέρων ἕκαστα τῶν νενομισμένων, ἀνδρῶν τε καὶ γυναικῶν, ἐπιτελεῖν, καὶ οὐχ οἵων ἂν τύχῃ, ἀλλὰ βίον ἐζηλωκότων ἀνεπίληπτον· ἐπεὶ καὶ τὰ πρὸς τὴν ἑορτὴν πέμματα τῶν ἐφήβων οἱ δοκιμώτατοι σιτοπονοῦσι, πρὸς εὐδοξίας καὶ τιμῆς, ὅπερ ἐστί, τὴν ὑπηρεσίαν τιθέμενοι. Πρώην ὑποκριτῶν τραγῳδίαν ἐπιδεικνυμένων καὶ τὰ παρ' Εὐριπίδῃ τρίμετρα διεξιόντων ἐκεῖνα·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μόνων τῶν τόπων περιπεποιημένοις ἀσφάλειαν, ἐκ μυρίων ἄλλων ἀγωγίμοις συμβέβηκε γίνεσθαι, δώρων γυναικός, ἀδοξίας τέκνων, ἔρωτος ἀπάτης· τοῖς δὲ εἰς ἀρετὴν ὥςπερ εἰς ἀκαθαίρετον καὶ ἐρυμνότατον τεῖχος, ἀλογεῖν βλημάτων, ὧν αἱ ἐφεδρεῖαι τῶν παθῶν βάλλουσι καὶ τοξεύουσι. Ταύτῃ τις πεφραγμένος τῇ δυνάμει μετὰ παῤῥησίας ἂν εἴποι, ὅτι οἱ μὲν ἄλλοι πρὸς τῶν τυχόντων ἁλίσκονται,

„Ἐγὼ δ' ἐμαυτοῦ,“ κατὰ τὸν τραγικόν, „καὶ κλύειν
ἐπίσταμαι,
ἄρχειν θ' ὁμοίως, τῇ ἀρετῇ σταθμώμενος
τὰ πάντα.“

Λέγεται γοῦν ὁ Πριηνεὺς Βίας ἀπειλοῦντι Κροίσῳ, μάλα καταφρονητικῶς ἀνταπειλῆσαι, ἐπεσθίειν τῶν κρομμύων, αἰνιττόμενος τὸ κλαίειν, ἐπειδὴ δάκρυα κινεῖ ἡ κρομμύων βρῶσις. Οὕτως οἱ σοφοὶ βασιλικώτερον οὐδὲν ἀρετῆς νομίζοντες, ἣ τοῦ βίου παντὸς αὐτοῖς ταξιαρχεῖ, τὰς τῶν ἄλλων ἡγεμονίας ὡς ὑπηκόων οὐ δεδίασι· παρ' ὃ τοὺς δειλοὺς καὶ δολεροὺς ἅπασιν ὀνομάζειν ἔθος ἀνελευθέρους τε καὶ δουλοπρεπεῖς. Ὅθεν καὶ ἐκεῖνα εὖ πεφώνηται·

„Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιὴ κ' αὐχένα λοξὸν ἔχει.“ *)

Τὸ γὰρ πλάγιον καὶ ποικίλον καὶ ἀπατηλὸν ἦθος ἀγενέστατον, ὥςπερ τὸ εὐθὺ καὶ ἄπλαστον καὶ ἀνύπουλον εὐγενέστατον, λόγων βουλήμασι καὶ βουλημάτων λόγοις

---

*) E Theognidis carm. 41.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

συναδόντων. Ἄξιον καταγελᾶν τῶν, ἐπειδὰν ἀπαλλαγῶσι δεσποτικῆς κτήσεως, ἐλευθερωθῆναι νομιζόντων· οἰκέται μὲν γὰρ οὐκέθ' ὁμοίως εἶεν οἵγε ἀφειμένοι, δοῦλοι δὲ καὶ μαστιγίαι πάντες, ὑπακούοντες οὐκ ἀνθρώπων — ἧττον γὰρ ἂν ἦν τὸ δεινόν —, ἀλλὰ καὶ τῶν ἐν ἀψύχοις ἀτιμοτάτων, ἀκράτου, λαχάνων, πεμμάτων, ὅσα ἄλλα σιτοπόνων τε καὶ ὀψαρτυτῶν περιεργίαι κατὰ γαστρὸς τῆς ταλαίνης δημιουργοῦσιν. Ὁ γοῦν Διογένης ἰδών τινα τῶν λεγομένων ἀπελευθέρων ἁβρυνόμενον καὶ πολλοὺς αὐτῷ συνηδομένους, θαυμάσας τὸ ἄλογον καὶ ἄκριτον, „Ὅμοιον," εἶπεν, „ὡς εἴ τις ἀνακηρύξειέ τινα τῶν οἰκετῶν ἀπὸ ταύτης τῆς ἡμέρας εἶναι γραμματικὸν ἢ γεωμέτρην ἢ μουσικόν, οὐδ' [*] ὄναρ τῶν τεχνῶν ἐπησθημένον." Ὡς γὰρ ἐπιστήμονας οὐ ποιεῖ τὸ κήρυγμα, οὕτως οὐδὲ ἐλευθέρους — ἐπεὶ μακάριον ἦν —, ἀλλὰ μόνον οὐκ οἰκέτας.

*Libertatis possessio a natura animi pendet. Libertatis finis: „Naturae convenienter vivere."*

22. Ἀνελόντες τοίνυν τὴν κενὴν δόξαν, ἧς ὁ πολὺς ὅμιλος ἀνθρώπων ἀπῃώρηται, καὶ ἀληθείας ἱερωτάτου κτήματος ἐρασθέντες, μήτε τοῖς λεγομένοις ἀστοῖς πολιτείαν ἢ ἐλευθερίαν, μήτε τοῖς οἰκότριψιν ἢ ἀργυρωνήτοις δουλείαν ἐπιφημίσωμεν, ἀλλὰ γένη καὶ δεσποτικὰ γράμματα καὶ συνόλως σώματα παρελθόντες ψυχῆς φύσιν ἐρευνῶμεν. Εἰ μὲν γὰρ πρὸς ἐπιθυμίας ἐλαύνεται ἢ ὑφ' ἡδονῆς δελεάζεται ἢ φόβῳ ἐκκλίνει ἢ λύπῃ συστέλλεται ἢ ὑπ' ἀπορίας τραχηλίζεται, δούλην μὲν αὐτήν, δοῦλον δὲ καὶ τὸν ἔχοντα μυρίων δεσποτῶν ἀπεργάζεται· εἰ δὲ φρονήσει μὲν ἀμαθίαν, σωφροσύνῃ δὲ ἀκολασίαν, δειλίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς καὶ λογογράφοις, ἀλλ' ἀτεχνῶς αὐτῆς περιεχόμενος τῆς ἀληθείας, πρὸς ἣν οἶδ' ὅτι καὶ ὁ δεινότατος εἰπεῖν ἀπαγορεύσει. Διαθλητέον δὲ ὅμως καὶ διαγωνιστέον· οὐ γὰρ δεῖ τὸ μέγεθος τῆς τῶν ἀνδρῶν ἀρετῆς αἴτιον ἀφωνίας γενέσθαι τοῖς μηδὲν καλὸν ἡσυχάζεσθαι δικαιοῦσιν. Ἡ δὲ προαίρεσις τῶν φιλοσόφων εὐθὺς ἐμφαίνεται διὰ τῆς προσρήσεως· θεραπευταὶ γὰρ καὶ θεραπευτρίδες ἐτύμως καλοῦνται, ἤτοι παρ' ὅσον ἰατρικὴν ἐπαγγέλλονται κρείσσονα τῆς κατὰ πόλεις — ἡ μὲν γὰρ σώματα θεραπεύει μόνον, ἐκείνη δὲ καὶ ψυχὰς νόσοις κεκρατημένας χαλεπαῖς καὶ δυσιάτοις, ἃς κατέσκηψαν ἡδοναί τε καὶ ἐπιθυμίαι, καὶ λῦπαι καὶ φόβοι, πλεονεξίαι τε καὶ ἀφροσύναι καὶ ἀδικίαι καὶ τὸ τῶν ἄλλων παθῶν καὶ κακιῶν ἀνήνυτον πλῆθος —, ἢ παρ' ὅσον ἐκ φύσεως καὶ τῶν ἱερῶν νόμων [*] ἐπαιδεύθησαν θεραπεύειν τὸ Ὄν, ὃ καὶ ἀγαθοῦ κρεῖττόν ἐστι, καὶ ἑνὸς εἰλικρινέστερον, καὶ μονάδος ἀρχεγονώτερον. Οἷς τίνας συγκρίνειν ἄξιον τῶν ἐπαγγελλομένων εὐσέβειαν; ἆρά γε τοὺς τὰ στοιχεῖα τιμῶντας, γῆν, ὕδωρ, ἀέρα, πῦρ; Οἷς καὶ ἐπωνυμίας ἔθεντο ἑτέρας ἕτεροι. τὸ μὲν πῦρ Ἥφαιστον παρὰ τὴν ἔξαψιν, οἶμαι, καλοῦντες, Ἥραν δὲ τὸν ἀέρα παρὰ τὸ αἴρεσθαι καὶ μετεωρίζεσθαι πρὸς ὕψος, τὸ δὲ ὕδωρ Ποσειδῶνα τάχα που διὰ τὸ ποτόν, τὴν δὲ γῆν Δήμητρα, παρ' ὅσον μήτηρ εἶναι δοκεῖ πάντων φυτῶν τε καὶ ζώων. Ἀλλὰ τὰ μὲν ὀνόματα σοφιστῶν ἐστιν εὑρήματα, τὰ δὲ στοιχεῖα ἄψυχος ὕλη καὶ ἐξ ἑαυτῆς ἀκίνητος, ὑποβεβλημένη τῷ τεχνίτῃ πρὸς ἁπάσας σχημάτων καὶ ποιοτήτων ἰδέας. Ἀλλὰ τοὺς τὰ ἀποτελέσματα, ἥλιον, σελήνην, ἢ τοὺς ἄλλους ἀστέρας, πλανήτας ἢ ἀπλανεῖς, ἢ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον; Ἀλλὰ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα οὐκ ἐξ ἑαυτῶν γέγονεν, ἀλλ' ὑπό τινος δημιουργοῦ θειοτάτου τὴν ἐπιστήμην. Ἀλλὰ τοὺς ἡμιθέους; Τοῦτό γε καὶ χλεύης ἄξιον· πῶς γὰρ ἂν ὁ αὐτὸς ἀθάνατός τε καὶ θνητὸς εἴη; δίχα τοῦ καὶ τὴν ἀρχὴν τῆς τούτων γενέσεως ἐπίληπτον εἶναι, μειρακιώδους ἀκρασίας ἀνάπλεων, ἣν τολμῶσιν οὐκ εὐαγῶς προσάπτειν ταῖς μακαρίαις καὶ θείαις δυνάμεσιν, εἰ γυναιξὶ θνηταῖς ἐπιμανέντες ὡμίλησαν οἱ παντὸς πάθους ἀμέτοχοι καὶ τρισευδαίμονες. Ἀλλὰ τοὺς τὰ ξόανα καὶ ἀγάλματα σέβοντας; Ὧν αἱ οὐσίαι λίθοι καὶ ξύλα, τὰ μέχρι πρὸ μικροῦ τελείως ἄμορφα, λιθοτόμων καὶ δρυοτόμων τῆς συμφυΐας ὑπὸ διακοψάντων, ὧν τὰ ἀδελφὰ μέρη καὶ συγγενῆ λουτροφόροι γεγόνασι καὶ ποδόνιπτρα, καὶ ἄλλα ἄττα τῶν ἀτιμοτέρων, ἃ πρὸς τὰς ἐν σκότῳ χρείας ὑπηρετεῖ μᾶλλον ἢ τὰς ἐν φωτί. Τῶν μὲν γὰρ παρ' Αἰγυπτίοις οὐδὲ μεμνῆσθαι καλόν, οἳ ζῷα ἄλογα καὶ οὐχ ἥμερα μόνον, ἀλλὰ καὶ θηρίων τὰ ἀγριώτατα παραγηόχασιν εἰς θεῶν τιμάς, ἐξ ἑκάστου τῶν κάτω σελήνης· χερσαίων μὲν λέοντα, ἐνύδρων δὲ τὸν ἐγχώριον κροκόδειλον, ἀεροπόρων δὲ ἴκτινον, καὶ τὴν Αἰγυπτίαν ἶβιν. Καὶ ταῦτα ὁρῶντες γεννώμενα καὶ τροφῆς χρείαν ἔχοντα καὶ περὶ ἐδωδὴν ἄπληστα καὶ περιττωμάτων μεστά, ἰοβόλα τε καὶ ἀνθρωποβόρα, καὶ νόσοις ἁλωτὰ παντοίαις, καὶ οὐ μόνον θανάτῳ τῷ κατὰ φύσιν, ἀλλὰ καὶ βιαίως πολλάκις διαφθειρόμενα, προσκυνοῦσιν, οἱ ἥμεροι τὰ ἀνήμερα καὶ ἀτίθασσα, καὶ οἱ λογικοὶ τὰ ἄλογα, καὶ οἱ συγγένειαν ἔχοντες πρὸς τὸ θεῖον τὰ μηδ' ἂν θηρσί τισι [*] συγκριθέντα, οἱ ἄρχοντες καὶ δεσπόται τὰ ὑπήκοα φύσει καὶ δοῦλα.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Deum colentes eumque magis magisque cognoscere studentes divitias postponunt, non vero in Graecorum quorundam modum.*

2. Ἀλλ' οὗτοι μέν, ἐπειδήπερ οὐ τοὺς ὁμοφύλους μόνον, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ἀναπιμπλᾶσι φλυαρίας, αὐτοὶ ἀθεράπευτοι διατελείτωσαν, ὄψιν, τὴν ἀναγκαιοτάτην τῶν αἰσθήσεων, πεπηρωμένοι· λέγω δὲ οὐ τὴν τοῦ σώματος, ἀλλὰ τὴν τῆς ψυχῆς, ᾗ τὸ ἀληθὲς καὶ ψεῦδος μόνῃ γνωρίζεται. Τὸ δὲ θεραπευτικὸν γένος βλέπειν ἀεὶ προςδιδασκόμενον τῆς τοῦ Ὄντος θέας ἐφιέσθω, καὶ τὸν αἰσθητὸν ἥλιον ὑπερβαινέτω, καὶ μηδέποτε τὴν τάξιν ταύτην λειπέτω πρὸς τελείαν ἄγουσαν εὐδαιμονίαν. Οἱ δὲ ἐπὶ θεραπείαν ἰόντες οὔτε ἐξ ἔθους οὔτε ἐκ παρακλήσεως ἢ παραινέσεών τινων, ἀλλ' ὑπ' ἔρωτος ἁρπασθέντες οὐρανίου, καθάπερ οἱ βακχευόμενοι καὶ κορυβαντιῶντες, ἐνθουσιάζουσι, μέχρις ἂν τὸ ποθούμενον ἴδωσιν. Εἶτα διὰ τὸν τῆς ἀθανάτου καὶ μακαρίας ζωῆς ἵμερον τετελευτηκέναι νομίζοντες ἤδη τὸν θνητὸν βίον, ἀπολείπουσι τὰς οὐσίας υἱοῖς ἢ θυγατράσιν, εἴτε καὶ ἄλλοις συγγενέσιν, ἑκουσίῳ γνώμῃ προςκληρονομοῦμενοι· οἷς δὲ μὴ συγγενεῖς εἰσιν, ἑταίροις καὶ φίλοις. Ἔδει γὰρ τοὺς τὸν βλέποντα πλοῦτον ἐξ ἑτοίμου λαβόντας τὸν τυφλὸν παραχωρῆσαι τοῖς ἔτι τὰς διανοίας τυφλώττουσιν. Ἀναξαγόραν καὶ Δημόκριτον Ἕλληνες ᾄδουσιν, ὅτι φιλοσοφίας ἱμέρῳ πληχθέντες μηλοβότους εἴασαν γενέσθαι τὰς οὐσίας. Ἄγαμαι τοὺς ἄνδρας καὶ αὐτὸς γενομένους χρημάτων κρείττους. Ἀλλὰ πόσῳ βελτίονες οἱ μὴ θρέμμασιν ἐμβόσκεσθαι τὰς κτήσεις ἀνέντες, ἀλλὰ τὰς ἀνθρώπων ἐνδείας, συγγενῶν ἢ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

φίλων, ἐπανορθωσάμενοι καὶ ἐξ ἀπόρων εὐπόρους ἀποφήναντες! Ἐκεῖνο μὲν γὰρ ἀπερίσκεπτον, ἵνα μὴ †μόνον† μανιῶδες, ἐπ᾽ ἀνδρῶν, οὓς ἡ Ἑλλὰς ἐθαύμασεν, εἴπω τὸ ἔργον· τοῦτο δὲ νηφάλιον καὶ μετὰ φρονήσεως ἠκριβωμένον περιττῆς. Οἱ πολέμιοι τί πλέον δρῶσιν ἢ κείρουσι καὶ δενδροτομοῦσι τὴν τῶν ἀντιπάλων χώραν, ἵνα σπάνει τῶν ἀναγκαίων πιεσθέντες ἐνδῶσι; Τοῦτο οἱ περὶ Δημόκριτον τοῖς ἀφ᾽ αἵματος εἰργάσαντο, χειροποίητον ἔνδειαν καὶ πενίαν αὐτοῖς κατασκευάσαντες· οὐκ ἐξ ἐπιβουλῆς ἴσως, ἀλλὰ τῷ μὴ προϊδέσθαι καὶ περιαθρῆσαι τὸ τοῖς ἄλλοις συμφέρον. Πόσῳ δὴ κρείττους οὗτοι καὶ θαυμασιώτεροι, χρησάμενοι μὲν οὐκ ἐλάττοσι ταῖς πρὸς φιλοσοφίαν ὁρμαῖς, μεγαλόνοιαν δὲ ὀλιγωρίας προτιμήσαντες, καὶ χαρισάμενοι τὰς οὐσίας, ἀλλὰ μὴ διαφθείραντες, ἵνα καὶ ἑτέρους καὶ ἑαυτοὺς ὠφελήσωσι, [*] καὶ τοὺς μὲν ἐν ἀφθόνοις περιουσίαις, ἑαυτοὺς δὲ ἐν τῷ φιλοσοφεῖν! αἱ γὰρ χρημάτων καὶ κτημάτων ἐπιμέλειαι τοὺς χρόνους ἀναλίσκουσι. Χρόνου δὲ φείδεσθαι καλόν, ἐπειδὴ κατὰ τὸν ἰατρὸν Ἱπποκράτην „ὁ μὲν βίος βραχύς, ἡ δὲ τέχνη μακρή." Τοῦτό μοι δοκεῖ καὶ Ὅμηρος αἰνίξασθαι ἐν Ἰλιάδι κατὰ τὴν ἀρχὴν τῆς τρισκαιδεκάτης ῥαψῳδίας *) διὰ τούτων τῶν ἐπῶν·

„Μυσῶν τ᾽ ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
γλακτοφάγων, Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων."

Ὡς τῆς μὲν περὶ βίον σπουδῆς καὶ χρηματισμὸν ἀδικίαν γεννώσης διὰ τὸ ἄνισον, δικαιοσύνην δὲ τῆς ἐναντίας προαιρέσεως ἕνεκα ἰσότητος, καθ᾽ ἣν ὁ τῆς φύσεως πλοῦ-

*) Vss. 5 s.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τος ὥρισται καὶ παρευημερεῖ τὸν ἐν ταῖς κεναῖς δόξαις. Ὅταν οὖν ἐκστῶσι τῶν οὐσιῶν, ὑπ᾽ οὐδενὸς ἔτι δελεαζόμενοι, φεύγουσιν ἀμεταστρεπτὶ καταλιπόντες ἀδελφούς, τέκνα, γυναῖκας, γονεῖς, πολυανθρώπους συγγενείας, φιλικὰς ἑταιρείας, τὰς πατρίδας, ἐν αἷς ἐγεννήθησαν καὶ ἐτράφησαν, ἐπειδὴ τὸ σύνηθες ὁλκὸν καὶ δελεάσαι δυνατώτατον. Μετοικίζονται δὲ οὐκ εἰς ἑτέραν πόλιν, ὥσπερ οἱ πρᾶσιν αἰτούμενοι παρὰ τῶν κεκτημένων ἀτυχεῖς ἢ κακόδουλοι, δεσποτῶν ὑπαλλαγήν, οὐκ ἐλευθερίαν αὑτοῖς ἐκπορίζοντες, — πᾶσα γὰρ πόλις, καὶ ἡ εὐνομωτάτη, γέμει θορύβων καὶ κηρῶν καὶ ταραχῶν ἀμυθήτων, ἃς οὐκ ἂν ὑπομείναι τις ἅπαξ ὑπὸ σοφίας ἀχθείς —, ἀλλὰ τειχῶν ἔξω ποιοῦνται τὰς διατριβὰς ἐν κήποις ἢ μοναγρίοις, ἐρημίαν μεταδιώκοντες, οὐ διά τινα ὠμὴν ἐπιτετηδευμένην μισανθρωπίαν, ἀλλὰ διὰ τὰς ἐκ τῶν ἀνομοίων τὸ ἦθος ἐπιμιξίας, ἀλυσιτελεῖς καὶ βλαβερὰς εἰδότες.

*Essaeorum patria, domicilia, divina studia, σεμνεῖον.*

3. Πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τοῦτο τὸ γένος. Ἔδει γὰρ ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον· πλεονάζει δὲ ἐν Αἰγύπτῳ καθ᾽ ἕκαστον τῶν ἐπικαλουμένων νομῶν, καὶ μάλιστα περὶ τὴν Ἀλεξάνδρειαν. Οἱ δὲ πανταχόθεν ἄριστοι, καθάπερ εἰς πατρίδα θεραπευτῶν, ἀποικίαν στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον, ὅπερ ἐστὶν ὑπὲρ λίμνης Μαρίας κείμενον ἐπὶ γεωλόφου χθαμαλωτέρου, σφόδρα εὐκαίρου, ἀσφαλείας ἕνεκα καὶ ἀέρος εὐκρασίας. Τὴν μὲν οὖν ἀσφάλειαν αἱ ἐν κύκλῳ παρέχουσιν ἐπαύλεις τε καὶ κῶμαι, [*] τὴν δὲ περὶ τὸν ἀέρα εὐκρασίαν ἔκ τε τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

λίμνης ἀνεστομωμένης εἰς τὴν θάλατταν καὶ τοῦ πελάγους ἐγγὺς ὄντος ἀναδιδόμεναι συνεχεῖς αὖραι· λεπταὶ μὲν αἱ ἐκ τοῦ πελάγους, παχεῖαι δὲ αἱ ἀπὸ τῆς λίμνης ἀνεστομωμένης εἰς τὴν θάλατταν, ὧν ἡ μίξις ὑγιεινοτάτην κατάστασιν ἀπεργάζεται. Αἱ δὲ οἰκίαι τῶν συνεληλυθότων σφόδρα μὲν εὐτελεῖς εἰσι, πρὸς δύο τὰ ἀναγκαιότατα σκέπην παρέχουσαι, πρός τε τὸν ἀφ' ἡλίου φλογμὸν καὶ τὸν ἀπὸ ἀέρος κρυμόν. Οὔτε δὲ ἐγγύς, ὥσπερ αἱ ἐν τοῖς ἄστεσιν, ὀχληρὸν γὰρ καὶ δυσάρεστον τοῖς ἐρημίαν ἐζηλωκόσι καὶ μεταδιώκουσιν αἱ γειτνιάσεις· οὔτε πόῤῥω, δι' ἣν ἀσπάζονται κοινωνίαν, καὶ ἵνα, εἰ λῃστῶν γένοιτο ἔφοδος, ἀλλήλοις ἐπιβοηθῶσιν. Ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν ἱερόν, ὃ καλεῖται σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδὲν εἰσκομίζοντες, μὴ ποτόν, μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν, καὶ ὕμνους, καὶ τὰ ἄλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύξονται καὶ τελειοῦνται. Ἀεὶ μὲν οὖν ἄληστον ἔχουσι τὴν τοῦ θεοῦ μνήμην, ὡς καὶ δι' ὀνειράτων μηδὲν ἕτερον ἢ τὰ κάλλη τῶν θείων ἀρετῶν καὶ δυνάμεων φαντασιοῦσθαι. Πολλοὶ οὖν καὶ ἐκλαλοῦσιν ἐν ὕπνοις ὀνειροπολούμενοι τὰ τῆς ἱερᾶς φιλοσοφίας ἀοίδιμα δόγματα. Δὶς δὲ καθ' ἑκάστην ἡμέραν εἰώθασιν εὔχεσθαι, περὶ τὴν ἕω καὶ περὶ τὴν ἑσπέραν, ἡλίου μὲν ἀνίσχοντος εὐημερίαν αἰτούμενοι τὴν ὄντως εὐημερίαν, φωτὸς οὐρανίου τὴν διάνοιαν αὐτῶν ἀναπλησθῆναι, δυομένου δὲ ὑπὲρ τοῦ τὴν ψυχὴν τοῦ τῶν αἰσθήσεων καὶ αἰσθητῶν ὄγκου παντελῶς ἐπικουφισθεῖσαν, ἐν τῷ ἑαυτῆς συνεδρίῳ καὶ βουλευτηρίῳ γενομένην, ἀλήθειαν ἰχνηλατεῖν. Τὸ δὲ ἐξ ἑω-

θινοῦ μέχρι τῆς ἑσπέρας διάστημα σύμπαν ἐστὶν αὐτοῖς ἄσκησις. Ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι φιλοσοφοῦσι τὴν πάτριον φιλοσοφίαν, ἀλληγοροῦντες, ἐπειδὴ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσι φύσεως ἀποκεκρυμμένης, ἐν ὑπονοίαις δηλουμένης. Ἔστι δὲ αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν, οἳ τῆς αἱρέσεως ἀρχηγέται γενόμενοι πολλὰ μνημεῖα τῆς ἀλληγορουμένης ἰδέας ἀπέλιπον, οἷς καθάπερ τισὶν ἀρχετύποις [*] χρώμενοι μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον. Ὥστ᾽ οὐ θεωροῦσι μόνον, ἀλλὰ καὶ ποιοῦσιν ᾄσματα καὶ ὕμνους εἰς θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν, ἃ ῥυθμοῖς σεμνοτέροις ἀναγκαίως χαράττουσι. Τὰς μὲν οὖν ἓξ ἡμέρας χωρὶς ἕκαστοι μονούμενοι παρ᾽ ἑαυτοῖς ἐν τοῖς λεχθεῖσι μοναστηρίοις φιλοσοφοῦσι, τὴν αὔλειον οὐχ ὑπερβαίνοντες, ἀλλ᾽ οὐδὲ ἐξ ἀπόπτου θεωροῦντες. Ταῖς δὲ ἑβδόμαις συνέρχονται καθάπερ εἰς κοινὸν σύλλογον, καὶ καθ᾽ ἡλικίαν ἑξῆς καθέζονται μετὰ τοῦ πρέποντος σχήματος, εἴσω τὰς χεῖρας ἔχοντες, τὴν μὲν δεξιὰν μεταξὺ στέρνου καὶ γενείου, τὴν δὲ εὐώνυμον ὑπεσταλμένην παρὰ τῇ λαγόνι. Προελθὼν δὲ ὁ πρεσβύτατος καὶ τῶν δογμάτων ἐμπειρότατος διαλέγεται, καθεστῶτι μὲν τῷ βλέμματι, καθεστώσῃ δὲ τῇ φωνῇ, μετὰ λογισμοῦ καὶ φρονήσεως, οὐ δεινότητα λόγων, ὥσπερ οἱ ῥήτορες ἢ οἱ νῦν σοφισταί, παρεπιδεικνύμενος, ἀλλὰ τὴν ἐν τοῖς νοήμασι διηρευνηκὼς καὶ διερμηνεύων ἀκρίβειαν, ἥτις οὐκ ἄκροις ὠσὶν ἐφιζάνει, ἀλλὰ δι᾽ ἀκοῆς ἐπὶ ψυχὴν ἔρχεται καὶ βεβαίως ἐπιμένει. Καθ᾽ ἡσυχίαν δὲ οἱ ἄλλοι πάντες ἀκροῶνται, τὸν ἔπαινον νεύμασιν ὄψεως ἢ κεφαλῆς παραδηλοῦντες αὐτὸ μόνον. Τὸ δὲ κοινὸν τοῦτο σεμνεῖον, εἰς ὃ ταῖς ἑβδόμαις συνέρχονται, διπλοῦς ἐστι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περίβολος, ὁ μὲν εἰς ἀνδρῶνα, ὁ δὲ εἰς γυναικωνῖτιν ἀποκριθείς· καὶ γὰρ καὶ γυναῖκες ἐξ ἔθους συνακροῶνται, τὸν αὐτὸν ζῆλον καὶ τὴν αὐτὴν προαίρεσιν ἔχουσαι. Ὁ δὲ μεταξὺ τῶν οἰκιῶν τοῖχος, τὸ μὲν ἐξ ἐδάφους ἐπὶ τρεῖς ἢ τέσσαρας πήχεις εἰς τὸ ἄνω συνῳκοδόμηται θωρακείου τρόπον, τὸ δὲ ἄχρι τέγους ἀνώγεον ἀχανὲς ἀνίεται, δυοῖν ἕνεκα· τοῦ τε τὴν πρέπουσαν αἰδῶ τῇ γυναικείᾳ φύσει διατηρεῖσθαι, καὶ τοῦ τὴν ἀντίληψιν ἔχειν εὐμαρῆ καθεζομένας ἐν ἐπηκόῳ, ὡς μηδενὸς τὴν τοῦ διαλεγομένου φωνὴν ἐμποδίζοντος.

*Summa Essaeorum virtus temperantia.*

4. Ἐγκράτειαν δὲ ὥσπερ τινὰ θεμέλιον προκαταβαλόμενοι τῇ ψυχῇ, τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς. Σιτίον δὲ ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκαιτο πρὸ ἡλίου δύσεως, ἐπειδὴ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς κρίνουσιν εἶναι, σκότους δὲ τὰς σωματικὰς ἀνάγκας, ὅθεν τῷ μὲν ἡμέρας, ταῖς δὲ βραχύ τι μέρος τῆς νυκτὸς ἔνειμαν. Ἔνιοι δὲ καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος ἐπιστήμης ἐνίδρυται. Τινὲς δὲ οὕτως ἀνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ σοφίας ἑστιώμενοι, πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγούσης, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν καὶ μόλις δι' ἓξ ἡμερῶν ἀπογεύεσθαι τροφῆς ἀναγκαίας, ἐθισθέντες, ὥσπερ φασὶ τὸ τῶν τεττίγων [*] γένος, ἀέρι τρέφεσθαι, τῆς ᾠδῆς, ὡς γε οἶμαι, τὴν ἔνδειαν ἐξευμαριζούσης. Τὴν δὲ ἑβδόμην πανίερόν τινα καὶ πανέορτον νομίζοντες εἶναι ἐξαιρέτου γέρως ἠξιώκασιν, ἐν ᾗ μετὰ τὴν τῆς ψυχῆς ἐπιμέλειαν καὶ τὸ σῶμα λιπαίνουσιν, ὥσπερ ἀμέλει καὶ τὰ θρέμματα τῶν συνεχῶν πόνων ἀνιέν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τες. Σιτοῦνται δὲ πολυτελὲς οὐδέν, ἀλλὰ ἄρτον εὐτελῆ, καὶ ὄψον ἅλες, οὓς οἱ ἁβροδιαίτατοι παραρτύουσιν ὑσσώπῳ· ποτὸν ὕδωρ ναματιαῖον αὐτοῖς ἐστιν. Ἃς γὰρ ἡ φύσις ὑπέστησε τῷ θνητῷ γένει δεσποίνας, πεῖνάν τε καὶ δίψαν, ἀπομειλίσσονται, τῶν εἰς κολακείαν ἐπιφέροντες οὐδέν, ἀλλ᾽ αὐτὰ τὰ χρήσιμα, ὧν ἄνευ ζῆν οὐκ ἔστι. Διὰ τοῦτο ἐσθίουσι μὲν ὥστε μὴ πεινῆν, πίνουσι δὲ ὥστε μὴ διψῆν, πλησμονὴν ὡς ἐχθρόν τε καὶ ἐπίβουλον ἐκτρεπόμενοι ψυχῆς καὶ σώματος. Ἐπεὶ δὲ καὶ σκέπης διττὸν εἶδος, τὸ μὲν ἐσθής, τὸ δὲ οἰκία, περὶ μὲν οἰκίας εἴρηται πρότερον, ὅτι ἐστὶν ἀκαλλώπιστος καὶ αὐτοσχέδιος, πρὸς τὸ χρειῶδες αὐτὸ μόνον εἰργασμένη. Καὶ ἐσθὴς δὲ ὁμοίως εὐτελεστάτη, πρὸς ἀλέξημα κρυμοῦ τε καὶ θάλπους· χλαῖνα μὲν ἀπὸ λασίου δορᾶς παχεῖα χειμῶνος, ἐξωμὶς δὲ θέρους, ἢ ὀθόνη. Συνόλως γὰρ ἀσκοῦσιν ἀτυφίαν, εἰδότες τύφου μὲν τὸ ψεῦδος ἀρχήν, ἀτυφίας δὲ ἀλήθειαν, ἑκάτερον δὲ πηγῆς λόγον ἔχον. Ῥέουσι γὰρ ἀπὸ μὲν τοῦ ψεύδους αἱ πολύτροποι τῶν κακῶν ἰδέαι, ἀπὸ δὲ τῆς ἀληθείας αἱ περιουσίαι τῶν ἀγαθῶν, ἀνθρωπίνων τε καὶ θείων.

*Aliorum luxuriosa et sumptuosa convivia.* (5. 6.)

5. Βούλομαι δὲ καὶ τὰς κοινὰς συνόδους αὐτῶν καὶ ἱλαρωτέρας ἐν συμποσίοις διαγωγὰς εἰπεῖν, ἀντιτάξας τὰ τῶν ἄλλων συμπόσια. Οἱ μὲν γὰρ ὅταν ἄκρατον ἐμφορήσωνται, καθάπερ οὐκ οἶνον πίνοντες, ἀλλὰ παρακινητικόν τι καὶ μανιῶδες καὶ εἴ τι χαλεπώτερον, ἐπ᾽ ἐκστάσει λογισμοῦ φυσικοῦ, ἀράσσουσι καὶ λυττῶσι κυνῶν τρόπον ἀτιθάσσων, καὶ ἐπανιστάμενοι δάκνουσιν ἀλλήλους καὶ ἀποτρώγουσι ῥῖνας, ὦτα, δακτύλους, ἕτερ᾽ ἄττα μέρη

τοῦ σώματος, ὡς τὸν ἐπὶ Κύκλωπος καὶ τῶν Ὀδυσσέως ἑταίρων μῦθον ἀποδεδειχέναι τούτους ἀληθῆ, „ψωμούς“, ἥ φησιν ὁ ποιητής *), ἐπεσθίοντας „ἀνδρομέους“, καὶ ὠμότερον ἢ ἐκεῖνος. Ὁ μὲν γὰρ ἐχθροὺς ὑποτοπήσας ἠμύνατο, οἱ δὲ συνήθεις καὶ φίλους, ἔστι δὲ ὅτε καὶ συγγενεῖς, ἐφ᾽ ἁλῶν καὶ τραπέζης, ἄσπονδα ἐν σπονδαῖς ἐργασάμενοι, τῶν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅμοια, καὶ παρακόπτοντες ὡς καὶ νόμισμα δόκιμον ἄσκησιν, οἱ ἀντὶ ἀθλητῶν ἄθλιοι· τοῦτο γὰρ αὐτοῖς ἐπιφημιστέον. Ἅπερ γὰρ νήφοντες ἐν σταδίοις ἐκεῖνοι, θεαταῖς χρώμενοι τοῖς παρ᾽ Ἕλλησι μεθ᾽ ἡμέραν, [*] ἕνεκα νίκης καὶ στεφάνων Ὀλυμπιονῖκαι σὺν τέχνῃ δρῶσιν, οὗτοι κιβδηλεύοντες ἐπὶ συμποσίων, νύκτωρ ἐν σκότῳ μεθύοντες, ἐμπαροινοῦντες, ἀνεπιστημόνως καὶ κακοτέχνως ἐπ᾽ ἀτιμίᾳ καὶ ὕβρει καὶ αἰκίᾳ χαλεπῇ τῶν ὑπομενόντων ἐνεργοῦσιν. Εἰ δὲ μηδεὶς οἷα βραβευτὴς παρελθὼν εἰς μέσον διαλύσειε, μετὰ πλείονος ἐξουσίας καταπαλαίουσι, φονῶντες ἐν ταὐτῷ καὶ θανατῶντες. Πάσχουσι γὰρ οὐκ ἐλάττονα ὧν διατιθέασιν, ἅπερ οὐκ ἴσασι παραπαίοντες, οἱ τὸν οἶνον οὐχ, ὡς ὁ κωμικός φησιν, ἐπὶ κακῷ τῶν πλησίον αὐτῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τῷ ἰδίῳ πίνειν ὑπομένοντες. Τοιγαροῦν οἱ πρὸ μικροῦ παρελθόντες εἰς τὰ συμπόσια σῷοι καὶ φίλοι, μικρὸν ὕστερον ἐξίασιν ἐχθροὶ καὶ τὰ σώματα ἠκρωτηριασμένοι. Καὶ οἱ μὲν συνηγόρων καὶ δικαστῶν, οἱ δὲ καταπλάστων καὶ ἰατρῶν καὶ τῆς ὑπὸ τούτων δέονται βοηθείας. Ἕτεροι δὲ τῶν μετριωτέρων δοκούντων εἶναι συμποτῶν, ὥςπερ μανδραγόραν τὸν ἄκρατον πιόντες ὑποβεβλήκασι, καὶ τὸν εὐώνυμον ἀγκῶνα

*) Hom. Od. 9, 374.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προβαλόντες καὶ τὸν αὐχένα ἐγκάρσιον ἐπιστρέψαντες, *ἀνερευγόμεοι* ταῖς κύλιξιν, ὕπνῳ βαθεῖ πιέζονται, μηδὲν μήτε ἰδόντες μήτε ἀκούσαντες, ὡς μίαν μόνην ἔχοντες αἴσθησιν, τὴν ἀνδραποδωδεστάτην, γεῦσιν. Οἶδα δέ τινας, οἵ, ἐπειδὰν ἀκροθώρακες γένωνται, πρὶν τελέως βαπτισθῆναι, τὸν εἰς τὴν ὑστεραίαν πότον ἐξ ἐπιδόσεως καὶ συμβολῶν προευτρεπιζομένους, μέρος ὑπολαμβάνοντας τῆς ἐν χερσὶν εὐφροσύνης εἶναι τὴν περὶ τῆς εἰς τὸ μέλλον μέθης ἐλπίδα. Τοῦτον τὸν τρόπον διαζῶντες ἄοικοι καὶ ἀνέστιοι διατελοῦσιν, ἐχθροὶ μὲν γονέων καὶ γυναικῶν καὶ τέκνων, ἐχθροὶ δὲ καὶ τῆς πατρίδος, πολέμιοι δὲ καὶ ἑαυτῶν· ὑγρὸς γὰρ καὶ ἄσωτος βίος ἅπασιν ἐπίβουλος.

6. Ἴσως δὲ ἄν τις ἀποδέξαιτο τὴν ἐπιπολάζουσαν νυνὶ πανταχοῦ τῶν συμποσίων διάθεσιν, κατὰ πόθον τῆς Ἰταλικῆς πολυτελείας καὶ τρυφῆς, ἣν ἐζήλωσαν Ἕλληνές τε καὶ βάρβαροι, πρὸς ἐπίδειξιν μᾶλλον ἢ πρὸς εὐωχίαν ποιούμενοι τὰς παρασκευάς. Τρίκλινά τε καὶ περίκλινα χελώνης ἢ ἐλέφαντος κατεσκευασμένα, καὶ τιμαλφεστέρας ὕλης, ὧν τὰ πλεῖστα λιθοκόλλητα· στρωμναὶ ἁλουργεῖς ἐνυφασμένου χρυσοῦ καὶ ἀργύρου, καὶ ἀνθοβαφεῖς ἕτεραι παντοίων χρωμάτων, πρὸς τὸ τῆς ὄψεως ἐπαγωγόν· ἐκπωμάτων πλῆθος ἐκτεταγμένων καθ᾽ ἕκαστον εἶδος, ῥυτὰ γὰρ καὶ φιάλαι καὶ κύλικες, καὶ ἕτερα πολυειδῆ τεχνικώτατα θηρίκλεια καὶ τορείαις ἐπιστημονικῶν ἀνδρῶν ἠκριβωμένα· διακονικὰ ἀνδράποδα, εὐμορφότατα [*] καὶ περικαλλέστατα, ὡς ἀφιγμένα οὐχ ὑπηρεσίας ἕνεκα μᾶλλον ἢ τοῦ φανέντα τὴν τῶν θεωμένων ὄψιν ἡδῦναι. Τούτων οἱ μὲν παῖδες ἔτι ὄντες οἰνοχοοῦσι, ὑδροφοροῦσι δὲ βούπαιδες, λελουμένοι καὶ λελεια-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σμένοι, τά τε πρόσωπα ἐντρίβονται καὶ ὑπογράφονται καὶ τὰς τῆς κεφαλῆς τρίχας εὖ πως διαπλέκονται σφηκούμενοι· βαθυχαῖται γάρ εἰσιν, ἢ μὴ κειρόμενοι τὸ παράπαν, ἢ τὰς προμετωπιδίους αὐτὸ μόνον ἐξ ἄκρων εἰς ἐπανίσωσιν, καὶ γραμμῆς κυκλοτεροῦς ἠκριβωμένοι σχῆμα, χιτῶνάς τε ἀραχνοϋφεῖς καὶ ἐκλεύκους ἐπαναζωσάμενοι, τὰ μὲν ἐμπρόσθια κατωτέρω τῶν ὑπὸ γόνου, τὰ δὲ κατόπιν μικρὸν ὑπὸ τοῖς γονατίοις, ἑκάτερον δὲ μέρος οὐλοτέραις ταῖς σειραίαις ἐπιδιπλώσεσι κατὰ τὴν τῶν χιτωνίσκων συμβολὴν συστέλλοντες, ἐκ πλαγίων κόλπους ἀπαιωροῦντες, εὐρύναντες τὰ κοῖλα τῶν πλευρῶν ἐφεδρεύουσιν. Ἄλλοι δέ, μειράκια πρωτογένεια, τοὺς ἰούλους ἄρτι ἀνθοῦντες, ἀθύρματα πρὸ μικροῦ παιδεραστῶν γεγονότες, ἠσκημένοι σφόδρα περιέργως πρὸς τὰς βαρυτέρας ὑπηρεσίας, ἐπίδειξις ἑστιατόρων εὐπορίας, ὡς δὲ ἔχει τὸ ἀληθές, ἀπειροκαλίας, ὡς ἴσασιν οἱ χρώμενοι. Πρὸς δὲ τούτοις αἱ πεμμάτων καὶ ὄψων καὶ ἡδυσμάτων ποικιλίαι, περὶ ἃ σιτοπόνοι καὶ ὀψαρτυταὶ πονοῦνται, φροντίζοντες οὐ γεῦσιν, ὅπερ ἀναγκαῖον ἦν, ἡδύναι μόνον, ἀλλὰ καὶ ὄψιν τῇ καθαρειότητι. Ἑπτὰ γοῦν καὶ πλείους εἰςκομίζονται τράπεζαι, πλήρεις ἁπάντων ὅσα γῆ τε καὶ θάλαττα καὶ ποταμοὶ καὶ ἀὴρ φέρουσιν, ἔκλογα πάντα καὶ εὔσαρκα, χερσαίων, ἐνύδρων, ἀεροπόρων, ὧν ἑκάστη διαλλάσσει καὶ ταῖς παρασκευαῖς καὶ ταῖς παραρτύσεσιν. Ὑπὲρ δὲ τοῦ μηδὲν εἶδος ἀπολειφθῆναι τῶν ἐν τῇ φύσει, τελευταῖαι τῶν ἀκροδρύων εἰςκομίζονται γέμουσαι, δίχα τῶν εἰς τοὺς κώμους καὶ τὰς λεγομένας ἐπιδειπνίδας. Εἶτα αἱ μὲν ἐκκομίζονται κεναὶ διὰ τὴν τῶν παρόντων ἀπληστίαν, οἳ, τρόπον αἰθυιῶν ἐμφορούμενοι, κατοψοφαγοῦσιν οὕτως, ὡς καὶ τῶν ὀστέων ἐπεντραγεῖν,

τὰς δὲ λωβήσαντες καὶ σπαράξαντες ἡμιβρώτους ἐῶσιν. Ὅταν δὲ τελέως ἀπαγορεύσωσι, τὰς μὲν γαστέρας ἄχρι φαρύγγων πεπληρωμένοι, κενοὶ δὲ πρὸς τὰς ἐπιθυμίας, ἀπειρηκότες πρὸς τὰς ἐδωδάς, τοὺς αὐχένας ἐν κύκλῳ περιάγοντες τοῖς ὀφθαλμοῖς καὶ τοῖς μυκτῆρσι περιϊχνεύουσι, τοῖς μὲν τὰς εὐσαρκίας καὶ τὸ πλῆθος, τοῖς δὲ τὴν ἀναδιδομένην κνίσσαν. Εἶτα ὅταν ἀμφοτέρων, ὄψεών τε καὶ ὀσμῶν, γένωνται διακορεῖς, ἐσθίειν διακελεύουσιν, ἐπαινέσαντες οὐκ ὀλίγα τὴν παρασκευὴν καὶ τὸν ἑστιάτορα τῆς πολυτελείας. Ἀλλὰ τί ταῦτα προςῆκε μηκύνειν, ἃ παρὰ πολλοῖς ἤδη τῶν μετριωτέρων καταγινώσκεται, προςαναῤῥηγνύντα τὰς ἐπιθυμίας, ὧν ἡ μείωσις ὠφέλιμον; Εὔξαιτο γὰρ ἄν τις τὰ ἀπευκταιότατα, [*] πεῖναν τε καὶ δίψαν, ἢ τὴν ἐν ταῖς τοιαύταις εὐωχίαις ἄφθονον σιτίων καὶ ποτῶν περιουσίαν.

### *Xenophontis et Platonis symposia.*

7. Τῶν γοῦν ἐν τῇ Ἑλλάδι συμποσίων τὰ περιβόητα καὶ σημειωδέστατα δύο ταῦτά ἐστιν, οἷς καὶ Σωκράτης παρετύγχανε· τὸ μὲν ἐν Καλλίου, ἡνίκα στεφανωθέντος Αὐτολύκου τὰ ἐπινίκια εἱστιᾶτο, τὸ δὲ ἐν Ἀγάθωνος, ἃ καὶ μνήμης ἠξίωσαν ἄνδρες τά τε ἤθη καὶ τοὺς λόγους φιλόσοφοι, Ξενοφῶν τε καὶ Πλάτων. Ἀνεγράψαντο γὰρ ὡς ἀξιομνημόνευτα, οἷς ὑπετόπασαν χρήσασθαι παραδείγμασι τοὺς ἔπειτα τῆς ἐν συμποσίοις ἐμμελοῦς διαγωγῆς. Ἀλλ᾽ ὅμως καὶ ταῦτα συγκρινόμενα τοῖς τῶν ἡμετέρων, οἳ τὸν θεωρητικὸν ἠσπάσαντο βίον, γέλως ἀναφανεῖται. Ἡδονὰς μὲν οὖν ἔχει ἑκάτερον, ἀνθρωπικώτερον δέ ἐστι τὸ Ξενοφῶντος· αὐλητρίδες γὰρ καὶ ὀρχησταὶ καὶ θαυματοποιοὶ καὶ ποιηταὶ γελοίων ἐπὶ τῷ σκῶ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ψαι καὶ χαριεντίσασθαι μέγα φρονοῦντές εἰσι, καὶ τινα ἄλλα τῶν ἐν ταῖς ἱλαρωτέραις ἀνέσεσι. Τὸ δὲ Πλατωνικὸν ὅλον σχεδόν ἐστι περὶ ἔρωτος, οὐκ ἀνδρῶν ἐπὶ γυναιξὶν ἐπιμανέντων, ἢ γυναικῶν ἀνδράσιν αὐτὸ μόνον — ἐπιτελοῦνται γὰρ αἱ ἐπιθυμίαι αὗται νόμῳ φύσεως —, ἀλλὰ ἀνδρῶν ἄρρεσιν ἡλικίᾳ μόνον διαφέρουσι· καὶ γὰρ εἴ τι περὶ ἔρωτος καὶ οὐρανίου Ἀφροδίτης κεκομψεῦσθαι δοκεῖ, χάριν ἀστεισμοῦ παρείληπται. Τὸ γὰρ πλεῖστον αὐτοῦ μέρος ὁ κοινὸς καὶ πάνδημος ἔρως διείληφεν, ἀνδρείαν μέν, τὴν βιωφελεστάτην ἀρετὴν κατὰ πόλεμον καὶ κατ' εἰρήνην, ἀφαιρούμενος, θήλειαν δὲ νόσον ταῖς ψυχαῖς ἀπεργαζόμενος, καὶ ἀνδρογύνους κατασκευάζων, οὓς ἐχρῆν πᾶσι τοῖς πρὸς ἀλκὴν ἐπιτηδεύμασι συγκροτεῖσθαι. Λυμηνάμενος δὲ τὴν παιδικὴν ἡλικίαν καὶ εἰς ἐρωμένης τάξιν καὶ διάθεσιν ἀγαγὼν ἐζημίωσε καὶ τοὺς ἐραστὰς περὶ τὰ ἀναγκαιότατα, σῶμά τε καὶ ψυχὴν καὶ οὐσίαν· ἀνάγκη γὰρ τοῦ παιδεραστοῦ τὸν μὲν νοῦν τετάσθαι πρὸς τὰ παιδικά, καὶ πρὸς ταῦτα μόνον ὀξυδερκοῦντα, πρὸς δὲ τὰ ἄλλα πάντα, ἴδιά τε καὶ κοινά, τυφλούμενον ὑπὸ τῆς ἐπιθυμίας, καὶ μάλιστα εἰ ἀποτυγχάνοι, συντήκεσθαι· τὴν δὲ οὐσίαν ἐλαττοῦσθαι διχόθεν, ἔκ τε ἀμελείας καὶ τῶν εἰς τὸν ἐρώμενον ἀναλωμάτων. Παραφύεται δὲ καὶ μεῖζον ἄλλο πάνδημον κακόν· ἐρημίαν γὰρ πόλεων, καὶ σπάνιν τοῦ ἀρίστου γένους ἀνθρώπων, καὶ στείρωσιν καὶ ἀγονίαν τεχνάζονται, οἳ μιμοῦνται τοὺς ἀνεπιστήμονας τῆς γεωργίας, σπείροντες ἀντὶ τῆς [*] βαθυγείου πεδιάδος ὑφάλμους ἀρούρας ἢ λιθώδη καὶ ἀπόκροτα χωρία, ἃ πρὸς τῷ μηδὲν πεφυκέναι βλαστάνειν καὶ τὰ βληθέντα φθείρει σπέρματα. Σιωπῶ τὰ τῶν μύθων πλάσματα καὶ τοὺς δισωμάτους, οἵ, κατ' ἀρχὰς προσ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φύντες ἀλλήλοις ἐρωτικαῖς δυνάμεσιν, αὖθις οἷα μέρη συνεληλυθότα διεζεύχθησαν, τῆς ἁρμονίας ὑφ' ἧς συνείχοντο λυθείσης. Εὐπαράγωγα γὰρ ταῦτα πάντα, δυνάμενα τῇ καινότητι τῆς ἐπινοίας τὰ ὦτα δελεάζειν, ὧν ἐκ πολλοῦ τοῦ περιόντος οἱ Μωσέως γνώριμοι, μεμαθηκότες ἐκ πρώτης ἡλικίας ἐρᾶν ἀληθείας, καταφρονοῦσιν, ἀνεξαπάτητοι διατελοῦντες.

*His oppositi sacri Essaeorum conventus.* (8. 9.)

8. Ἀλλ' ἐπειδὴ τὰ διωνομασμένα συμπόσια τοιαύτης μεστὰ φλυαρίας ἐστίν, ἐν ἑαυτοῖς ἔχοντα τὸν ἔλεγχον, εἴ τις μὴ πρὸς δόξαν καὶ τὴν διαδοθεῖσαν περὶ αὐτῶν ὡς δὴ πάνυ κατωρθωμένων φήμην ἐθελήσειεν ἀφορᾶν, ἀντιτάξω [τὰ] τῶν ἀνατεθεικότων τὸν ἴδιον βίον καὶ ἑαυτοὺς ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν τῆς φύσεως πραγμάτων κατὰ τὰς τοῦ προφήτου Μωσέως ἱερωτάτας ὑφηγήσεις. Οὗτοι τὸ μὲν πρῶτον ἀθροίζονται δι' ἑπτὰ ἑβδομάδων, οὐ μόνον τὴν ἁπλῆν ἑβδομάδα, ἀλλὰ καὶ τὴν δύναμιν τεθηπότες· ἁγνὴν γὰρ καὶ ἀειπάρθενον αὐτὴν ἴσασιν. Ἔστι δὲ προεόρτιος μεγίστης ἑορτῆς, ἣν πεντηκοντὰς ἔλαχεν, ἁγιώτατος καὶ φυσικώτατος ἀριθμῶν, ἐκ τῆς τοῦ ὀρθογωνίου τριγώνου δυνάμεως, ὅπερ ἐστὶν ἀρχὴ τῆς τῶν ὅλων γενέσεως καὶ συστάσεως. Ἐπειδὰν οὖν συνέλθωσι λευχειμονοῦντες φαιδροὶ μετὰ τῆς ἀνωτάτω σεμνότητος, ὑποσημαίνοντός τινος τῶν ἐφημερευτῶν — οὕτω γὰρ ὀνομάζειν ἔθος τοὺς ἐν ταῖς τοιαύταις ὑπηρεσίαις — πρὸ τῆς κατακλίσεως στάντες ἑξῆς κατὰ στοῖχον ἐν κόσμῳ, καὶ τάς τε ὄψεις καὶ χεῖρας εἰς οὐρανὸν ἀνατείναντες, τὰς μέν, ἐπειδὴ τὰ θέας ἄξια καθορᾶν ἐπαιδεύθησαν, τὰς δέ, ὅτι καθαραὶ λημμάτων εἰσίν, ὑπ' οὐδεμιᾶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*προφάσεως τῶν εἰς πορισμὸν μαινόμεναι, προςεύχονται τῷ θεῷ θυμήρη γενέσθαι καὶ κατὰ νοῦν ἀπαντῆσαι τὴν εὐωχίαν. Μετὰ δὲ τὰς εὐχὰς οἱ πρεσβύτεροι κατακλίνονται, ταῖς εἰςκρίσεσιν ἀκολουθοῦντες· πρεσβυτέρους γὰρ οὐ τοὺς πολυετεῖς καὶ παλαιοὺς νομίζουσιν ἀλλ' ἔτι κομιδῇ νέους παῖδας ἐὰν ὀψὲ τῆς προαιρέσεως ἐρασθῶσιν, ἀλλὰ τοὺς ἐκ πρώτης [*] ἡλικίας ἐνηβήσαντας καὶ ἐνακμάσαντας τῷ θεωρητικῷ μέρει φιλοσοφίας, ὃ δὴ κάλλιστον καὶ θειότατόν ἐστι. Συνεστιῶνται δὲ καὶ γυναῖκες, ὧν πλεῖσται γηραιαὶ παρθένοι τυγχάνουσι, τὴν ἁγνείαν οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι τῶν παρ' Ἕλλησιν ἱερειῶν, διαφυλάξασαι μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην, διὰ δὲ ζῆλον καὶ πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάζουσι, τῶν περὶ σῶμα ἡδονῶν ἠλόγησαν, οὐ θνητῶν ἐκγόνων, ἀλλ' ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυτῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχή, σπείραντος εἰς αὐτὴν ἀκτῖνας νοητὰς τοῦ πατρός, αἷς δυνήσεται θεωρεῖν τὰ σοφίας δόγματα.*

9. *Διανενέμηται δὲ ἡ κατάκλισις χωρὶς μὲν ἀνδράσιν ἐπὶ δεξιά, χωρὶς δὲ γυναιξὶν ἐπ' εὐώνυμα. Εἴ πού τις ὑπολαμβάνει στρωμνάς, εἰ καὶ οὐ πολυτελεῖς, ἀλλ' οὖν μαλακωτέρας ἀνθρώποις εὐγενέσι καὶ ἀστείοις καὶ φιλοσοφίας ἀσκηταῖς εὐτρεπίσθαι· στιβάδες εἰσὶν εἰκαιοτέρας ὕλης, ἀφ' ὧν εὐτελῆ πάνυ χαμαίστρωτα παπύρου τῆς ἐγχωρίου, μικρὸν ὑπερέχοντα κατὰ τοὺς ἀγκῶνας ἵνα ἐπερείδοιντο. Τὴν μὲν γὰρ Λακωνικὴν σκληραγωγίαν ὑπανιᾶσιν, ἀεὶ δὲ καὶ πανταχοῦ τὴν ἐλευθέριον εὐκολίαν ἐπιτηδεύουσιν, ἀνὰ κράτος τοῖς ἡδονῆς φίλτροις ἀπεχθόμενοι. Διακονοῦνται δὲ οὐχ ὑπ' ἀνδραπόδων, ἡγούμενοι συνόλως τὴν θεραπόντων ἢ δούλων κτῆσιν εἶναι παρὰ*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φύσιν. Ἡ μὲν γὰρ ἐλευθέρους ἅπαντας γεγέννηκεν· αἱ δέ τινων ἀδικίαι καὶ πλεονεξίαι ζηλωσάντων τὴν ἀρχέκακον ἀνισότητα καταζεύξασαι τὸ ἐπὶ τοῖς ἀσθενεστέροις κράτος τοῖς δυνατωτέροις ἀνῆψαν. Ἐν δὴ τῷ ἱερῷ τούτῳ συμποσίῳ δοῦλος μὲν ὡς ἔφην οὐδείς, ἐλεύθεροι δὲ ὑπηρετοῦσι, τὰς διακονικὰς χρείας ἐπιτελοῦντες οὐ πρὸς βίαν, οὐδὲ προστάξεις ἀναμένοντες, ἀλλ' ἐθελουσίῳ γνώμῃ φθάνοντες μετὰ σπουδῆς καὶ προθυμίας τὰς ἐπικελεύσεις. Οὐδὲ γὰρ οἱ τυχόντες ἐλεύθεροι τάττονται πρὸς ταῖς ὑπουργίαις ταύταις, ἀλλ' οἱ νέοι τῶν ἐν τῷ συστήματι μετὰ πάσης ἐπιμελείας ἀριστίνδην ἐπικριθέντες, ὃν χρὴ τρόπον ἀστείους καὶ εὐγενεῖς πρὸς ἄκραν ἀρετὴν ἐπειγομένους· οἳ καθάπερ υἱοὶ γνήσιοι φιλοτίμως ἄσμενοι πατράσιν καὶ μητράσιν ὑπουργοῦσιν, κοινοὺς αὐτῶν γονεῖς νομίζοντες οἰκειοτέρους τῶν ἀφ' αἵματος, εἴγε καλοκἀγαθίας οὐδὲν οἰκειότερόν ἐστι τοῖς εὖ φρονοῦσιν. Ἄζωστοι δὲ καὶ καθειμένοι τοὺς χιτωνίσκους εἰσίασιν ὑπηρετήσοντες, [*] ἕνεκα τοῦ μηδὲν εἴδωλον ἐπιφέρεσθαι δουλοπρεποῦς σχήματος εἰς τοῦτο τὸ συμπόσιον. Οἶδα, ὅτι γελάσονταί τινες ἀκούσαντες· γελάσονται δὲ οἱ κλαυθμῶν καὶ θρήνων ἄξια δρῶντες. Οἶνος ἐν ἐκείναις ταῖς ἡμέραις οὐκ εἰσκομίζεται, ἀλλὰ διαυγέστατον ὕδωρ, ψυχρὸν μὲν τοῖς πολλοῖς, θερμὸν δὲ τῶν πρεσβυτάτων τοῖς ἁβροδιαίτοις. Καὶ τράπεζα καθαρὰ τῶν ἐναίμων, ἐφ' ἧς ἄρτος μὲν τροφή, προσόψημα δὲ ἅλες, οἷς ἔστιν ὅτε καὶ ὕσσωπος ἥδυσμα παραρτύεται διὰ τοὺς τρυφῶντας. Νηφάλια γὰρ ὡς τοῖς ἱερεῦσι θύειν, καὶ τούτοις βιοῦν ὁ ὀρθὸς λόγος ὑφηγεῖται· οἶνος μὲν γὰρ ἀφροσύνης φάρμακον, ὄψα δὲ πολυτελῆ τὸ θρεμμάτων ἀπληστότατον διερεθίζει, τὴν ἐπιθυμίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Sermones eorum sacri.*

10. Καὶ τὰ μὲν πρῶτα τοιαῦτα. Μετὰ δὲ τὸ κατακλιθῆναι μὲν τοὺς συμπότας ἐν αἷς ἐδήλωσα τάξεσι, στῆναι δὲ τοὺς διακονουμένους ἐν κόσμῳ πρὸς ὑπηρεσίαν ἑτοίμους, πότος δὲ οὐκ ἔστιν; εἴποι τις ἄν. Ἀλλ' ἔτι μᾶλλον ἢ πρότερον, ὡς μηδὲ γρύξαι τινὰ τολμᾶν ἢ ἀναπνεῦσαι βιαιότερον. Ζητεῖ τίς τι τῶν ἐν τοῖς ἱεροῖς γράμμασιν, ἢ καὶ ὑπ' ἄλλου προταθὲν ἐπιλύεται, φροντίζων μὲν οὐδὲν ἐπιδείξεως — οὐ γὰρ τῆς ἐπὶ δεινότητι λόγων εὐκλείας ὀρέγεται —, θεάσασθαι δέ τινα ποθῶν ἀκριβέστερον, καὶ θεασάμενος μὴ φθονῆσαι τοῖς ἄλλοις εἰ καὶ μὴ ὁμοίως ὀξυδερκοῦσι, τὸν γοῦν τοῦ μαθεῖν ἵμερον παραπλήσιον ἔχουσι. Καὶ ὁ μὲν σχολαιοτέρᾳ χρῆται τῇ διδασκαλίᾳ, διαμένων καὶ βραδύνων ταῖς ἐπαναλήψεσιν, ἐγχαράττων ταῖς ψυχαῖς τὰ νοήματα — τῇ γὰρ ἑρμηνείᾳ τοῦ εὐτρόχως καὶ ἀπνευστὶ συνείροντος ὁ τῶν ἀκροωμένων νοῦς 'συνομαρτεῖν ἀδυνατῶν ὑστερίζει καὶ ἀπολείπεται τῆς καταλήψεως τῶν λεγομένων —, οἱ δὲ ἀνωρθιακότες εἰς αὐτόν, ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς σχέσεως ἐπιμένοντες ἀκροῶνται, τὸ μὲν συνιέναι καὶ κατειληφέναι νεύματι καὶ βλέμματι διασημαίνοντες, τὸν δὲ ἔπαινον τοῦ λέγοντος ἱλαρότητι καὶ τῇ σχέδην περιαγωγῇ τοῦ προσώπου, τὴν δὲ διαπόρησιν ἠρεμαιοτέρᾳ κινήσει τῆς κεφαλῆς καὶ ἄκρῳ δακτύλῳ τῆς δεξιᾶς χειρός. Οὐχ ἧττον δὲ τῶν κατακεκλιμένων οἱ παρεστῶτες νέοι προσέχουσιν. Αἱ δὲ ἐξηγήσεις τῶν ἱερῶν γραμμάτων γίνονται δι' ὑπονοιῶν ἐν ἀλληγορίαις. Ἅπασα γὰρ ἡ νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ἐοικέναι ζώῳ, καὶ σῶμα μὲν ἔχειν τὰς ῥητὰς διατάξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς λέξεσιν ἀόρατον νοῦν, ἐν ᾧ ἤρξατο ἡ λογικὴ ψυχὴ διαφερόντως τὰ οἰκεῖα θεωρεῖν, ὥςπερ διὰ κατόπτρου τῶν ὀνομάτων, ἐξαίσια κάλλη νοημάτων [*] ἐμφερόμενα κατιδοῦσα, καὶ τὰ μὲν σύμβολα διαπτύξασα καὶ διακαλύψασα, γυμνὰ δὲ εἰς φῶς προαγαγοῦσα τὰ ἐνθύμια, τοῖς δυναμένοις ἐκ μικρᾶς ὑπομνήσεως τὰ ἀφανῆ διὰ τῶν φανερῶν θεωρεῖν. Ἐπειδὰν οὖν ἱκανῶς ὁ πρόεδρος διειλέχθαι δοκῇ, καὶ κατὰ προαίρεσιν ἀπηντηκέναι τῷ μὲν ἡ διάλεξις εὐστόχως ταῖς ἐπιβολαῖς, τοῖς δὲ ἡ ἀκρόασις, κρότος ἐξ ἁπάντων ὡς ἂν συνηδομένων εἰς τὸ ἐποψόμενον γίνεται. Καὶ ἔπειτα ὁ ἀναστὰς ὕμνον ᾄδει πεποιημένον εἰς τὸν θεόν, ἢ καινὸν αὐτὸς πεποιηκώς, ἢ ἀρχαῖόν τινα τῶν πάλαι ποιητῶν· μέτρα γὰρ καὶ μέλη καταλελοίπασι πολλὰ ἐπῶν τριμέτρων, προςοδίων, ὕμνων, παρασπονδείων, παραβωμίων, στασίμων, χορικῶν, στροφαῖς πολυστρόφοις εὖ διαμεμετρημένων. Μεθ᾽ ὃν καὶ οἱ ἄλλοι κατὰ τάξεις ἐν κόσμῳ προςήκοντι, πάντων κατὰ πολλὴν ἡσυχίαν ἀκροωμένων, πλὴν ὁπότε τὰ ἀκροτελεύτια καὶ ἐφύμνια ᾄδειν δέοι· τότε γὰρ ἐξηχοῦσι πάντες τε καὶ πᾶσαι. Ὅταν δὲ ἕκαστος διαπεράνηται τὸν ὕμνον, οἱ νέοι τὴν πρὸ μικροῦ λεχθεῖσαν τράπεζαν εἰςκομίζουσιν, ἐφ᾽ ἧς τὸ παναγέστατον σιτίον, ἄρτος ἐζυμωμένος μετὰ προςοψήματος ἁλῶν, οἷς ὕσσωπος ἀναμέμικται δι᾽ αἰδῶ τῆς ἀνακειμένης ἐν τῷ ἁγίῳ προνάῳ ἱερᾶς τραπέζης· ἐπὶ γὰρ ταύτης εἰσὶν ἄρτοι καὶ ἅλες ἄνευ ἡδυσμάτων, ἄζυμοι μὲν οἱ ἄρτοι, ἀμιγεῖς δὲ καὶ οἱ ἅλες. Προςῆκον γὰρ ἦν, τὰ μὲν ἁπλούστατα καὶ εἰλικρινέστατα τῇ κρατίστῃ τῶν ἱερῶν ἀπονεμηθῆναι μερίδι, λειτουργίας ἆθλον, τοὺς δὲ ἄλλους τὰ μὲν ὅμοια ζηλοῦν, ἀπέχεσθαι δὲ τῶν ἄρτων, ἵνα ἔχωσι προνομίαν οἱ κρείττους.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

*Sacrum pervigilium.*

11. Μετὰ δὲ τὸ δεῖπνον τὴν ἱερὰν ἄγουσι παννυχίδα. Ἄγεται δὲ ἡ παννυχὶς τὸν τρόπον τοῦτον. Ἀνίστανται πάντες ἀθρόοι, καὶ κατὰ μέσον τὸ συμπόσιον δύο γίνονται τὸ πρῶτον χοροί, ὁ μὲν ἀνδρῶν, ὁ δὲ γυναικῶν. Ἡγεμὼν δὲ καὶ ἔξαρχος [*] αἱρεῖται καθ᾽ ἑκάτερον ἐντιμότατός τε καὶ ἐμμελέστατος. Εἶτα ᾄδουσι πεποιημένους εἰς τὸν Θεὸν ὕμνους πολλοῖς μέτροις καὶ μέλεσι, τῇ μὲν συνηχοῦντες, τῇ δὲ καὶ ἀντιφώνοις ἁρμονίαις ἐπιχειρονομοῦντες καὶ ἐπορχούμενοι, καὶ ἐπιθειάζοντες τοτὲ μὲν τὰ προσόδια, τοτὲ δὲ τὰ στάσιμα, στροφάς τε τὰς ἐν χρείᾳ καὶ ἀντιστρόφους ποιούμενοι. Εἶτα ὅταν ἑκάτερος τῶν ἀνδρῶν ἰδίᾳ καὶ τῶν γυναικῶν ἰδίᾳ καθ᾽ ἑαυτὸν ἑστιαθῇ, καθάπερ ἐν ταῖς βακχείαις ἀκράτου σπάσαντες τοῦ θεοφιλοῦς ἀναμίγνυνται, καὶ γίνονται χορὸς εἷς ἐξ ἀμφοῖν, μίμημα τοῦ πάλαι συστάντος κατὰ τὴν ἐρυθρὰν θάλασσαν, ἕνεκα τῶν θαυματουργηθέντων ἐκεῖ. Τὸ γὰρ πέλαγος προστάξει θεοῦ τοῖς μὲν σωτηρίας αἴτιον, τοῖς δὲ πανωλεθρίας γίνεται· ῥαγέντος μὲν γὰρ καὶ βιαίοις ἀνακοπαῖς ὑποσυρέντος καὶ ἑκατέρωθεν ἐξ ἐναντίας οἷα τειχῶν παγέντων τὸ μεθόριον διάστημα εἰς λεωφόρον ὁδὸν καὶ ξηρὰν πᾶσαν ἀνατμηθὲν εὐρύνετο, δι᾽ ἧς ὁ λεὼς ἐπέζευξεν ἄχρι τῆς ἀντιπέρας ἠπείρου, πρὸς τὰ μετέωρα παραπεμφθείς· ἐπιδραμόντος δὲ ταῖς παλιῤῥοίαις, καὶ τοῦ μὲν ἔνθεν, τοῦ δὲ ἔνθεν εἰς τὸ χερσωθὲν ἔδαφος ἀναχυθέντος, οἱ ἐπακολουθήσαντες τῶν πολεμίων κατακλυσθέντες διαφθείρονται. Τοῦτο καὶ ἰδόντες καὶ παθόντες, ὃ καὶ λόγου καὶ ἐννοίας καὶ ἐλπίδος μεῖζον ἔργον ἦν, ἐνθουσιῶντες ἄνδρες ὁμοῦ καὶ γυ-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ναῖκες, εἷς γενόμενοι χορός, τοὺς εὐχαριστηρίους ὕ εἰς τὸν σωτῆρα θεὸν ᾖδον, ἐξάρχοντος τοῖς μὲν ἀν Μωσέως τοῦ προφήτου, ταῖς δὲ γυναιξὶ Μαριὰ προφήτιδος. Τούτῳ μάλιστα ἀπεικονισθεὶς ὁ τῶ ραπευτῶν καὶ θεραπευτρίδων, μέλεσιν ἀντήχοις κι τιφώνοις πρὸς βαρὺν ἦχον τῶν ἀνδρῶν ὁ γυναικῶ ἀνακρινάμενος, ἐναρμόνιον συμφωνίαν ἀποτελεῖ κο σικὴν ὄντως. Πάγκαλα μὲν τὰ νοήματα, πάγκι αἱ λέξεις, σεμνοὶ δὲ οἱ χορευταί· τὸ δὲ τέλος κ νοημάτων καὶ τῶν λέξεων καὶ τῶν χορευτῶν ἡ εὐ Μεθυσθέντες οὖν ἄχρι πρωΐας τὴν καλὴν ταύτην οὐ καρηβαροῦντες ἢ καταμύοντες, ἀλλὰ διεγηγερμέν λον ἢ ὅτε παρεγένοντο εἰς τὸ συμπόσιον, τάς τ καὶ ὅλον τὸ σῶμα πρὸς τὴν ἕω στάντες, ἐπὰν θε τὸν ἥλιον ἀνίσχοντα, τὰς χεῖρας ἀνατείναντες εἰς ι εὐημερίαν καὶ [*] ἀλήθειαν ἐπεύχονται καὶ ὀ λογισμοῦ. Καὶ μετὰ τὰς εὐχὰς εἰς τὰ ἑαυτοῦ σεμνεῖα ἀναχωροῦσι, πάλιν τὴν συνήθη φιλοσοι πορευσόμενοι καὶ γεωργήσαντες. Θεραπευτῶν πέρι τοσαῦτα, θεωρίαν ἀσπασαμένων φύσεως κι αὐτῇ, καὶ ψυχῇ μόνῃ βιωσάντων, οὐρανοῦ μὲ σμου πολιτῶν, τῷ δὲ πατρὶ καὶ ποιητῇ τῶν ὅλων συσταθέντων ὑπ' ἀρετῆς· ἥτις φιλίαν αὐτοῖς π σεν, οἰκειότατον γέρας καλοκἀγαθίας προσθεῖσ ἄμεινον εὐτυχίας, ἐπ' αὐτὴν ἀκρότητα φθάνο μονίας.

ΒΙΒΛΙΟ... ΚΗ
ΕΥΛΟΓΙΟΥ ...ΡΙΛΑ
ΑΥΞ... ΑΡΙΘ.
ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

## II. Lateinische Autoren.

| | Thlr. | Ngr. |
|---|---|---|
| *Catullus, Tibullus et Propertius* | — | 8 |
| *Horatius* | — | $6\frac{1}{4}$ |
| *Lucani Pharsalia* | — | 10 |
| *Lucretius* | — | 15 |
| *Martialis* | — | 9 |
| *Ovidii Opera*, 3 Voll. | — | $22\frac{1}{2}$ |
| *Palingenii Zodiacus vitae* | — | 15 |
| *Persius et Iuvenalis* | — | $3\frac{3}{4}$ |
| *Phaedrus cum Gudii, Aviani et Faerni fabulis* | — | 4 |
| *Phaedri Fabulae* | — | $2\frac{1}{2}$ |
| *Plauti Comoediae*, 4 Voll. | 1 | — |
| *Senecae Tragoediae* | — | 15 |
| *Silius Italicus* | — | 15 |
| *Terentius* | — | $7\frac{1}{2}$ |
| *Virgilius* | — | 10 |

---

| | Thlr. | Ngr. |
|---|---|---|
| *Ammianus Marcellinus* | — | 20 |
| *Aurelius Victor* | — | 4 |

| | Thlr. | Ngr. |
|---|---|---|
| *Caesar, Iulius* | — | $12\frac{1}{2}$ |
| *Ciceronis Opera*, 11 Voll. | 6 | 24 |
| *Ciceronis Opera*, in 35 Abtheilungen | 6 | 18 |
| *Cornelius Nepos* | — | $2\frac{1}{2}$ |
| *Curtius* | — | 10 |
| *Eutropius* | — | $2\frac{1}{2}$ |
| *Florus* | — | $2\frac{1}{2}$ |
| *Gellii noctes Atticae* | — | 18 |
| *Iustinus* | — | $6\frac{1}{4}$ |
| *Livii Opera*, 6 Voll. | 1 | 21 |
| *Plinii Historia Naturalis*, 5 V. | 8 | — |
| *Plinii Epistolae* | — | 9 |
| *Pomponius Mela* | — | 4 |
| *Quintilianus*, 2 Voll. | — | 15 |
| *Sallustius* | — | $3\frac{3}{4}$ |
| *Senecae Opera philos.*, 5 Voll. | 2 | — |
| *Suetonius* | — | $7\frac{1}{2}$ |
| *Taciti Opera*, 2 Voll. | — | 18 |
| *Valerius Maximus* | — | 12 |
| *Velleius Paterculus* | — | 4 |
| *Vitruvius* | — | 10 |

---

In demselben Verlage sind ferner erschienen:

| | Thlr. | Ngr. |
|---|---|---|
| *Vetus Testamentum graece, ex versione LXX interpretum*, ed. Leander van Ess. | 2 | 20 |
| *Novum Testamentum Graece.* Post Joh. Aug. Henr. Tittmannum recogn. Augustus Hahn. 8. | 1 | $7\frac{1}{2}$ |
| *Novum Testamentum Graece.* Ex recensione Augusti Hahnii denuo editum. 16. | — | $17\frac{1}{2}$ |
| תורה נביאים וכתובים. *Biblia hebraica*, recensuit *Dr.* Aug. Hahn. gr. 8. | 2 | — |
| *Dasselbe Buch in Duodez.* Schulausgabe. 12. | 1 | 15 |
| *Biblia hebraica cum Vulgata interpretatione.* 2 Voll 12. | 8 | — |

---

# Verzeichniss der Wörterbücher

**welche in demselben Verlage erschienen und durch alle Buchhandlungen zu erhalten sind:**

---

| | | |
|---|---|---|
| *Dictionnaire français-anglais et anglais-français* | — | 25 |
| —— *français-danois et danois-français* | 1 | — |
| —— *français-hollandais et hollandais-français* | 1 | — |
| —— *français-italien et italien-français* | — | 25 |
| —— *français-suédois et suédois-français* | 1 | — |
| *Dizionario italiano-danese e danese-italiano* | 1 | — |
| —— *italiano-inglese ed inglese-italiano* | — | 25 |
| Fürst, hebräisches und chaldäisches Schulwörterbuch | 1 | 10 |
| Handwörterbuch der neugriechischen und deutschen Sprache | 1 | — |
| Heym, russisch-französisch-deutsches Wörterb. 3 Theile. 2. Aufl. | 6 | — |
| Jordan, Dr. J. P., böhmisch und deutsches Taschenwörterbuch | 1 | — |
| —— polnisch und deutsches Taschenwörterbuch | 1 | — |
| Kaltschmidt, Wörterbuch der engl. u. deutschen Sprache 2. Ausg. | 2 | 15 |
| —— Wörterbuch d. französ. u. deutsch. Sprache 2. Ausg. | 2 | 10 |
| Kreußler und Volbeding, lateinisches Handwörterbuch | 1 | 20 |
| *Leopold, lexicon hebraicum et chaldaicum* | — | 20 |
| *Lexicon graeco-latinum manuale* | 1 | 10 |
| *Pocket-dictionary, danish-english and english-danish* | 1 | — |
| —— *english-russian and russian-english* | 1 | — |
| —— *english-swedish and swedish-english* | 1 | — |
| Schmidt, deutsch-griechisches Wörterbuch. 2. Ausg. | 1 | — |
| —— griechisch-deutsches Wörterbuch. 2. Ausg. | 1 | — |
| —— russisch-deutsches u. deutsch-russisches Wörterb. 2. Ausg. | 2 | 15 |
| —— russisch-deutsches u. deutsch-russisches Taschenwörterbuch. | 1 | — |
| *Schmidt, dictionnaire russe-français et français-russe* | 1 | — |
| —— *dictionnaire français-polonais et polonais-français* | 1 | — |
| —— *polsko-rossyisky i rossyisko-polski Slownik* | 1 | [illegible] |
| Schul- und Reise-Taschenwörterbuch, englisch und deutsch | — | [illegible] |
| —— französisch u. deutsch | — | [illegible] |
| —— italienisch u. deutsch | — | [illegible] |
| Taschenwörterbuch, dänisch-deutsches und deutsch-dänisches | 1 | [illegible] |
| —— holländisch-deutsches u. deutsch-holländisches | 1 | [illegible] |
| —— schwedisch-deutsches und deutsch-schwedisches | 1 | [illegible] |
| Weber, englisch-deutsches u. deutsch-englisches Wörterbuch 3. Ausg. | [illegible] | [illegible] |
| —— italienisch-deutsches und deutsch-italienisches Wörterbuch | [illegible] | [illegible] |

---

*Ausführlichere Cataloge sind in allen Buchhandlungen zur Einsicht vorrä[illegible]*